ΒΚ
Π 89
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αριθ. εισ. 132493

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΜΑΚΑΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΒΙΝΝΙΣΗΣ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΘΕΟΛΟΓΙΑΣ

ΚΑΙ

ΔΙΕΥΘΥΝΤΟΥ ΤΗΣ ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΑΔΗΜΙΑΣ

# ΕΙΣΑΓΩΓΗ

## ΕΙΣ ΤΗΝ ΟΡΘΟΔΟΞΟΝ ΘΕΟΛΟΓΙΑΝ

ΕΚ ΤΗΣ Β'. ΕΠΕΞΕΙΡΓΑΣΜΕΝΗΣ ΡΩΣΣΙΚΗΣ ΕΚΔΟΣΕΩΣ ΕΙΣ ΤΗΝ
ΕΛΛΗΝΙΔΑ ΜΕΤΕΝΕΧΘΕΙΣΑ ΦΩΝΗΝ

ΥΠΟ

ΝΙΚΟΛΑΟΥ ΣΠ. ΠΑΠΑΔΟΠΟΥΛΟΥ.

ΜΕΡΟΣ Α'.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΕΝ ΛΕΙΨΙΑι,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΓΕΙΣΕΚΚΕ ΚΑΙ ΔΕΒΡΙΕΝΤ.

1858.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΩι

ΜΕΓΑΛΕΙΟΤΑΤΩι ΑΥΤΟΚΡΑΤΟΡΙ

ΠΑΣΗΣ ΡΩΣΣΙΑΣ

# ΑΛΕΞΑΝΔΡΩι ΤΩι Β΄.

ΔΕΙΓΜΑ ΒΑΘΥΤΑΤΟΥ ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΑΝΕΞΑΛΕΙΠΤΟΥ

ΕΥΓΝΩΜΟΣΥΝΗΣ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΜΕΘΕΡΜΗΝΕΥΤΗΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

# ΜΕΓΑΛΕΙΟΤΑΤΕ.

Ἡ ὀρθόδοξος ἀνατολικὴ Ἐκκλησία, σὺν τῇ ἐλευθερίᾳ καὶ τὸ τιμαλφέστατον ἀπολέσασα κειμήλιον, τοὺς ἱεροὺς ναούς, καὶ ὑπὸ βαρύτατον διατελοῦσα ζυγόν, ἀεὶ προσέφευγε, παραμυθίαν εὑρήσουσα, καὶ βοήθειαν αἰτησομένη, πρὸς τὴν ὁμόδοξον Ῥωσσίαν. Ταύτης δὲ οἱ ὀρθόδοξοι Βασιλεῖς τὸ πρῶτον, εἶτα Αὐτοκράτορες, πρόγονοι τῆς ΥΜΕΤΕΡΑΣ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ, εὐμενῶς δεξιούμενοι τὰ ἄσυλον αἰτούμενα τέκνα τῆς ὑπὸ δυσφόρητον ζυγὸν θλιβομένης μητρὸς ἐκκλησίας, καὶ περιθάλποντες, κοινῇ τε καὶ ἰδίᾳ τὰς εὐεργεσίας ἐποιοῦντο. Κοινῇ μέν· καὶ γὰρ τὸ μὲν καινοὺς ἀνήγειρον ναοὺς ἀντὶ τῶν βίᾳ ἁρπασθέντων, καὶ δαψιλῶς ἐκόσμουν ἱεροῖς ἀμφίοις τοὺς μετὰ τὴν τῶν ἐν αὐτοῖς ἁρπαγὴν μείναντας, τὸ δὲ αἰσίους φέροντες κατὰ τῶν ἐχθρῶν τῆς ἱερᾶς Πίστεως πολέμους, συνθήκας διωμολόγουν, δι' ὧν νέα ἀεὶ παρείχοντο αὐτοῖς δικαιώματα. Καὶ οὐδέποτε ἔπαυσαν οὔτε παύσουσιν οἱ τῆς ὀρθοδόξου Ῥωσσίας Αὐτοκράτορες προϊστάμενοι καὶ περιθάλποντες τοὺς ὁμοδόξους, οἵτινες ἀνταμειβόμενοι προστάτας καὶ προμάχους τῆς

ὀρθοδόξου Ἐκκλησίας καὶ ἑαυτῶν ΑΥΤΟΥΣ προσαγορεύουσιν. Ἰδίᾳ δέ· πάντας γὰρ τοὺς ἄσυλον ἐν τῇ ὁμοδόξῳ Ῥωσσίᾳ ζητοῦντας πατρικῶς περιποιούμενοι, τοὺς μὲν δημοσίοις περιβάλλουσιν ἀξιώμασι, τοὺς δ᾽ ἀσμένως κοινῇ δαπάνῃ ἐν τοῖς παντοειδέσιν ἐκπαιδευτικοῖς καταστήμασι πρὸς ἐκπαίδευσιν ἀποδέχονται, εἶτα δὲ καὶ ἐν ταῖς κοιναῖς παραλαμβάνουσι λειτουργίαις.

Καὐτὸς ἐν τῇ κιεβικῇ ἐκκλ. Ἀκαδημίᾳ ἐπὶ τοῦ ἀοιδίμου ΠΑΤΡΟΣ ΤΗΣ ΥΜΕΤΕΡΑΣ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ καὶ προστάτου πάντων τῶν ὀρθοδόξων ΝΙΚΟΛΑΟΥ ΤΟΥ Α΄. ἀποδεκτὸς γενόμενος, καὶ τὴν ὀρθόδοξον θεολογίαν παιδευθείς, μετεγλώττισα εἰς τὴν μητρικήν μου γλῶσσαν τὸ βραβευθὲν θεολογικὸν ῥωσσικὸν σύγγραμμα τοῦ σεβασμιωτάτου ἐπισκόπου Βιννίσης Μακαρίου, τὴν εἰσαγωγὴν εἰς τὴν ὀρθόδοξον Θεολογίαν καὶ τὴν Δογματικὴν περιέχον, ἐν ᾧ ἐν συστήματι ἡ διδασκαλία τῆς ὀρθοδόξου Ἐκκλησίας ἐκτίθεται καὶ κρατύνεται, ἀνασκευάζονται δὲ αἱ τῶν πολεμίων γνῶμαι.

Τοιοῦτο δ᾽ ὂν τὸ σύγγραμμα, λίαν ἀναγκαῖον καὶ ἐπωφελὲς

διὰ τὸ περιεχόμενον πρὸς πάντας τοὺς ὀρθοδόξους, καὶ δὴ τοὺς ἐν τῇ Ἀνατολῇ πανταχόθεν ὡς πρὸς τὴν ἱερὰν ἐπιβουλευομένους Θρησκείαν, τῷ προστάτῃ καὶ ἀντιλήπτορι τῆς τε ὀρθοδόξου Ἐκκλησίας καὶ πάντων τῶν πιστῶν αὐτῆς τέκνων, ΤΩι ΜΟΝΩι ΟΡΘΟΔΟΞΩι ΑΥΤΟΚΡΑΤΟΡΙ, ὡς προσήκει, ἀνατίθημι.

Καθικετεύω τοίνυν τὴν ΥΜΕΤΕΡΑΝ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΝ ΜΕΓΑΛΕΙΟΤΗΤΑ, ὅπως εὐδοκήσασα ἀποδέξηται εὐμενῶς τοῦτό μου τὸ πρῶτον ἔργον δεῖγμα τῆς ἀνεξαλείπτου εὐγνωμοσύνης μου καὶ τοῦ μεγίστου σεβασμοῦ.

ΤΗΣ ΥΜΕΤΕΡΑΣ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ

*ὑποκλινέστατος καὶ εὐγνώμων θεράπων·*

*ὁ Μεθερμηνευτὴς*

*Νικόλαος Σπ. Παπαδόπουλος.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΜΕΘΕΡΜΗΝΕΥΤΟΥ.

---

*Ἅμα μικρά τις ἄκρα τῆς ἑλληνίδος γῆς συνδρομῇ τῶν ἁπανταχοῦ τῆς ὑφηλίου διασπαρέντων Ἑλλήνων τὴν ἐλευθερίαν ἀνεκτήσατο, καὶ καινὸν ζωῆς τε καὶ προόδου πλῆρες βασίλειον ἵδρυτο, αὐτίκα καὶ αἱ τὴν πάτριον καταλιποῦσαι χωραν μοῦσαι, συνεργούντων καὶ περιθαλπόντων παντοίως τῶν ἐπ᾽ ἀγαθῷ τῆς ἑλληνίδος Φυλῆς ἐν τῇ ἑλληνίδι ταύτῃ ἄκρᾳ νῦν βασιλευόντων, ἐπανέκαμψαν εἰς τὴν μητρῴαν γῆν, ὅθεν ὁ ζυγὸς καὶ ἡ βαρβαρότης ἀπήλασεν.*

*Πρὸς ταχεῖαν δὲ τῆς φίλης Πατρίδος εἴς τε τὰς ἐπιστήμας ἐπίδοσιν καὶ τέχνας ἀπαραδειγμάτιστος καὶ ζωηρὰ ἅμιλλα τοῖς ἁπανταχοῦ Ἕλλησιν ἐμπέφυκεν. Οἱ μὲν γὰρ ἐκπαιδευτικὰ καὶ φιλανθρωπικὰ ἀνεγείρουσι καταστήματα, οἱ δὲ διαγωνίσματα τιθέασιν, οἱ δὲ νέους πρὸς ἐκμάθησιν ἐπιστημῶν καὶ τεχνῶν διατηροῦσιν, οἱ δὲ μετὰ ζήλου, τὸ ἐν αὐτοῖς, διδάσκουσιν, ἄλλοι δ᾽ ἄλλως συντρέχουσιν.*

*Τηλικαύτης ἁμίλλης ὑπὲρ τῆς προόδου τῆς Πατρίδος οὔσης, ἔδοξε κἀμοί, ὅσον νῦν ἐν ἐμοί, ταύτης μετασχεῖν. Καὶ δή, περὶ τὴν θεολογίαν ἀσχολούμενος, ἀνέλαβον οὐσιώδη ἀναπληρῶσαι*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*παρ' ἡμῖν ἔλλειψιν ἀναγκαιοτάτου θεολογικοῦ συγγράμματος. Τοῦτο δέ, ὡς ἕκαστος ὁμολογήσει, ἡ εἰσαγωγή ἐστιν εἰς τὴν Θεολογίαν καὶ ἡ Δογματική. Καὶ γὰρ ἐν ταύτῃ μὲν ἐν συστήματι τὰ δόγματα ἐκτίθενται, ἐπὶ τῇ βάσει τοῦ θείου λόγου κρατύνονται, καὶ ἡ ἀλήθεια αὐτῶν ἀποδείκνυται· ἐν ἐκείνῃ δὲ θεολογικαὶ ἐνυπάρχουσι γνώσεις, προαπαιτούμεναι πρὸς ὀρθὴν καὶ ἐντελῆ τῶν κλάδων τῆς ὀρθοδόξου θεολογίας κατανόησιν, ἐξοικείωσιν καὶ ἀλληλουχίαν.*

*Εἰς τρία δὲ ἡ Εἰσαγωγὴ διαιρεῖται μέρη, ὧν τὸ μὲν περὶ τοῦ ὑποκειμένου, τὸ δὲ περὶ τῶν πηγῶν, καὶ τὸ τρίτον περὶ τοῦ συστήματος τῆς Θεολογίας πραγματεύεται. Καὶ ἐν τῷ α'. μέρει, τῷ νῦν ἐκδιδομένῳ, ἐξετάζεται, τί ἐστι καθόλου θρησκεία, ἀνερευνῶνται καὶ ἀνασκευάζονται αἱ νῦν ὑπάρχουσαι μὴ χριστικαὶ θρησκεῖαι, καὶ τὸ σφαλερὸν καὶ ἡμαρτημένον αὐτῶν ἐξελέγχεται, τῆς δὲ χριστικῆς ἡ θεία ἀποδείκνυται ἀρχή, καὶ ἀνατρέπονται αἱ τῶν κατὰ τοὺς νεωτάτους τούτους χρόνους ἀναφανέντων αὐτῆς πολεμίων, διαφόρως καλουμένων, γνῶμαι, καὶ τὸ σφαλερὸν καὶ ἀσταθὲς τῶν γνωμῶν τούτων καταδείκνυται.*

*Ὁποία δέ τίς ἐστιν ἡ μετάφρασις, ἄλλοι κρινόντων. Ἡμῖν δὲ λείπεται σημειῶσαι ἐπιστημονικούς τινας θεολογικοὺς ὅρους, ἄλλως παρ' ἄλλοις ἐξελληνισθέντας. Οὗτοί εἰσι* rationalista, rationalismus, naturalista, naturalismus. *Καὶ τὸ μὲν ὄνομα* rationalista (*ἐκ τοῦ* ratio = *λόγος*), *σημαῖνον τὸν ἀποδεχόμενον μὲν τὴν ἁγίαν Γραφήν, ἡγούμενον δέ, ὅτι οὐ πᾶν τὸ ἐν αὐτῇ περιεχόμενον θεία ἐστὶν ἀποκάλυψις, ἀλλά τι ἐν ταύτῃ μέρος, ὃ διὰ τῆς ἐρεύνης καὶ κρίσεως ζητεῖ ἀνευρεῖν, διὸ ἡγεῖται τὸν λόγον ἀναγκαῖον, ἐξ οὗ καὶ τὸ ὄνομα, καὶ δὴ καὶ τῆς ἱερᾶς Γραφῆς ἀνώτερον, τὰ δὲ δόγματα τῆς θρησκείας ἐκ τῆς κρίσεως ἐξάγει, καὶ πᾶν τῷ νῷ ἀκατάληπτον ἀποῤῥίπτει, μεθηρμηνεύσαμεν λογιστής, ἐκ τοῦ λογίζεσθαι, διανοεῖσθαι, σκέπτεσθαι, χρῆσιν τοῦ*

λόγον ποιεῖσθαι· τὸ δὲ rationalismus, τὸν τρόπον δηλοῦν τοῦ οὕτως ἐρευνᾶν καὶ κρίνειν τὴν ἁγίαν Γραφήν, ἐξελληνίσαμεν τῷ ὀνόματι λογισμός, καίπερ εἰδότες, ὅτι οἱ μὲν μεθηρμήνευσαν ὀρθολογισμός, ἐκ τοῦ οἰκείου ῥήματος ὀρθολογίζεσθαι· ἀλλὰ καὶ τούτου παραλειφθέντος, τὸ ὄνομα rationalista οὐ δηλοῖ τὸν ὀρθῶς λογιζόμενον, ἀλλὰ τὸν διὰ τοῦ λόγου ἐρευνῶντα καὶ κρίνοντα. Ἄλλοις δ' ἂν φανείη ὀρθότερον τὸ ὄνομα πνευματιστής, ἀλλὰ τοῦτο ἀνάρμοστον τῇ σημασίᾳ, πνεῦμα γὰρ οὐχ ὁ λόγος. Λογισταὶ δ' ἐκαλοῦντο ἐν Ἀθήναις δέκα ἄρχοντες κληρωτοί, ἐφ' ὧν πάντες οἱ ἀρχήν τινα ἄρχοντες, λόγον ἐδίδοσαν τῶν πεπραγμένων. Ἀλλὰ νομίζομεν, ὅτι κατὰ τοὺς γραμματικοὺς κανόνας δυνάμεθα παραγαγεῖν τὴν λέξιν λογιστὴς ἐκ τοῦ εὐχρήστου ῥήματος λογίζεσθαι, ἐν τῇ σημασίᾳ τοῦ διανοεῖσθαι.

Τὸ δὲ naturalista, (ἐκ τῆς λέξεως natura = φύσις), δηλοῦν τὸν οὐδόλως θείαν ἀποδεχόμενον ἀποκάλυψιν ὡς πρὸς τὴν θρησκείαν, περιττὴν μάλιστα ἡγούμενον, οἰόμενον δέ, ὅτι διὰ τῆς ἀναπτύξεως τῶν φυσικῶν νοερῶν δυνάμεων καὶ διὰ τῆς ἰδίας ἐρεύνης βοηθείᾳ καὶ τῆς ἱστορίας, δύναται ὁ ἄνθρωπος τῆς θρησκευτικῆς ἐπιτυχεῖν ἀληθείας, μεθηρμηνεύσαμεν φυσιστής, καὶ τὸ naturalismus, τὸν τρόπον δηλοῦν τοῦ οὕτω περὶ τῆς εὑρέσεως τῆς θρησκείας νομίζοντος, φυσισμός. Ἄλλοι δὲ ἐχρήσαντο τῇ λέξει ὑλιστής· ἀλλ' αὕτη οὐ τὴν αὐτὴν ἔχει σημασίαν τῷ naturalista, μᾶλλον προσήκουσα τῷ ὀνόματι materialista. Καὶ ταῦτα ἐν παρόδῳ· τοῖς δὲ περὶ τὰ τοιαῦτα δεινοῖς ἀφίεται ἁρμοδιώτερα ἀνευρεῖν ὀνόματα καὶ καταλληλότερα.

*Ἔγραφον ἐν Λειψίᾳ κατὰ μῆνα Ἰούνιον.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


σελ.

Περὶ τῆς εἰσαγωγῆς εἰς ἐπιστήμην . . . . . . . . . . . . 1

Περὶ τῆς ὀρθοδόξου θεολογίας . . . . . . . . . . . . 1

Ὑπόθεσις καὶ μέρη τῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν εἰσαγωγῆς . . 2

Πηγαί, βοηθήματα καὶ μέθοδος. . . . . . . . . . . . 4

Ἱστορικὴ θεωρία ἄλλων μεθόδον τῆς εἰσαγωγῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν . . . . . . . . . . . . . . . . 6

Μέρος α'. Περὶ τοῦ Ὑποκειμένου τῆς ὀρθοδόξου θεολογίας.

Σύστασις αὐτοῦ . . . . . . . . . . . . . . . 8

Τμῆμα α'. Περὶ θρησκείας καὶ ἀποκαλύψεως καθόλου. Κεφάλαιον α'. Περὶ θρησκείας.

Πῶς θεωρητέον τὴν θρησκείαν . . . . . . . . . . . . 10

Α'. Θεμελιώδεις ἀλήθειαι ὑπὸ τῆς ἐννοίας περὶ θρησκείας ὑποτιθέμεναι.

Δείξεις αὐτῶν . . . . . . . . . . . . . . . 10

Ἡ τῆς τοῦ Θεοῦ ὑπάρξεως ἀλήθεια . . . . . . . . . 10

Περὶ τῆς ἀληθείας τῆς ὑπάρξεως καὶ ἀθανασίας τῆς ἀνθρωπίνης ψυχῆς . . . . . . . . . . . . . . . . 18

Β'. Περὶ τῆς οὐσίας τῆς θρησκείας.

Ἔννοια περὶ αὐτῆς . . . . . . . . . . . . . . 21

Βάσις καὶ ἀρχὴ τῆς θρησκείας . . . . . . . . . . . 22

Περὶ τῆς τοῦ Θεοῦ συνεργείας εἰς τὰ περὶ τὴν θρησκείαν καὶ τὸ καθῆκον τοῦ ἀνθρώπου . . . . . . . . . . . . . 23

Τέλος καὶ ἀποτέλεσμα τῆς θρησκείας . . . . . . . . . 29

Διαίρεσις τῆς θρησκείας . . . . . . . . . . . . . 30

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


σελ.

*Περὶ τῆς εἰσαγωγῆς εἰς ἐπιστήμην* . . . . . . . . . . . . . 1

*Περὶ τῆς ὀρθοδόξου θεολογίας* . . . . . . . . . . . . . . 1

*Ὑπόθεσις καὶ μέρη τῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν εἰσαγωγῆς* . . 2

*Πηγαί, βοηθήματα καὶ μέθοδος.* . . . . . . . . . . . . . 4

*Ἱστορικὴ θεωρία ἄλλων μεθόδον τῆς εἰσαγωγῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν* . . . . . . . . . . . . . . . . . . 6

*Μέρος α΄. Περὶ τοῦ Ὑποκειμένου τῆς ὀρθοδόξου θεολογίας.*

*Σύστασις αὐτοῦ* . . . . . . . . . . . . . . . . . 8

*Τμῆμα α΄. Περὶ θρησκείας καὶ ἀποκαλύψεως καθόλου. Κεφάλαιον α΄. Περὶ θρησκείας.*

*Πῶς θεωρητέον τὴν θρησκείαν* . . . . . . . . . . . . . 10

*Α΄. Θεμελιώδεις ἀλήθειαι ὑπὸ τῆς ἐννοίας περὶ θρησκείας ὑποτιθέμεναι.*

*Δεῖξεις αὐτῶν* . . . . . . . . . . . . . . . . . 10

*Ἡ τῆς τοῦ Θεοῦ ὑπάρξεως ἀλήθεια* . . . . . . . . . . 10

*Περὶ τῆς ἀληθείας τῆς ὑπάρξεως καὶ ἀθανασίας τῆς ἀνθρωπίνης ψυχῆς* . . . . . . . . . . . . . . . . . . 18

*Β΄. Περὶ τῆς οὐσίας τῆς θρησκείας.*

*Ἔννοια περὶ αὐτῆς* . . . . . . . . . . . . . . . . 21

*Βάσις καὶ ἀρχὴ τῆς θρησκείας* . . . . . . . . . . . . 22

*Περὶ τῆς τοῦ Θεοῦ συνεργείας εἰς τὰ περὶ τὴν θρησκείαν καὶ τὸ καθῆκον τοῦ ἀνθρώπου* . . . . . . . . . . . . . . 23

*Τέλος καὶ ἀποτέλεσμα τῆς θρησκείας* . . . . . . . . . . 29

*Διαίρεσις τῆς θρησκείας* . . . . . . . . . . . . . . 30

Γ. Ἡ θρησκεία, ὡς κλῆρος πάντων τῶν πνευματικῶν ὄντων καὶ παντὸς τοῦ ἀνθρωπίνου γένους. Ἔννοια περὶ τῆς Ἐκκλησίας. σελ.


Σύνδεσμος τῆς θρησκείας καὶ τῆς Ἐκκλησίας . . . . . . . . . 33
Ἀρχὴ καὶ σύστασις τῆς Ἐκκλησίας . . . . . . . . . . . . 34
Τέλος τῆς Ἐκκλησίας καὶ μέσα διὰ τὸ τέλος . . . . . . . . . 35
Διάταξις τῆς Ἐκκλησίας . . . . . . . . . . . . . . . 36
Διαίρεσις τῆς ἐπιγείου Ἐκκλησίας . . . . . . . . . . . . 38


Κεφάλαιον Β'. Περὶ ἀποκαλύψεως.


Ὁρισμὸς τῆς ὑποθέσεως . . . . . . . . . . . . . . . . . 38


I. Τὸ Δυνατὸν τῆς ἀποκαλύψεως.


Ἔννοια περὶ τῆς ἀποκαλύψεως καὶ πῶς τὸ αὐτῆς δυνατὸν θεωρητέον 39
Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπὸ τοῦ Θεοῦ . . . . . . . . . 39
Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπὸ τοῦ ἀνθρώπου . . . . . . . 41
Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπ' αὐτῶν τῶν ἀληθειῶν τῆς ἀποκαλύψεως . . . . . . . . . . . . . . . . . . . . . . 42


II. Τὸ ἀναγκαῖον τῆς ἀποκαλύψεως.


Ἐν τίνι τὸ ἀναγκαῖον συνέστηκε, καὶ πόθεν αὐτὸ ἀποκαλύπτεται . . 46


Α'. Κατάστασις τῆς θρησκείας ἐν τῷ ἀνθρωπίνῳ γένει ἐκτὸς τοῦ Χριστιανισμοῦ, ὡς ἀληθοῦς θρησκείας.


Περὶ τῆς ἐθνικῆς θρησκείας . . . . . . . . . . . . . . . 47
Περὶ τῆς νεοϊουδαϊκῆς θρησκείας . . . . . . . . . . . . . 54
Περὶ τῆς μωαμεθανικῆς θρησκείας . . . . . . . . . . . . . 57
Γενικὰ πορίσματα καὶ στοχασμοί . . . . . . . . . . . . . 59


Β'. Οὐδεμία ἀνθρωπίνη σοφία οἵα ἐστὶ τοὺς ἀνθρώπους ἐκ τῆς οἰκτρᾶς κασαστάσεως τῆς θρησκείας ἐξαγαγεῖν ἐκτὸς τῆς ὑπερφυσικῆς θείας ἀρωγῆς.


Τί πρὸς τοῦτο ἀναγκαῖον . . . . . . . . . . . . . . . . 61
Οὐχ οἵα ἐστὶν ἡ ἀνθρωπίνη σοφία φωτίσαι τοὺς ἀνθρώπους τῷ φωτὶ τῆς ἀληθοῦς διδασκαλίας τῆς θρησκείας . . . . . . . . . . 61
Οὐχ οἵα ἐστὶν ἡ ἀνθρωπίνη σοφία τοὺς ἀνθρώπους τῷ Θεῷ καταλλάξαι 66
Οὐχ οἵα ἡ ἀνθρωπίνη σοφία τὴν ἀνθρωπίνην ἐπανορθῶσαι ἠθικὴν 67


Γ'. Χαρακτηριστικὰ τῆς ἀποκαλύψεως.


Τὸ ἀναγκαῖον αὐτῶν, ὁρισμὸς καὶ διαίρεσις . . . . . . . . . 70


Α'. Ἐσωτερικαὶ τῆς ἀποκαλύψεως χαρακτῆρες.


Ὑποδιαίρεσις αὐτῶν . . . . . . . . . . . . . . . . . 71
Ἀποφατικοὶ χαρακτῆρες . . . . . . . . . . . . . . . . 71
Καταφατικοὶ χαρακτῆρες . . . . . . . . . . . . . . . . 72
Ἀξία καὶ σημασία τῶν ἐσωτερικῶν χαρακτήρων . . . . . . . . 73

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### Β'. Ἐξωτερικοὶ τῆς ἀποκαλύψεως χαρακτῆρες.

σελ.
Ὑποδιαίρεσις αὐτῶν . . . . . . . . . . . . . . . . 75
Φυσικοὶ χαρακτῆρες . . . . . . . . . . . . . . . . 75
Ὑπερφυσικοὶ χαρακτῆρες . . . . . . . . . . . . . . 77
α'. Θαύματα· τὸ δυνατόν, ἡ ἀνάγκη ἐν τῇ ἀποκαλύψει καὶ τὸ ἀξιόπιστον αὐτῶν . . . . . . . . . . . . . . . . 78
β'. Προφητεῖαι· τὸ δυνατόν, ἡ ἀξία ἐν τῇ ἀποκαλύψει καὶ τὸ ἀξιόπιστον αὐτῶν . . . . . . . . . . . . . . . . 84

### Τμῆμα Β'. Περὶ τῆς χριστιανικῆς θρησκείας, ὥσπερ μόνης ἀληθοῦς ἀποκαλύψεως.

Περὶ τῶν ὑποθέσεων τοῦ τμήματος τούτου . . . . . . . . . 89

### Κεφάλαιον Α'. Περὶ τοῦ χριστιανισμοῦ, ὥσπερ θρησκείας.

Περὶ τῆς χριστιανικῆς θρησκείας . . . . . . . . . . . . 91
Βάσις καὶ ἀρχὴ τῆς χριστιανικῆς θρησκείας . . . . . . . . 92
Τί ὁ Θεὸς ἐποίησεν ἐν τῇ χριστιανικῇ θρησκείᾳ, καὶ τί παρὰ τοῦ ἀνθρώπου ἀπαιτεῖται . . . . . . . . . . . . . . . 94
Σκοπὸς τῆς χριστιανικῆς θρησκείας . . . . . . . . . . . 97
Διαίρεσις τῆς χριστιανικῆς θρησκείας . . . . . . . . . . 98

### Κεφάλαιον Β'. Περὶ τοῦ χριστιανισμοῦ, ὥσπερ μόνης ἀληθοῦς ἀποκαλύψεως.

Ἀξία τοῦ ὑποκειμένου καὶ διαίρεσις τοῦ κεφαλαίου . . . . . . 103

### I. Περὶ τῆς θείας ἀρχῆς τῆς ἀποκαλύψεως τῆς παλαιᾶς Διαθήκης· α'. τῆς πατριαρχικῆς θρησκείας.

Πηγαὶ τῆς θρησκείας ταύτης . . . . . . . . . . . . . . 104

### Α'. Ἐσωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς πατριαρχικῆς θρησκείας.

Μέρη τῆς ἐρεύνης . . . . . . . . . . . . . . . . 105
Περὶ τῆς διδασκαλίας τῆς πίστεως . . . . . . . . . . . 105
Περὶ τῆς διδασκαλίας τῆς ἠθικῆς . . . . . . . . . . . . 111
Περὶ τῆς ἐξωτερικῆς λατρείας . . . . . . . . . . . . . 113
Περὶ τῆς μεγάλης ἀξίας τῆς πατριαρχικῆς θρησκείας . . . . . 114

### Β'. Ἐξωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς πατριαρχικῆς θρησκείας.

Ἐπιφάνειαι τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων . . . . . . . . . . 115
Περὶ θαυμάτων . . . . . . . . . . . . . . . . . . 117
Προφητεῖαι· α'. ὑπὸ τοῦ Θεοῦ τοῖς πατριάρχαις ῥηθεῖσαι . . . . 118
β'. Ὑπ' αὐτῶν τῶν πατριαρχῶν ῥηθεῖσαι, οἷα ἡ τοῦ Ἰακὼβ περὶ τοῦ χρόνου τῆς ἐλεύσεως τοῦ Μεσσίου . . . . . . . . . . . 119
Περὶ τῆς ἱστορικῆς ἀξιοπιστίας τῶν κατὰ τὴν πατριαρχικὴν περίοδον θεοφανειῶν, θαυμάτων καὶ προφητειῶν . . . . . . . . . 126

σελ.
Γενικὸν συμπέρασμα ἐκ τῶν ἡγουμένων καὶ μετάβασις εἰς τὰ ἑπόμενα 130
β'. Θρησκεία ὑπὸ νόμον. Περὶ τῶν πηγῶν καὶ τῶν μερῶν αὐτῆς . . 132

Α'. Ἐσωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς ὑπὸ νόμον θρησκείας.

Ὅρια . . . . . . . . . . . . . . . . . . . . . 133
Περὶ τοῦ νόμου τῆς πίστεως καὶ τῆς ἠθικῆς . . . . . . . . 133
Περὶ τοῦ νόμου τῶν τελετῶν . . . . . . . . . . . . . 141
Περὶ τοῦ πολιτικοῦ νόμου . . . . . . . . . . . . . . 144
Περὶ τῆς μεγάλης ἀξίας τῆς ὑπὸ νόμον θρησκείας . . . . . . . 148

Β'. Ἐξωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς ὑπὸ νόμον θρησκείας.

Ἀπαρίθμησις αὐτῶν . . . . . . . . . . . . . . . 151
Χαρακτὴρ τοῦ Μωϋσέως . . . . . . . . . . . . . . 151
Θαύματα τοῦ Μωϋσέως . . . . . . . . . . . . . . 152
Περὶ τῶν προφητειῶν τοῦ Μωϋσέως . . . . . . . . . . . 159
Χαρακτὴρ τῶν Προφητῶν . . . . . . . . . . . . . 163
Περὶ τῶν θαυμάτων τῶν προφητῶν . . . . . . . . . . . 165
Προφητεῖαι αὐτῶν . . . . . . . . . . . . . . . . 167
Προφητεῖαι, τὸν χρόνον τῆς τοῦ Μεσσίου ἐλεύσεως ὁρίζουσαι . . . 169
Προφητεία τοῦ Δανιὴλ περὶ τῶν ο'. ἑβδομάδων . . . . . . . . 169
β'. Προφητεῖαι τοῦ Ἀγγαίου καὶ Μαλαχίου περὶ τῆς δόξης τοῦ δευτέρου ναοῦ τῆς Ἱερουσαλήμ, εἰς ὃν ἔμελλεν ἐλθεῖν τὸν Μεσσίαν . 179
Προφητεῖαι περὶ τοῦ γένους τοῦ Μεσσίου . . . . . . . . . 184
α'. Φυλή, ἐξ ἧς ὁ Μεσσίας ἔμελλε γεννηθῆναι . . . . . . . 184
β'. Τόπος, ἐν ᾧ ὁ Μεσσίας ἔμελλε γεννηθῆναι . . . . . . . 187
γ'. Τρόπος τῆς γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ . . . . . . . 189
Προφητεῖαι περὶ τοῦ προσώπου καὶ τῶν ἔργων τοῦ Μεσσίου . . . 194
α'. Περὶ τοῦ Μεσσίου ἀνθρώπου ἅμα καὶ Θεοῦ . . . . . . . . 194
β'. Περὶ τοῦ Μεσσίου ὥσπερ προφήτου . . . . . . . . . . 197
γ'. Περὶ τοῦ Μεσσίου ὡς ἀρχιερέως . . . . . . . . . . 199
δ'. Περὶ τοῦ Μεσσίου ὡς βασιλέως . . . . . . . . . . . 202
Προφητεῖαι περὶ τῶν διαφόρων τοῦ βίου τοῦ Μεσσίου περιστάσεων 204
Συμπέρασμα ἐκ τῶν ἡγουμένων καθόλου καὶ μετάβασις εἰς τὰ ἑπόμενα 208

II. Περὶ τῆς θείας ἀρχῆς τῆς ἀποκαλύψεως τῆς καινῆς διαθήκης.
Α'. Ἐσωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς ἀποκαλύψεως τῆς καινῆς διαθήκης.

Περὶ τῆς διδασκαλίας τῆς πίστεως . . . . . . . . . . . 209
Περὶ τῆς διδασκαλίας τῆς ἠθικῆς . . . . . . . . . . . . 215
Περὶ τῆς ἐξωτερικῆς λατρείας . . . . . . . . . . . . . 223
Περὶ τῆς κοινωνίας τῆς ἀποκαλύψεως τῆς καινῆς Διαθήκης πρὸς τὴν πρόσκαιρον τοῦ ἀνθρώπου τύχην . . . . . . . . . . . 226

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Β΄. Ἐξωτερικοὶ χαρακτῆρες τοῦ θείου τῆς ἀποκαλύψεως τῆς καινῆς διαθήκης.*

σελ.

*Περὶ τῶν μερῶν καὶ τοῦ ὁρισμοῦ τῆς ὑποθέσεως* . . . . . . . 230
1. *Χαρακτῆρες ἐκ τῆς ἱστορίας Χριστοῦ τοῦ Σωτῆρος* . . . . . . 231
*Ἀπαρίθμησις αὐτῶν* . . . . . . . . . . . . . . . . . 231
*Περὶ τοῦ χρόνου καὶ τῶν περιστάσεων τῆς ἐπὶ γῆς τοῦ Ἰησοῦ Χριστοῦ ἐλεύσεως* . . . . . . . . . . . . . . . . . . 231
*Χαρακτὴρ τοῦ Ἰησοῦ Χριστοῦ* . . . . . . . . . . . . . . 237
*Περὶ τῶν θαυμάτων τοῦ Ἰησοῦ Χριστοῦ* . . . . . . . . . . 241
*Περὶ τῶν προφητειῶν τοῦ Ἰησοῦ Χριστοῦ* . . . . . . . . . 257
*Περὶ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ ἐκ τῶν νεκρῶν* . . . . 264
2. *Χαρακτῆρες ἐκ τῆς ἱστορίας τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Ἀπαρίθμησις αὐτῶν* . . . . . . . . . . . . . . . . . 277
*Περὶ τῆς ἐπελεύσεως τοῦ ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀποστόλους* . 277
*Χαρακτὴρ καὶ θαύματα τῶν ἁγίων ἀποστόλων* . . . . . . . . 279
*Περὶ τῆς ἐπιστροφῆς καὶ τῶν θαυμάτων τοῦ ἁγίου ἀποστόλου Παύλου* 284
*Περὶ τῆς θαυματικῆς διαδόσεως τοῦ Χριστιανισμοῦ* . . . . . . 289
*Περὶ τῶν θαυματικῶν ἐνεργειῶν τοῦ Χριστιανισμοῦ ἐν τοῖς ἀνθρώποις* . . . . . . . . . . . . . . . . . . . . . 299

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΡΟΟΙΜΙΟΝ.

---

## §. 1. *Περὶ τῆς εἰσαγωγῆς εἰς ἐπιστήμην.*

Ἐν τῇ εἰσαγωγῇ εἰς ἐπιστήμην ὡς τὰ πολλὰ τίθενται προκαταρκτικαὶ περὶ αὐτῆς γνώσεις, οὐδὲν μὲν ἀποτελοῦσαι ἐν αὐτῇ μέρος, κυρίως δὲ ταύτῃ ἀναγόμεναι, καὶ ἀναγκαίως προϋποτιθέμεναι· Εἰ τοῦτο οὕτως ἔχει, ἀνάγκη ὁρίσαι, ὅσον οἷόν τε ἀκριβῶς, τὸ ὑποκείμενον ἐπιστήμης τινός, καὶ ἐκ τούτου αὐθόριστον γίνεται, ὅ τι τὴν ἐπιστήμην ἀποτελεῖ, καὶ ὅ τι ἐν τῇ εἰσαγωγῇ προθεωρητέον.

## §. 2. *Περὶ τῆς ὀρθοδόξου θεολογίας.*

Ὀρθόδοξος [1] θεολογία [2] ἡ συστηματική ἐστιν ἔκθεσις τῆς Χριστιανικῆς πίστεως ἐπὶ τῇ βάσει τοῦ θείου λόγου, ἤτοι τῆς ἁγίας Γραφῆς καὶ τῆς ἱερᾶς Παραδόσεως, ὑπὸ τὴν χειραγωγίαν τῆς ὀρθοδόξου Ἐκκλησίας. Καὶ τὸν μὲν ὅρον συστηματικὴ κοινὸν ἔχει ἡ ὀρθόδοξος θεολογία ταῖς λοιπαῖς ἐπιστήμαις, οὗ ἄνευ οὐκ ἂν

---

[1] Ὀρθόδοξος ἀπὸ τοῦ ὀρθῶς δοκέω, κατὰ τὴν ἐν τοῖς Χριστιανοῖς χρῆσιν σημαίνει τὸν ὀρθῶς φρονοῦντα περὶ τὰ τῆς πίστεως, τὸν ὀρθῶς πιστεύοντα, κατ᾽ ἀντίθεσιν τοῦ ἑτερόδοξος, ἑτέραν γνώμην ἔχων, ἑτέρως φρονῶν, οὐκ ὀρθῶς πιστεύων.

[2] Ἡ λέξις θεολογία παρὰ τοῖς ἀρχαίοις τῆς Ἐκκλησίας διδασκάλοις διαφόρους εἶχε σημασίας· αὕτη ἐσήμαινε κατὰ μὲν τὴν ἐτυμολογίαν α΄. τὸν λόγον περὶ τοῦ Θεοῦ· β΄. τὸν λόγον ἀπὸ τοῦ Θεοῦ· τοῦθ᾽ ἕνεκα θεολογία ἐκαλεῖτο πᾶσα ἡ ἁγία Γραφὴ καθόλου, εἰδικῶς δὲ ἡ μὲν παλαιὰ διαθήκη θεολογία παλαιά, ἡ δὲ καινὴ θεολογία νέα· θεολόγοι δ᾽ ἐκαλοῦντο πάντες οἱ συγγραφεῖς τῶν ἱερῶν Γραφῶν, τ. ε. οἱ Προφῆται καὶ οἱ Ἀπόστολοι· γ΄. τὸν λόγον πρὸς τὸν Θεόν· ἐν τῇ σημασίᾳ ταύτῃ ἡ θεολογία ἐδήλου ἀπονομήν τινι καὶ ἀπόδοσιν θείας τιμῆς, καὶ μάλιστα τὴν ἀναγνώρισιν καὶ ὁμολογίαν τῆς θεότητος τοῦ Θεοῦ Πατρός, τοῦ Θεοῦ Υἱοῦ, τοῦ Θεοῦ ἁγίου Πνεύματος. Ἐκ τούτων οὖν δῆλον, ὅτι "θεολογία θεῖός ἐστι λόγος περὶ τοῦ Θεοῦ πρὸς θείαν δόξαν." Κατὰ δὲ τὴν ὑπόθεσιν ἐδήλου τὴν διδασκαλίαν α΄. καθόλου περὶ Θεοῦ, τῶν ἰδιωμάτων αὐτοῦ, τῶν θείων, καὶ παντὸς τῇ εὐσεβείᾳ ἀναγομένου· β΄. ἰδίᾳ περὶ θεοῦ, τῆς οὐσίας καὶ τῶν ἰδιοτήτων αὐτοῦ· γ΄. περὶ τῆς ἁγίας Τριάδος· δ΄. περὶ

ἐπιστήμη ὠνομάζετο· τὸν δὲ, ἔκθεσις τῆς Χριστιανικῆς πίστεως, ἴδιον, δι' οὗ πασῶν τῶν ἐπιστημῶν καὶ τῶν οὐ Χριστιανικῶν Θεολογιῶν διακρίνεται· τούτοις δὲ, ἔκθεσις τῆς Χριστιανικῆς πίστεως ἐπὶ τῇ βάσει τοῦ Θείου λόγου, τ. ε. τῆς ἁγίας Γραφῆς καὶ τῆς ἱερᾶς Παραδόσεως, διακρίνεται καὶ τῶν οὐκ ὀρθοδόξων Χριστιανικῶν Θεολογιῶν. Εἰσὶ γὰρ Χριστιανικαὶ κοινότητες; αἵτινες, καίτοι πηγὴν τῆς ὑπ' αὐτῶν ὁμολογουμένης Θρησκείας καὶ τῆς Θεολογίας τὸν Θεῖον ἀποδέχονται λόγον εἴτε τὴν Θείαν ἀποκάλυψιν, ἀποδέχονται μόνον ἐσωτερικὴν, τ. ε. τὴν ἐκ τοῦ Ἁγίου Πνεύματος ἔμπνευσιν, σφόδρα ταπεινοῦσαι τὴν ἁγίαν Γραφὴν καὶ τὴν ἱερὰν οὐκ ἀποδεχόμεναι Παράδοσιν (Κουάκεροι, Ἐμπνεόμενοι [illuminati] κ. τ. λ.)· ἄλλαι δὲ ἀποδέχονται πηγὴν τὴν ἱερὰν Γραφὴν οὐχὶ δὲ τὴν Παράδοσιν (Λουθηρανοί, Ἀναμορφωταί)· καὶ ἄλλαι παραδέχονται καὶ τὴν Γραφὴν καὶ τὴν Παράδοσιν κατὰ τὸν νοῦν μόνον τῆς τοπικῆς αὐτῶν ἐκκλησίας (Παπισταί), καὶ οὐ τῆς ὄντως καθολικῆς ὀρθοδόξου Ἐκκλησίας, μόνης ὑπὸ τοῦ Κυρίου ἱδρυθείσης, καὶ μόνης ἀναμαρτήτου φύλακος καὶ ἑρμηνευτοῦ τῆς Αὐτοῦ ἀποκαλύψεως οὔσης.

### §. 3. Ὑπόθεσις καὶ μέρη τῆς εἰς τὴν ὀρθόδοξον Θεολογίαν εἰσαγωγῆς.

Ἐκ τῶν ἐκτεθέντων τρία τινὰ ἐξάγονται α'. ἡ ὑπόθεσις

τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ. Κατὰ τὴν ἐσχάτην ταύτην σημασίαν Θεολόγοι ἐκλήθησαν ἐκ μὲν τῶν Ἀποστόλων ὁ Ἰωάννης, ὃς, κατὰ τὸν μακάριον Θεοφύλακτον, "ἀπὸ τῆς Θεολογίας ἤρξατο...", γράψας τὸ κατ' αὐτὸν Εὐαγγέλιον, ἵνα πιστεύσωμεν, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ (Ἰωάν κ'., 31)· ἐκ δὲ τῶν τῆς Ἐκκλησίας διδασκάλων Γρηγόριος ὁ Ναζιανζηνός, ὡς δεινῶς ὑπὲρ τῆς Θεότητος τοῦ λόγου κατ' Ἀρειανῶν ἀπολογησάμενος. Ἐκ πάντων τῶν εἰρημένων φανερόν, ὅτι Θεολογία ἐκαλεῖτο α'. ἡ περὶ Θεοῦ ἰδίως διδασκαλία, καὶ β'. ἡ περὶ Θεοῦ καὶ πάντων τῶν αὐτῷ ἀναγομένων. (Τὰς ἐνταῦθα ἀναγομένας τῶν ἁγίων Πατέρων ῥήσεις βλ. παρὰ Σουηκέρῳ in Thesaur. Ecclesiastic. ἐν λέξ. Θεολογέω, Θεολόγος, Θεολογία). Καὶ ἐν μὲν τῇ πρώτῃ σημασίᾳ ἡ λέξις Θεολογία μόνῳ τῷ πρώτῳ τῆς χριστιανικῆς δογματικῆς μέρει προσήκει, ἐν δὲ τῇ δευτέρᾳ πάσῃ τῇ περὶ τῆς χριστιανικῆς Θρησκείας ἐπιστήμῃ καὶ ταύτην ἔλαβεν ἡ Θεολογία τὴν σημασίαν ἀπὸ τῆς ιβ'. ἑκατονταετηρίδος. Νῦν δὲ Θεολογίαν καλοῦσι ἅπαν τὸ σύνολον τῶν μαθημάτων, ἅτινα ὑπόθεσιν ἔχουσι τὴν Χριστιανικὴν Θρησκείαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



τῆς ὀρθοδόξου Θεολογίας, β'. αἱ πηγαί, γ'. τὸ σύστημα αὐτῆς. Καὶ ταῦτά εἰσιν ἡ ὑπόθεσις καὶ τὰ μέρη τῆς εἰς τὴν ὀρθόδοξον Θεολογίαν εἰσαγωγῆς· τούτοις γὰρ ὁρίζεται τὸ μὴ μέρος τῆς ἐπιστήμης ἀπαρτίσαι δυνάμενον, κυρίως ὅμως ταύτῃ ἀναγόμενον καὶ ἀναγκαίως ὑπὸ ταύτης ὑποτιθέμενον.

Ἐπειδὴ πᾶσα ἐπιστήμη ὀφείλει ἀναπτύσσειν καὶ ἔργῳ ἀποδεικνύαι τὰ ἐν τῷ ὁρισμῷ αὐτῆς μόνῳ περιεχόμενα, καὶ ἡ ὀρθόδοξος Θεολογία, ὡς ἐπιστήμη, περιέχειν δύναται ὅσα μέρη ὁ ἀκριβὴς αὐτῆς ὁρισμὸς περιλαμβάνει. Ἀνωτέρω εἴρηται, α'. ὀρθόδοξος Θεολογία ἔκθεσίς ἐστι τῆς χριστιανικῆς Θρησκείας· ἐν τῇ ἐπιστήμῃ ὀψόμεθα τὰς ἀληθείας τῆς χριστιανικῆς Θρησκείας, τὴν ἀκριβῆ αὐτῶν ἀνάπτυξιν, στήριξιν, ἀπολογίαν... Τί δὲ νοεῖν δεῖ ὑπὸ τὴν χριστιανικὴν Θρησκείαν, ἐν τίνι ἐστὶ τοὐποκείμενον ἡ ἀρχὴ καὶ ἀξία αὐτῆς, εἰσὶν ἐρωτήσεις λόγου ἄξιαι καὶ ἄφυκτοι κατὰ τὴν ἐκμάθησιν αὐτῆς, ἃς ἡ ὀρθοδοξος Θεολογία θεωρῆσαι οὐ δύναται, πιστὴ μένουσα τῷ ἑαυτῆς ὁρισμῷ, ὑποτιθεῖσα ταύτας λελυμένας. β'. Τὴν ὀρθόδοξον Θεολογίαν ἔκθεσιν εἶναι δεῖ τῆς χριστιανικῆς Θρησκείας ἐπὶ τῇ βάσει τοῦ Θείου λόγου τ.ε. τῆς ἁγίας Γραφῆς καὶ τῆς ἱερᾶς Παραδόσεως, ὑπὸ τὴν χειραγωγίαν τῆς ὀρθοδόξου Ἐκκλησίας· οὕτω καὶ ἔσται. Τὰ γὰρ δόγματα τῆς πίστεως, οἱ τῆς ἠθικῆς νόμοι καὶ καθόλου πᾶσα ἡ χριστιανικὴ διδασκαλία ἐκτεθήσεται ἐπὶ τῇ βάσει τῶν Θείων πηγῶν, καὶ ὡς φυλάσσει καὶ παραδίδωσιν αὐτὴν ἡ ὀρθόδοξος Ἐκκλησία. Τί δέ ἐστι Θεία ἀποκάλυψις εἴτε Θεῖος λόγος καθόλου· τί δ' ἁγία Γραφὴ καὶ ἱερὰ Παράδοσις εἰδικῶς· ἐν τίνι συνέστηκε καὶ ἐπὶ τίνος στηρίζεται ἡ ἀξία αὐτῶν, ὡς πηγῶν; καὶ ὄντως ἡ ὀρθόδοξος Ἐκκλησία ἡμῶν διδάσκαλος τῶν περὶ τὴν πίστιν ὀφείλει εἶναι; καὶ αὗται ἐρωτήσεις φυσικαὶ καὶ ἀναπόδραστοι ἐν τῇ ἐκμαθήσει τῆς χριστιανικῆς Θρησκείας, ἃς ἡ ὀρθόδοξος Θεολογία προλελυμένας ὑποτίθησιν, οὐ γὰρ ἐν τῷ ὁρισμῷ αὐτῆς περιέχονται. γ', Ὀρθόδοξος Θεολογία ὀφείλει εἶναι συστηματικὴ τῆς χριστιανικῆς Θρησκείας ἔκθεσις· καὶ τοῦτο ἐκπληρωθήσεται· τὴν γὰρ διαίρεσιν τῶν Θεολογικῶν μαθημάτων, τὴν προσήκουσαν αὐτῶν κατάταξιν καὶ τὴν ἐξέτασιν μεθοδικῶς ὀψόμεθα. Τί δέ ἐστι σύστημα τῆς Θεολογίας, διὰ τί διαιρεθήσεται οὕτω καὶ οὐκ ἄλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λως, διὰ τί ἑκάστῳ τῶν μερῶν αὐτῆς ὁρίζεται αὕτη ἡ ὑπόθεσις, ἐκείνη ἡ διάταξις καὶ μέθοδος καὶ οὐκ ἄλλη..., καὶ ταῦτα ὑποτίθησιν ἡ θεολογία προλελυμένα, καὶ οὐ δικαίως προσεδοκῶμεν ἂν παῤ αὐτῆς ἀπάντησιν·

Ὅθεν ἡ εἰς τὴν ὀρθόδοξον θεολογίαν εἰσαγωγὴ ἐκ τριῶν συνέστηκε μερῶν.

Α΄. Ἐκ τῆς διδασκαλίας περὶ τῆς ὑποθέσεως τῆς ὀρθοδόξου θεολογίας,

Β΄. Ἐκ τῆς περὶ τῶν πηγῶν αὐτῆς,

Γ΄. Ἐκ τῆς περὶ τοῦ συστήματος.

§. 4. *Πηγαί, βοηθήματα καὶ μέθοδος.*

α΄. Πηγαὶ τῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν εἰσαγωγῆς ἡ ἁγία Γραφὴ καὶ ἡ ἱερὰ Παράδοσίς εἰσι, τηρούμεναι καὶ παραδιδόμεναι ὑπὸ τῆς ὀρθοδόξου Ἐκκλησίας. Πόθεν γὰρ ἀρύσασθαι δεῖ διὰ τὸ πρῶτον μέρος τὴν διδασκαλίαν περὶ τῆς χριστιανικῆς θρησκείας, τοῦ ὑποκειμένου αὐτῆς, τῶν ἰδιοτήτων καὶ τῆς θείας ἀρχῆς; πόθεν διὰ τὸ δεύτερον, τὴν περὶ τῶν πηγῶν τῆς χριστιανικῆς Πίστεως καὶ τῆς θεολογίας; πόθεν διὰ τὸ τρίτον, τὴν πλήρη καὶ ἀκριβῆ περὶ τῆς ὑποθέσεως τῆς ὀρθοδόξου θεολογίας, τ. ε. τῆς χριστιανικῆς θρησκείας, ἔννοιαν, ἐφ᾽ ἧς στηριχθῆναι δεῖ ἅπαν τὸ συστηματικὸν τῶν θεολογικῶν μαθημάτων οἰκοδόμημα, εἰ μὴ ἐκ τῆς ὑπὸ τῆς Ἐκκλησίας τηρουμένης καὶ παραδιδομένης χριστιανικῆς Ἀποκαλύψεως;

β΄. Ἀναπόδραστον βοήθημα αἱ τοῦ ὑγιαίνοντος λόγου διασκέψεις καὶ ἱστορικαὶ ἔρευναί εἰσι. Τοῦτο δ᾽ ἀναγκαῖον ἐν τοῖς δυσὶ πρώτοις μέρεσιν· ἡ γὰρ χριστιανικὴ θρησκεία, θεία ἀποκάλυψις οὖσα, καὶ ἡ τοῦ Χριστοῦ ὀρθόδοξος Ἐκκλησία, θεῖον οὖσα ἐπὶ τῆς γῆς οἰκοδόμημα, ἱστορικά εἰσι γεγονότα· ἄρα ζήτημα τῶν δύο τούτων μερῶν ἐστιν οὐ τὸ ὁρίσαι μόνον καὶ ἀναπτύξαι τὰ περὶ τῆς χριστιανικῆς θρησκείας καὶ τῶν αὐτῆς πηγῶν (ὃ τὸ πρῶτον προοιμιακὸν μέρος ἐστίν), ἀλλὰ μάλιστα στηρίξαι καὶ κατὰ τῶν ἀντιλογιῶν τῶν ἐλευθεροφρόνων (περὶ τὰ τῆς θρησκείας) ὑπὲρ αὐτῆς ἀπολογήσασθαι, δεῖξαι, ὅτι ἡ χριστιανικὴ θρησκεία ἀφιλονείκως ἐκ θεοῦ τὴν ἀρχὴν ἔχει, καὶ ὅτι πηγὰ τῆς

ὀρθοδόξου θεολογίας ἀναγκαίως ἀποδέχεσθαι δεῖ τήν τε Γραφὴν καὶ Παράδοσιν, ὥσπερ αὐτὰς νοεῖ ἡ ὀρθόδοξος Ἐκκλησία. Ἐπὶ τοιαύτῃ οὖν ἐρεύνῃ ἀνεπαρκὲς πάντως ἂν εἴη μόναις ταῖς τοῦ χριστιανισμοῦ ὑπὲρ ἑαυτοῦ περιορισθῆναι μαρτυρίαις, ζητήματος μάλιστα ἔτι ὄντος, εἰ ἀληθῶς εἴη θεῖος, καὶ εἰ ὄντως ἡ αὐτοῦ διδασκαλία καὶ ἡ ἰδία μαρτυρία ἄξιαι τῆς πίστεως ἡμῶν. Ἀνεπαρκὲς δ' ἂν τοῦτο μᾶλλον εἴη τοῖς πρὸς ἡμᾶς ἀντιμαχομένοις, φανερῶς κατὰ τῆς θειότητος τῆς χριστιανικῆς θρησκείας καὶ τῆς ἀξίας τῶν αὐτῆς πηγῶν ἐξοπλιζομένοις. Διὸ καὶ ἡμῖν, τοὺς ἀρχαίους ὑπὲρ τοῦ χριστιανισμοῦ ἀπολογητὰς μιμουμένοις, βοηθοὺς τόν τε ὑγιαίνοντα νοῦν καὶ τὴν ἀπαθῆ ἱστορίαν καλέσαι δεῖ. Μόνη γὰρ ἡ τούτων φωνὴ πεῖσαι δύναται τοὺς τῇ πίστει ἀπειθοῦντας·

Καὶ τοῦ τρίτου μέρους τῆς Εἰσαγωγῆς ἀναγκαίως δεῖ τὸν λόγον μετασχεῖν. Ἐπινοεῖν γὰρ καθόλου συστήματα ἐπιστημῶν, διαιρεῖν καὶ ὑποδιαιρεῖν αὐτὰ εἰς μέρη, ἔργον ἐστὶ τοῦ λόγου ἡμῶν σὺν τοῖς λογικοῖς αὐτοῦ γένεσι καὶ εἴδεσιν.

γ'. Ἡ τῶν δύο πρώτων τῆς Εἰσαγωγῆς μερῶν μέθοδος καταφατικὴ εἶναι ὀφείλει ἅμα καὶ ἀποφατική. Τὸ δ' αὐτῶν ζήτημα κατὰ τὴν ἀνάπτυξιν ἑκάστης ἀληθείας ἐστί, καὶ τὸ τὴν ἀλήθειαν καὶ τὰς ἐφ' ὧν αὕτη στηρίζεται βάσεις καταφατικῶς παραστῆσαι, καὶ τὸ κριτικῶς ἀναπτύξαι τὰς κατ' αὐτῆς καὶ τῶν αὐτῆς βάσεων γινομένας ἀντιῤῥήσεις, καὶ εἶτα εἰς ἔρευναν ἄλλων ἀληθειῶν μεταβαίνειν κατὰ τάξιν. Σημειωτέον ὅμως, ὅτι α'. ἐν τούτῳ ἐφιστάναι τὸν νοῦν ἀρκεῖ ἐπὶ τὰς συγχρόνους ἀντιῤῥήσεις, καὶ οὐκ ἐπὶ παρελθούσας πρὸ πολλοῦ ἤδη καὶ ἀπειράκις ἀνασκευασθείσας· β'. ἀλλὰ καὶ τούτων ἐπὶ τὰς κυριωτέρας καὶ τὰς ἰσχυρωτέρας δοκούσας, ὧν τῇ πτώσει καὶ τὰς ἄλλας φύσει πεσεῖν δεῖ· καθόλου δέ, ὅσον οἷόν τε, ἀμφισβητήσεις ἀποφεύγειν καὶ σχολαστικὰς λεπτολογίας, ξηράν, σκληρὰν καὶ ἄψυχον τὴν ἐπιστήμην καθιστάσας· κάλλιστον δέ ἐστι τὰς καταφατικὰς ἀποδείξεις ἀληθείας τινὸς ἐκτιθέναι οὕτως, ὥστε ῥᾴδιον εἶναι πάσας τὰς κατ' αὐτῆς γινομένας ἀνασκευάσαι ἀντιῤῥήσεις [3].

[3] Τῆς ἐσχάτης ταύτης παρατηρήσεως ἔχεσθαι ἀναγκαῖον ἡγησάμεθα μάλιστα ἐν τῇ συνθέσει τῶν ἐκδιδομένων ἤδη σημειώσεων, ἐν αἷς αἱ κατὰ τῶν ἀληθειῶν ἀντιῤῥήσεις καὶ αἱ κατ' αὐτῶν ἀνασκευαὶ ὡς ἐπὶ τὸ πλεῖστον

Τριπλῆ δὲ εἶναι δύναται ἡ μέθοδος τῆς ἐκθέσεως τοῦ τρίτου μέρους τῆς Εἰσαγωγῆς. α΄, παριστάναι μετά τινας προοιμιώδεις γνώσεις περὶ Θεολογίας, ὥσπερ συστήματος, συστηματικὸν μόνον διάγραμμα τῶν Θεολογικῶν μαθημάτων καὶ περιληπτικὴν θεωρίαν αὐτῶν ὡς πρὸς τὴν κοινὴν πρὸς ἄλληλα συνάφειαν· β΄. μετὰ τὸν ὁρισμὸν αὐτῶν καὶ τὴν ἱστορίαν ἐκτιθέναι ἑκάστου· γ΄. περίληψιν τῆς φιλολογίας [literatur] ἑκάστου μετὰ τὴν αὐτοῦ ἱστορίαν ἐπισυνάπτειν. Ἡμεῖς τὴν πρώτην μάλιστα ἀποδεχόμεθα μέθοδον, ὑπ᾽ αὐτῆς γὰρ τῆς ὑποθέσεως τούτου τοῦ μέρους τῆς εἰσαγωγῆς ὁρίζεται· τὰς δὲ ἄλλας ἐν μέρει μόνον προσλαμβάνομεν, δεικνύντες τῇ ὁδηγίᾳ τῆς ἱστορίας καὶ φιλολογίας αὐτῆς τὰς κυριωτέρας πηγὰς καὶ βοηθήματα ἐπὶ τῷ τῶν μαθημάτων ὁρισμῷ. Πλήρη δὲ ἱστορίαν καὶ φιλολογίαν τῶν Θεολογικῶν μαθημάτων ἁρμοδιώτερον καὶ λυσιτελέστερόν ἐστιν ἐν τῇ εἰδικῇ εἰς ἕκαστον μάθημα εἰσαγωγῇ πρὸ τῆς ἀκριβοῦς αὐτοῦ ἐκθέσεως συνοπτικῶς θεωρεῖν, ὥσπερ πολλοὶ τῆς Θεολογίας διδάσκαλοι πράττουσιν.

### §. 5. Ἱστορικὴ θεωρία ἄλλων μεθόδων τῆς εἰσαγωγῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν.

Ὁμολογητέον, ὅτι ἐν τῇ ἡμετέρᾳ θεωρίᾳ τῆς εἰσαγωγῆς εἰς τὴν ὀρθόδοξον Θεολογίαν μικρὸν ἀπέστημεν τῶν μεθόδων, καίπερ καὶ πρὸς ἀλλήλας διαφόρων, ἃς οἱ πάτριοι θεολόγοι περὶ αὐτῆς εἶχον.

Οἱ μὲν γὰρ τούτων ἐξετίθεσαν ἐν τῇ εἰσαγωγῇ περιληπτικωτάτην ἐγκυκλοπαιδείαν, ἐν ᾗ ἀνέπτυσσον τὰ περὶ τῆς οὐσίας τῆς Θεολογίας, τὴν ὑπόθεσιν, τὸν σκοπόν, τὸ περιεχόμενον καὶ τὴν διαίρεσιν αὐτῆς, δεικνύντες ἔστιν ὅτε καὶ τρόπους πρὸς ἐκμάθησιν αὐτῆς. Τοιαῦται δὲ εἰσαγωγαὶ ἀπαντῶσιν ὡς τὰ πολλὰ ἐν Θεολογικοῖς ἐγχειριδίοις, π. χ. ἐν τῷ τῆς ἐν Κιέβῳ Ἀκαδημίας,

---

παρελείφθησαν, ἢ ὀρθότερον, ἐξετέθησαν, ὅσον οἷόν τε, καταφατικῶς. Αὗται δέ, ὥσπερ ἕκαστος συμφωνήσει, διάγραμμα δεῖ εἶναι καὶ περίληψιν οὗ ἐν προσηκούσῃ ἐκτάσει ἀκροάσονται ἢ ἠκροάσαντο ἤδη οἱ σπουδασταὶ παρὰ τοῦ καθηγητοῦ ἐν ταῖς παραδόσεσιν· ὅθεν περιέχειν δεῖ ἀρχὰς καὶ ἱκανὰς αἰνύξεις, καθ᾽ ἃς ἂν ῥαδίως οἱ σπουδασταὶ τὸ παραδοθὲν ἀναπολήσωσιν.

¹ Βλ. Ἱστορ. τῆς ἐν Κιέβῳ Ἀκαδημ. σελ. 69. Πετρούπ. 1843.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τὸ 1696*[4] *ἐν τοῖς δοκιμίοις τῆς Θεολογίας τοῦ ἀρχιμανδρίτου Ὑακίνθου τοῦ Καρπινσκίου*[5], *τοῦ Ἐπισκόπου Συλβέστρου τοῦ Λεβεδίνης καὶ ἄλλων.*

*Οἱ δὲ πρὸς τῇ περιληπτικῇ ἐγκυκλοπαιδείᾳ ἐπειρῶντο ἐν τῇ εἰς τὴν Θεολογίαν εἰσαγωγῇ ἐρεύνας καταχωρίζειν περὶ τῶν ἀρχῶν τῆς Θεολογίας· οἷον, περὶ τῆς ἀξίας τῆς ἁγίας Γραφῆς, τῆς ἱερᾶς Παραδόσεως, τῶν οἰκουμενικῶν Συνόδων, τῶν ἁγίων Πατέρων κ. τ. λ. Τοιαῦτα ἄρθρα πρῶτος παρ' ἡμῖν κατεχώρισεν ἐν τῇ εἰς τὴν Θεολογίαν εἰσαγωγῇ ὁ ἀρχιερεὺς Θεοφάνης ὁ Προκοποβίδης*[7] *καὶ οἱ αὐτῷ ἀκολουθήσαντες Ἱεράρχαι Σύλβεστρος ὁ Κουλιάκας, Γεώργιος ὁ Κονίσκιος*[8] *καὶ Εἰρηναῖος ὁ Φαλκοβσκίου*[9].

*Οἱ δέ, εὐάριθμοι ὄντες, τούτοις ἐπισυνάπτουσιν ἐν ἀρχῇ καὶ ἐν τέλει τῆς εἰσαγωγῆς εἰς τὴν Θεολογίαν καὶ ἐρεύνας περὶ θρησκείας καθόλου, τῆς ἀποκαλύψεως καὶ μάλιστα τῆς θειότητος τῆς χριστιανικῆς θρησκείας· καὶ τοιοῦτοί εἰσιν ὁ Ἱεράρχης Θεοφύλακτος*[10] *καὶ ὁ πρωτοϊερεὺς Τερνόβσκιος*[11], *οἷς καὶ ἡμεῖς σχεδὸν ἐν πᾶσι συμφωνοῦμεν· μόνην δὲ τὴν περὶ τῶν πηγῶν τῆς ὀρθοδόξου Θεολογίας διδασκαλίαν προεθέμεθα ἀναπληρῶσαι ἰδίῳ ἄρθρῳ περὶ τοῦ, ὅτι ταύταις χρῆσθαι δεῖ ἐν τῇ ὀρθοδόξῳ Θεολογίᾳ μόνον κατὰ τὸν νοῦν τῆς ὀρθοδόξου Ἐκκλησίας, καὶ ὅτι αὐτὴν εἶναι ἡμῶν διδάσκαλον τῶν περὶ τὴν θρησκείαν.*

---

[5] Compendium Orthodoxae Theologicae doctrinae... Lips. 1786.

[6] Compendium Theologiae classicum didactico-polemicum. Mosquae 1805.

[7] *Οὗτος καλεῖ* prolegomena: de definitione, objecto, causa, partitione, methodo et principiis Theologiae. Vid. Christ. Orthod. Theolog. in Acad. Kioviensi a Theoph. Procoponicz, vol. 1. Lips. 1782.

[8] *Βλ. Τὰ αὐτῶν διαγράμματα ἐν τῇ Ἱστορ. τῆς ἐν Κιεβ. Ἀκαδ. σελ.* 139—143.

[9] Christ. orthod. dogmatico-polem. Theol. compendium... ab Irineo Falkovski, tom. 1. cap. I—XIII. Mosquae 1802.

[10] Orthod. Orient. Eccles. dogmata seu doctrin. Christ. de credendis, petropoli 1818, §§. 1—23: Articulus praeliminaris — de principiis ac fundamentis Christ. religionis.

[11] *Τοιαύτην γενικὴν εἰς τὴν Θεολογίαν εἰσαγωγὴν κατεχώρισεν ἐν ἀρχῇ τῆς αὐτοῦ Δογματικῆς, ἐκδ.* 1838 *καὶ* 1843.

*Διὰ τί δὲ ταύτην τὴν μέθοδον τῆς εἰσαγωγῆς εἰς τὴν ὀρθόδοξον θεολογίαν ἐξελεξάμεθα, εἴρηται ἤδη ἀνωτέρω· οὐκ ἄλλην δὲ τῶν δηλωθεισῶν ἐξελεξάμεθα, διότι α΄. μόνη ἡ ἐγκυκλοπαιδεία οὐ δύναται εἰσαγωγὴ εἶναι εἰς τὴν ὀρθόδοξον θεολογίαν, ἀλλὰ μόνον εἰσαγωγὴ εἰς τὴν θεολογίαν, ὡς ἐπιστήμην· β΄. αἱ συναπτόμεναι τῇ ἐγκυκλοπαιδείᾳ ἔρευναι περὶ τῶν τῆς θεολογίας βάσεων καὶ ἀρχῶν, τ. ε. τῆς ἁγίας Γραφῆς καὶ τῆς ἱερᾶς Παραδόσεως, περὶ τῆς ἀξίας τῶν οἰκουμενικῶν Συνόδων καὶ τῶν ἁγίων Πατέρων, ἄνευ προοιμιακῶν ἐρευνῶν περὶ θρησκείας καὶ ἀποκαλύψεως, καὶ εἰδικώτερον, περὶ τῆς θείας ἀρχῆς τῆς χριστιανικῆς θρησκείας καὶ τῆς ἀναμαρτήτου διδασκαλίας τῆς Ἐκκλησίας, οὐκ ἐπαρκεῖς εἶναι δύνανται· οὐ γὰρ αὐταὶ μόναι τὰς προσηκούσας ἔχουσι βάσεις καὶ ἀρχάς· γ΄. αἱ εἰς τὴν θεολογίαν εἰσαγωγαί, ἐν αἷς πρὸς τῇ περιληπτικῇ ἐγκυκλοπαιδείᾳ ὑπάρχουσιν ἔρευναι περὶ θρησκείας καθόλου καὶ εἰδικῶς τῆς χριστιανικῆς, ὡς καὶ περὶ τῶν ἀρχῶν τῆς θεολογίας, ἔρευνα δὲ περὶ τῆς ὀρθοδόξου Ἐκκλησίας, ὡς διδασκάλου τῆς θρησκείας, οὐχ ὑπάρχει, εἰσαγωγαί εἰσιν οὐκ εἰς τὴν ὀρθόδοξον θεολογίαν, ἀλλὰ καθόλου μόνον εἰς τὴν χριστιανικὴν εἴτε ἐξ ἀποκαλύψεως θεολογίαν. Τοιαῦται εἰσαγωγαὶ ἀτελεῖς ἡμῖν εἰσι. Προσθετέον δέ, ὅτι αἱ παρ᾽ ἡμῶν εἰς τὴν εἰσαγωγὴν ταύτην προσληφθεῖσαι ὑποθέσεις περιέχονται ἐν τῇ εἰσαγωγῇ τῆς "ἐκτενοῦς χριστιανικῆς κατηχήσεως τῆς ὀρθοδόξου καθολικῆς ἀνατολικῆς Ἐκκλησίας"· Αὕτη δὲ ἡ κατήχησις περιληπτικὴ ὀρθόδοξος θεολογία ἐστί, καὶ τύπος ἡμῖν εἶναι ὀφείλει.*

---

## ΜΕΡΟΣ Α΄.

### Περὶ τοῦ Ὑποκειμένου τῆς ὀρθοδόξου θεολογίας.

#### §. 6. *Σύστασις τοῦ μέρους τούτου.*

*Ὑπόθεσις τῆς ὀρθοδόξου θεολογίας, ὥσπερ εἴρηται, ἡ χριστιανική ἐστι θρησκεία· ἄρα ζήτημα τοῦ μέρους τούτου ἐστὶ τὴν ὀρθὴν περὶ τῆς χριστιανικῆς θρησκείας ἀναπτύξαι ἔννοιαν. Αὕτη δὲ ἡ περὶ τῆς χριστιανικῆς θρησκείας, ὥσπερ θρησκείας ἐξ ἀποκαλύψεως, ἔννοια δύο ἄλλας ἀναγκαίως ὑποτίθησιν, ὧν ἄνευ οὐ*

πλήρης καὶ σαφὴς εἶναι δύναται, τὴν περὶ τῆς θρησκείας καὶ τὴν τῆς ἀποκαλύψεως καθόλου· ὁ γὰρ χριστιανισμὸς μία ἐστὶ τῶν ἐν τῷ κόσμῳ θρησκειῶν, ἀληθὴς καὶ θεία ἀποκάλυψις ἐν τῇ σειρᾷ τῶν οὕτω καλουμένων ἀποκαλύψεων, ψευδῶς προσοικειουμένων τὸ ὄνομα τοῦτο. Ὅθεν τὸ πρῶτον μέρος τῆς εἰσαγωγῆς δύο ὀφείλει τμήματα περιέχειν, τὸ μὲν α'· προοιμιῶδες περὶ τῆς θρησκείας καὶ τῆς ἀποκαλύψεως καθόλου, τὸ δὲ β'· οὐσιῶδες περὶ τῆς χριστιανικῆς θρησκείας, ὡς μόνης ἀληθοῦς ἀποκαλύψεως[12].

[12] *Πλεῖστά εἰσι συγγράμματα, ἐν οἷς ἀναπτύσσεται καὶ προασπίζεται ἡ περὶ τῆς θρησκείας καὶ ἀποκαλύψεως καθόλου διδασκαλία, εἰδικῶς δὲ ἡ περὶ τῆς χριστιανικῆς, ὡς μόνης ἀληθοῦς καὶ θείας ἀποκαλύψεως· καὶ κατὰ μὲν τοὺς πρώτους αἰῶνας τοῦ χριστιανισμοῦ ἀπετείνοντο πρὸς τοὺς ἐθνικούς, Ἰουδαίους καὶ αἱρετικούς, τοὺς δὲ μέσους πρὸς τοὺς Ἰουδαίους, ἐθνικοὺς καὶ Μωαμεθανούς, τοὺς δὲ νεωτάτους πρὸς τοὺς καλουμένους ἀδιαφορητάς, ἀθεϊστάς, ὑλιστὰς* (naturalistos) *καὶ λογιστάς* (rationalistos). *Τούτων δ' ἀκριβεστάτη ἀπαρίθμησίς ἐστιν ἐν τῷ α'. Τόμ.* biblioth. Theol. Walchii, Jen. 1757: *ἐν* bibliogr. dogmat. Goldwitzeri, Solisb. 1831, *καὶ παρὰ πολλοῖς ἄλλοις. Ἡμεῖς ὅμως δύο μόνον πρὸ μικροῦ ἀναφανείσας συλλογὰς ἀναφέρομεν, ὧν ἐν τῇ μὲν ἀποσπάσματά εἰσιν ἐκ τῶν συγγραμμάτων τῶν ἐπισημοτάτων συγγραφέων τῆς νεωτάτης ἐποχῆς ὑπὲρ τῆς χριστιανικῆς πίστεως, ἐπιγραφομένη.* La Raison du christianisme, Paris, 1834: *ἐν δὲ τῇ ἑτέρᾳ ὅλα συγγράμματα, ἐπιγραφομένη.* Demonstrations Evangéliques des Tertulien, Origène, Eusèbe etc., reproduites integralément, par M. L'abbé M... en XVI. tom. Paris, 1843. *Ἐν δὲ τῇ πατρίδι ἡμῶν συγγράμματα ὑπὲρ τῆς χριστιανικῆς θρησκείας, ἕνεκα τῆς ἐλλείψεως τῶν πρὸς τοῦτο περιστάσεων, σχεδὸν οὐκ ἀνεφάνησαν. Εἰσὶν ὅμως τινά, οἷον, α'. ὁ Διασαφηνιστὴς τοῦ ἁγίου Ἰωσὴφ τοῦ Βολοκολάμης, τὸν ιε'. αἰῶνα γραφεὶς κατὰ τῶν Ἰουδαϊζόντων· β'. δύο συγγράμματα Ἰωαννικίου Γολιατοβσκίου τὸν ιϛ'. αἰῶνα, τὸ μὲν κατὰ Ἰουδαίων, τὸ δὲ κατὰ Μωαμεθανῶν· γ'. Διατριβὴ περὶ ἀθεΐας Θεοφάνους τοῦ Προκοποβίδου, ἐκδ.* 1774· *δ'. μικρά τις διατριβὴ περὶ τῆς θειότητος τῆς χριστιανικῆς διδασκαλίας ὑπὸ Θεοκτίστου, ἀρχιεπισκ. Κούρσκης καὶ Λευκοπόλεως (Βελογράδης),* 1801. *Ἀλλ' αὕτη ἡ ἔλλειψις ἀπὸ τοῦ ἐσχάτου ἡμίσεως τῆς παρελθούσης ἑκατονταετηρίδος ἀνεπληρώθη παρ' ἡμῖν μεταφράσεσιν ἀλλοδαπῶν ἀπολογητικῶν βιβλίων. Τοιαῦτα δέ εἰσι· α'. ἡ τοῦ Γροτίου διατριβὴ κατὰ ἀθεϊστῶν καὶ ὑλιστῶν,* 1765, 1781, 1801· *β'. Ὁ καταισχυνθεὶς ἄθεος καὶ ὑλιστής. Πετρούπ.* 1787· *γ'. Θρῆνος τῆς ἀληθείας κατὰ τὰς πλάνας τοῦ αἰῶνος, Μόσχ.* 1804· *δ'. Ἰουδαϊκαὶ ἐπιστολαὶ πρὸς Βολτέρον, Μόσχ.* 1808, 1816· *ε'. Θρίαμβος τοῦ Εὐαγγελίου, τόμ. γ'. Πετρούπ.* 1821· *ϛ'. Τὸ πασιφανὲς τῆς θείας ἀρχῆς τῆς χριστ. θρησκείας ὑπὸ Ζενίγξου, Πετρ.* 1827. *ζ'. Περιληπτικὴ ἔκθεσις τῶν ἀποδείξεων περὶ τῆς θείας ἀρχῆς τῆς χριστ. ἀποκαλύψεως ὑπὸ Πορτιούσου,* 1811, 1834, 1842 *καὶ ἄλλα.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΜΗΜΑ Α΄.

## Περὶ θρησκείας καὶ ἀποκαλύψεως καθόλου.

### Κεφάλαιον α΄.

### Περὶ θρησκείας.

§. 7. *Πῶς θεωρητέον τὴν θρησκείαν.*

*Τριχῶς τὴν θρησκείαν θεωρητέον, α΄ πρὸς τὰς αὐτῆς βάσεις ἢ τὰς ἐφ᾽ ὧν στηρίζεται οὐσιώδεις ἀληθείας, β΄ πρὸς τὴν αὐτῆς οὐσίαν ἀφηρημένως, γ΄ τὴν ἐφαρμογὴν ἢ τὴν ἀληθῆ αὐτῆς ὕπαρξιν. Ἡ δὲ πλήρης θεωρία τῆς θρησκείας, κληρονομίας οὔσης ἁπάντων τῶν λογικῶν ὄντων, ἀδιστάκτως περιλαμβάνειν ἐντελῶς αὐτὴν ὀφείλει.*

## Α΄.

### Θεμελιώδεις ἀλήθειαι ὑπὸ τῆς ἐννοίας περὶ θρησκείας ὑποτιθέμεναι.

§. 8. *Δείξεις αὐτῶν.*

*Πρὸ πάντων ὀφείλομεν ἀναπτύξαι καὶ στηρίξαι τὰς ἐφ᾽ ὧν βασίζεται ἡ θρησκεία οὐσιώδεις ἀληθείας, καὶ ὧν ἄνευ οὐχ ὑπάρχειν δύναται· τ. ε. τὰς ἀληθείας τῆς τοῦ Θεοῦ ὑπάρξεως, ἀϋλίας τε καὶ ἀθανασίας τῆς ἀνθρωπίνης ψυχῆς. Εἰ γὰρ οὐκ ἔστι Θεός, οὐδὲ ψυχὴ ἄϋλος καὶ ἀθάνατος ἐν ἡμῖν, ἡ θρησκεία κενός ἐστι λόγος· ὥστε ἐκτιθέναι τὴν περὶ αὐτῆς διδασκαλίαν ἄνευ προοιμιώδους ἀναπτύξεως τῶν δύο τούτων ἀληθειῶν ἐδήλου ἐπὶ ψάμμου κτίζειν.*

§. 9. *Ἡ τῆς τοῦ Θεοῦ ὑπάρξεως ἀλήθεια.*

*Πρὸς τὴν πεποίθησιν τῆς ὑπάρξεως τοῦ Θεοῦ, Ὄντος τελειοτάτου, δημιουργοῦ καὶ προνοητοῦ τοῦ κόσμου, ἄγουσιν ἡμᾶς πᾶσαι μόνον αἱ ἀποκαλυφθεῖσαι ἡμῖν πρὸς ἀπόκτησιν γνώσεων καθόλου ὁδοί, α΄ ἡ τῆς παραδόσεως καὶ τῆς ἱστορικῆς θρησκείας· β΄. ἡ τῆς ἰδίας ἐξωτερικῆς πείρας· γ΄. ἡ τῆς ἐσωτερικῆς πείρας καὶ αὐτοσυνειδησίας· δ΄. ἡ τοῦ εὐσεβοῦς βίου.*

I. *Τρία λίαν οὐσιώδη φαινόμενα παρέχει ἡμῖν πρὸς τοῦτο ἡ Ἱστορία.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*α'.* Οἱ ἄνθρωποι ἀπ' ἀρχῆς κατὰ πάντας τοὺς τῆς ἑαυτῶν ἀναπτύξεως βαθμούς, καὶ ἄγριοι καὶ ἡμιμαθεῖς καὶ λίαν λόγιοι ἀεὶ τὴν ὕπαρξιν τοῦ Θεοῦ ὡμολόγουν, καίτοι ἄγαν διέφερον κατὰ τὰς ἐννοίας περὶ αὐτοῦ. Καὶ ὑπὲρ μὲν τῶν ἀρχαίων ἐθνῶν οἱ σοφώτατοι τῆς Ἑλλάδος καὶ Ῥώμης ἄνδρες ἐγγυῶνται· οἷον, Πλάτων, Ἀριστοτέλης, Ἐπίκουρος, Σενέκας, Κικέρων, Σέξτος ὁ Ἐμπειρικὸς καὶ Πλούταρχος, οἵτινες ταύτῃ τῇ ἀποδείξει τῆς τοῦ Θεοῦ ὑπάρξεως ἐχρήσαντο [13]. Εἰ δὲ παρά τισιν ἀρχαίοις συγγραφεῦσι λαοί τινες ὠνομάζοντο ἔστιν ὅτε ἄθεοι, ὡς οἱ Γάλλοι [14], τοῦτο ἐδήλου μόνον, ὅτι τὰ ἔθνη ἐκεῖνα οὐχ ὡμολόγουν τοὺς θεούς, εἰς οὓς οἱ συγγραφεῖς αὐτοὶ καὶ οἱ συμπολῖται αὐτῶν ἐπίστευον, ἢ προήρχετο ἐκ μεγίστης ἀμαθείας, ἢ γέννημα ἦν θρησκευτικοῦ φανατισμοῦ, μίσους καὶ συκοφαντίας. Ὑπὲρ δὲ τῶν ἐθνῶν τῶν νεωτάτων χρόνων ὀλίγῳ γνωστῶν (καὶ γὰρ τὰ γνωστά, τ. ε. Εὐρωπαίους, Ἀσιάτας, Ἀφρικανούς τινας καὶ Ἀμερικανούς, περιττὸν ἂν εἴη καὶ μνημονεῦσαι) πολλοὶ λόγιοι περιηγηταὶ καὶ ἐρευνηταὶ ἐγγυῶνται, οἵτινες περιέπλευσαν θαλάσσας, διῆλθον ἄβατα μέχρι τότε δάση, ὄρη, ἐρήμους, νέας ἀνεκάλυψαν γαίας, οὐδαμοῦ ὅμως ἐνέτυχον ἀνθρώποις πάσης περὶ Θεοῦ γνώσεως ἀμοίροις. Συνέβαινε δὲ ἀληθῶς ἀγρίους τινὰς κατὰ τὴν πρώτην ἐπιπόλαιον παρατήρησιν ἐπ' αὐτῶν ἀθέους νομίζειν, οἷον, τοὺς Ταΐττους, Ὀττεντότους, τοὺς κατοίκους τῆς Βρασιλίας, τῆς Καναδᾶς, τῶν νήσων Ἀντιλῶν καὶ ἄλλων· μετὰ προσεκτικωτέραν ὅμως ἔρευναν ἐδείχθη, ὅτι καὶ αὐτοὶ ἔχουσι τὰς ἑαυτῶν πίστεις καὶ τελετάς, καίτοι βαναύσους [15]· ὥστε νῦν καὶ αὐτοὶ οἱ νεωτερισταὶ ἀναμφίβολον ἀπο-

---

[13] *Πλάτ. περὶ νόμων βιβ. ι'. Ἀριστοτ· πρὸς Νικομ. β. ι'. κεφ. ιά. Ἐπικουρ· παρὰ Κικέρ.* de natura Deorum. libr. 1. cap. 16· Senec. epist, 117. Cicer. Tuscul. Quaest. lib. n. 13· *Σέξτ. Ἐμπειρ. βιβλ. κατὰ φυσικ. κεφ.* 61. *Πλούτ. κατὰ Ἐπικουρίων σελ.* 1125.

[14] *Ὁ μὲν Κικέρων ἀθέους αὐτοὺς ἀπεικονίζει* (orat. pro Fonteio, n. 20 et squ.), *ὁ δὲ Ἰούλιος Καῖσαρ σφόδρα ἀφωσιωμένους τῇ αὐτῶν θρησκείᾳ* (De bello Gall. libr. VI, n. 16.).

[15] *Βεργιέρος*, Traité historig. et dogmat. de la vraie relig. tom. 11, c. 4, art. 12. §. 1. *καὶ ἐπ. Σημειωτέον ὅμως, ὅτι ἄγριοί τινες βρέφη εἰσὶ κατὰ τὴν ἀνάπτυξιν τῶν πνευματικῶν δυνάμεων. Ἐκ δὲ τοῦ τὰ βρέφη οὐ σκέπτεσθαι δύνανται οὐδ' ὁμιλεῖν οὐχ ἕπεται, ὅτι ἡ σκέψις καὶ ὁ λόγος*

δέχονται τὴν εἰς Θεὸν πίστιν κοινὴν πᾶσι τοῖς ἀνθρώποις εἶναι [16]. Πῶς δ' ἑρμηνεύσωμεν τὴν ἀρχὴν τῆς πίστεως ταύτης, τῆς ἀεὶ ὑπαρξάσης, ἀσόφους τε καὶ σοφοὺς ἑαυτῇ ὑποταξάσης, καὶ πάσας τὰς ἐπὶ τῆς γῆς μεταβολὰς διαβιούσης; Ἀμάθειαν ἀνθρώπων, οὔτε τὴν δύναμιν, οὔτε τοὺς νόμους νοούντων τῆς φύσεως, ἐθισάντων δὲ σχεδὸν ἐν πᾶσιν ἀνώτερά τινα ὄντα ὑπονοεῖν, ὥσπερ ἐπειράσαντο οἱ ἀθεϊσταὶ ἑρμηνεῦσαι; ἀλλ' ἡ πεῖρα μαρτυρεῖ, ὅτι εἰς Θεὸν ἐπίστευον οὐ μόνοι οἱ ἀπαίδευτοι, ἀλλὰ καὶ λόγιοι, καὶ ὅτι ὅσῳ μᾶλλον ἡ ἀληθὴς παιδεία προώδευε, τοσούτῳ μᾶλλον ἐστήριζε τὴν πίστιν ταύτην [17]. Ἢ φόβον ἐνώπιον τρομερῶν τῆς φύσεως φαινομένων; Ἀλλὰ α'. τότε ἡ θρησκεία κλῆρος ἂν ἦν μάλιστα μόνων τῶν ἀπαιδεύτων, οὐ τοιαῦτα ἐννοούντων φαινόμενα, β'. εἰ ὁ φόβος ἐνέπνεε τὴν περὶ Θεοῦ ἔννοιαν, μᾶλλον ἂν περὶ τῶν κακῶν μόνων θεῶν ἐν ἔπνεε· γνωστὸν ὅμως, ὅτι οἱ ἄνθρωποι καὶ ἀγαθαῖς ἐλάτρευον θεότησιν, ὅτι παρὰ πᾶσι τοῖς ἔθνεσι τῆς ἀρχαιότητος πολλαὶ ἦσαν τελεταὶ καὶ ἑορταί, οὐχ ὑπὸ αἰσθημάτων λύπης καὶ τρόμου, ἀλλ' ὑπὸ πλήρους καὶ ζωηροτάτης χαρᾶς τελούμεναι. Καὶ νῦν ἔτι οἱ ἄγριοι Ἀμερικανοὶ κατὰ τὰς ἑορτὰς τὴν χαρὰν ταύτην μουσικῇ, χορῷ κλπ· ἐκφράζουσιν. Ἢ ἀπάτην τῶν θυτῶν; Ἀλλ' ἡ τούτων ὕπαρξις ὑποτίθησιν ἤδη τὴν ὕπαρξιν τῆς θρησκείας καὶ τῆς λατρείας. Ἢ πανουργίαν τῶν πολιτικῶν, οἵτινες, παρατηρήσαντες, ὅτι ὁ πρὸς τοὺς θεοὺς φόβος ἄριστα πάντων καταπαύει τὴν θρασύτητα τοῦ λαοῦ, καὶ ἐν ὑπακοῇ αὐτὸν κρατεῖ, κατεγίνοντο τοῦτον ἐν τοῖς ἀνθρώποις τὸν φόβον ἐνριζῶσαι; Ἀλλ' ἡ ἱστορία δείκνυσιν, ὅτι ἡ περὶ Θεοῦ ἔννοια καὶ ἡ θρησκεία ἀρχαιότεραι πάσης πολιτείας εἰσί [18]. Καὶ εἰ μὴ προϋπῆρχεν αὕτη ἡ ἔννοια ἐν τοῖς ἀνθρώποις, πῶς ἂν οἱ πολιτικοὶ πρὸς τοὺς

---

*οὐ φυσικά εἰσι τῷ ἀνθρώπῳ· οὕτω, καὶ εἰ ἐτύγχανον ἄγριοι οὐδεμίαν περὶ θεότητος ἔχοντες γνῶσιν, οὐκ ἂν εἵπετο, ὅτι ἡ γνῶσις αὕτη οὐ φυσική ἐστιν ἡμῖν.*

[16] *Βλ.* Resumé de l'histoire des traditions morales et religieuses chez divers peuples, par M. de S. Paris 1825, p. 3.

[17] *Γνωστή ἐστιν ἡ τοῦ λογιστοῦ Βάκωνος Βερουλαμ. ῥῆσις.* leves cultus in philosophia monere fortasse posse ad atheismum, sed pleniores haustus ad religionem reducere... (De augm. scient. lib. 1.).

[18] Origine des lois, des arts et des sciences, part. 1, lib. 1, ch. 1.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑαυτῶν σκοποὺς ἐχρήσαντο αὐτῇ; Οὐχί, πᾶν ὅτι μόνον τὸ νεωτερίζειν ἐπινοῆσαι ἠδύνατο, ἵνα ἐξηγήσῃ τὴν θαυμασίαν τῶν λαῶν συμφωνίαν πρὸς τὴν ὁμολογίαν ὑπερτάτου ὄντος, οὐδὲν ἐξηγεῖ [19]. Δύο δὲ μόνα λείπονται ἁπλούστατα καὶ φυσικώτατα ἐξηγήσεως μέσα, ἃ ἀεὶ ἀπεδέχοντο οἱ ὑγειᾶ φρονοῦντες· αὕτη ἡ τοσούτῳ ἀρχαία καὶ τοσούτῳ κοινὴ ἐν τοῖς ἔθνεσιν εἰς θεότητα πίστις ἤτοι ἔνστικτον οἱονεί ἐστι τῇ πνευματικῇ ἡμῶν φύσει, καὶ ἐν ἡμῖν ἐντέθειται ὑπ' αὐτοῦ τοῦ Δημιουργοῦ μετ' ἄλλων εὐγενεστάτων χρειῶν, ἢ ἄρχεται ἐκ τῆς πρωτογόνου ἀποκαλύψεως, ἧς ἠξίωσεν ὁ Θεὸς τοὺς προπάτορας ἡμῶν ἅμα τῇ πλάσει, ἐξ ὧν εἶτα φυσικώτατα τῇ ἐπεκτάσει τοῦ ἀνθρωπίνου γένους διεδόθη πᾶσι τοῖς αὐτῶν ἀπογόνοις, ὅπερ καθ' ἑαυτὸ ἀδύνατον ἦν, εἰ ἡ βάσις τῆς θρησκείας ταύτης οὐκ ἐν τῇ οὐσίᾳ τοῦ πνεύματος ἡμῶν ἔκειτο.

β'. Ὑπὸ τῆς ἱστορίας ἐκτιθέμενον. Καὶ ἀρχαιοτάτη ἐστὶ παράδοσις, ὅτι αὐτὸς ὁ Θεὸς ἐφάνη ποτὲ τοῖς ἀνθρώποις, ὡμίλει πρὸς αὐτούς, καὶ ἐδίδασκε τὴν θρησκείαν .... Ταύτης δὲ τῆς παραδόσεως, καθαρᾶς τηρηθείσης ὑπὸ τοῦ θεοπνεύστου νομοθέτου τοῦ ἑβραϊκοῦ λαοῦ Μωϋσέως (Γεν. κεφ. α', β', γ'.), σαφῆ ἴχνη ἀπαντῶσι παρὰ πᾶσι τοῖς ἔθνεσι τῆς γηΐνης σφαίρας ἀρχαιοτέροις τε καὶ νεωτέροις [20]. Πόθεν δὲ ἡ τοιαύτη συνεχὴς καὶ παγκόσμιος παράδοσις, ἐὰν μὴ βάσιν αὐτῆς ἀληθὲς γεγονὸς ὑποθέσωμεν; Καὶ τοῦτο νέα ἐστὶ περὶ θεοῦ μαρτυρία παντὸς τοῦ ἀνθρωπίνου γένους.

γ'. Σειρὰ θαυματικῶν ἐνεργειῶν ἐν τῇ Ἐκκλησίᾳ τῆς τε παλαιᾶς καὶ καινῆς Διαθήκης, μάλιστα ἐπὶ τῇ καθιδρύσει τῆς ἐσχάτης. Ἡ γὰρ ἱστορικὴ καὶ φιλοσοφικὴ τῶν ἐνεργειῶν τούτων γνησιότης ἐστὶν ἀφιλόνεικος [21]. Ὑπερβαίνουσιν ὅμως αὗται τούς τε νόμους καὶ δυνάμεις τῆς φύσεως, ὑποτιθεῖσιν αἰτίαν ἀνωτέραν καὶ ἰσχυρωτέραν καὶ ἄρχουσαν αὐτῆς, τ. ἐ. ἀναγκαίως ὑπο-

---

[19] Λεπτομερεῖς ἀνασκευαὶ τῶν γνωμῶν τούτων ἀπαντῶνται ἐν τῷ θεολογικῷ λεξικῷ Βερζέρου ἐν λέξ. religion.

[20] Ἡ ὑπόθεσις αὕτη ἀκριβῶς ἐξηρευνήθη ὑπὸ πολλῶν τοῦ χριστιανισμοῦ ἀπολογητῶν. Βλ. Geschichte der Religion Christi von Stolberg. Th. 1, Beilage IV, V. seit. 340—405, Wien 1817.

[21] Περὶ τούτου κατωτέρω ἐν §. 61, 71, 74, 98, 100, 104.

*τιθεῖσι τὴν ὕπαρξιν Ὄντος ὑψίστου, Ποιητοῦ καὶ Δεσπότου τῆς οἰκουμένης.*

II. *Ἐν τῇ ὁρατῇ φύσει δύο σαφεῖς δείξεις τῆς ὑπάρξεως τοῦ θεοῦ ἀπαντῶσιν.*

*Παρατηροῦμεν α'., ὅτι πάντα ἐν τῷ κόσμῳ τυχαῖά εἰσι· φαίνονται, μεταβάλλονται, παρέρχονται. Πάντα ἐν τῷ φυσικῷ κόσμῳ μεταβάλλονται κατὰ τὴν ἰδιότητα αὐτὴν τῶν ὑλικῶν ὄντων, ἐκ μερῶν δηλ. συνεστηκότων, τ. ε. διαλυομένων. οὕτω καὶ ἐν τῷ κόσμῳ τῶν πεπερασμένων πνευμάτων κατὰ τὸ πεπερασμένον αὐτὸ τῆς φύσεως, τῶν δυνάμεων καὶ ἐνεργειῶν αὐτῶν πάντα μεταβάλλονται. Ἄρα καὶ πᾶς ὁ κόσμος τυχαῖός ἐστι καὶ ὑπάρχει οὐκ ἀπ' αἰῶνος, ἀλλ' ἀναγκαίως ἔχει τὴν ἑαυτοῦ ἀρχήν, καὶ τὴν ὕπαρξιν παρά τινος ἔλαβεν. Ὅσον γὰρ ἂν νοερῶς ἐπεκτείνωμεν τὴν ἅλυσον τῶν ὄντων καὶ τῶν τυχαίων καὶ πεπερασμένων φαινομένων, ἀπὸ τῶν ἐνεργειῶν πρὸς τὰς αἰτίας ἀνερχόμενοι, οὐδαμῶς ἐπεκτείνειν δυνάμεθα αὐτὴν ἐπ' ἄπειρον, ἀναγκαίως δ' ὀφείλομέν που στῆναι καὶ τὰ αὐτῆς ὅρια θεῖναι. Τίς οὖν τὴν ὕπαρξιν τῷ κόσμῳ ἐδωρήσατο; Ἀδιστάκτως οὐκ αὐτὸς ὁ κόσμος, οὔπω ὑπάρχων· Ἡ περίστασις κενός ἐστι λόγος.... Ἄρα ἔστιν ἐκτὸς τοῦ κόσμου, καὶ τὸ λογικὸν ἀφύκτως ἀποδέξασθαι ὀφείλει, Ὂν οὐ τυχαῖον, ἀλλ' ἀναγκαῖον, αἰώνιον, αὐθύπαρκτον, τελειότατον, ὃ τὴν ὕπαρξιν τῷ κόσμῳ ἐδωρήσατο. Τῆς δ' ἀποδείξεως ταύτης ἴχνη ἔστιν εὑρεῖν ἐν τῷ θείῳ λόγῳ, π. χ. ἐν τοῖσδε τοῖς χωρίοις. Ἰώβ. ιβ', 7—11· Ἡσ. μ', 26· καὶ ἄλλοις πλείοσι παρὰ τοῖς ἁγίοις Πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας· οἷον, Ἰουστίνῳ τῷ μάρτυρι, Κυρίλλῳ τῷ Ἀλεξανδρείας, Ἰωάννῃ τῷ Δαμασκηνῷ καὶ ἄλλοις [22].*

*Οὐ μὴν ἀλλά, καίτοι τὰ ὄντα ἐν τῷ κόσμῳ ἐξίτηλά εἰσι, παρατηροῦμεν ὅμως ἐν αὐτοῖς θαυμασίαν τάξιν, ἰσοσταθμίαν, κάλλος. Ἀπὸ γὰρ τῶν μεγίστων σωμάτων, τῶν ἐν ταῖς οὐρανίαις ἐκτάσεσι πλεόντων, μέχρις αὐτῶν τῶν ἀσημάντων ἐντόμων, τῶν ἐπὶ τῆς γῆς συρομένων, πᾶσι δέδοται ἡ οἰκεία καὶ σοφωτάτη κατασκευή, δέδεικται ὡρισμένος χῶρος, ὡρισμένη πρὸς ἄλλα ὄντα κοινωνία,*

---

[22] *Ἰουστ. διάλ. πρὸς Τρύφ. κεφ. ε'. Κυρ. Ἀλεξ. περὶ Τριάδ α', 3. Δαμασκ. Ἀκρ. ἐκθ. τῆς ὀρθοδ. πίστ. βιβλ. α', κέφ. γ'.*

ὡρισμένος σκοπός, καὶ ἐκ πάντων σχηματίζεται τακτικώτατον καὶ ἄριστον ὅλον. Πῶς δ' ἑρμηνεύσωμεν τὴν σοφὴν ταύτην τάξιν, ἐὰν μὴ ἀποδεξώμεθα ἀξιόπιστον, ὅτι ἔστιν Ὂν τελειότατον, τὸν κόσμον ποιῆσαν καὶ διευθύνον; Συχνότατα ἀναφέρουσι τὴν ἀπόδειξιν ταύτην τὰ ἱερὰ βιβλία, μάλιστα δὲ ἐν τοῖςδε τοῖς χωρίοις· ψαλμ. ή, ιή, μδ', Ἡσ. μ', 21 καὶ ἐπ.· Ματθ. ς', 25-30 · Πράξ. ιδ'. 15, 17 · ιζ', 24, 28 · Ῥωμ. α', 19, 20. Ἀκριβῶς ὅμως ἀνέπτυκται παρὰ πολλῶν ἁγίων Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας· οἷον, Θεοφίλου τοῦ Ἀντιοχείας, Διονυσίου τοῦ Ἀλεξανδρείας, Γρηγορίου τοῦ Θεολόγου, Ἀθανασίου τοῦ μεγάλου καὶ ἄλλων [23] ὡς καὶ ἔν τισι τῶν νεωτάτων χρόνων συγγράμμασι, τῇ ὑποθέσει ταύτῃ ἐπίτηδες ἀφιερωθεῖσιν [24].

III. Πρὸς τὴν ἐσωτερικὴν δὲ στρέφοντες πεῖραν, καὶ εἰς τὴν κατασκευὴν τῆς ψυχῆς ἡμῶν ἐμβαθύνοντες, τρεῖς εὑρίσκομεν τῆς τοῦ Θεοῦ ὑπάρξεως ἐνδείξεις ἐν ἑκάστῃ τῶν τριῶν τῆς ψυχῆς οὐσιωδῶν δυνάμεων.

Ἐν μὲν τῷ νῷ ἡμῶν ἡ ἰδέα ἐστὶν Ὄντος τελειοτάτου καὶ ἀπείρου, ἥτις πρὸ τῆς ἐν τῷ ἀνθρώπῳ διεγέρσεως τῆς ἐπιγνώσεως ἐκφράζεται μόνον ἐν ἀναπολογήτῳ ἀλλ' ἀκουσίᾳ πρὸς τὸν Θεὸν τάσει αὐτοῦ· κατὰ δὲ τὴν ἀνάπτυξιν τῆς ἐπιγνώσεως σαφὴς καὶ ἐπὶ μᾶλλον ἀκριβὴς καθίσταται. Τὴν δὲ ἰδέαν ταύτην οὐκ ἠδύνατο ἡμῖν δοῦναι ἡ ἐξωτερικὴ φύσις· ἐν αὐτῇ γὰρ πάντα πεπερασμένα βλέπομεν κατά τε τὴν ὕπαρξιν καὶ τὰς τελειότητας· διὸ ἡ φύσις οἵα ἐστὶ μόνον ἀναπολεῖν ἡμῖν περὶ Ὄντος ἀπείρου, περὶ οὗ ἔστιν ἐν τῇ ἡμῶν ψυχῇ ἤδη προϋπάρχουσα ἔννοια. Ἀλλ' οὔτε ἡμεῖς αὐτοὶ οἷοί ἐσμεν αὐτὴν σχηματίσαι· ἕκαστος γὰρ ἂν ἐμέμνητο

---

[23] Θεοφίλ. πρὸς Αὐτόλ. α', 7 · Διονυσ. περὶ φύσ. ἀρ. 1 (in Routh. Reliqu. Sacr. tom. IV). Γρηγ. θεολ. λόγ. περὶ θεολ. ιά. Ἀθαν. κατὰ ἐθν. ἀρ. 35 κ. ἐπ. Νεμεσίου de natur. homin. c. 42. Δαμασκ. Ἀκρ. ἐκθ. ὀρθ. πίστ. α', 3.

[24] Οἷά εἰσι. Theologia aquae — Fabricii; Theol. anatomica — Njewentyt; Theol. insectorum — Lesseri; Theologie Astronomique ou démostration de l'existence et caet... per Darham (in tom. VIII. des Démonstr. Evangel.); La Geologie et la Mineralogie dans leurs rapports avec la Theologie naturelle par Buckland (αὐτόθ. τόμ. XI.). κλπ.

τῆς ἐν ἑαυτῷ ἀρχῆς τῆς περὶ Θεοῦ ἰδέας· οὔτ' ἂν προηγεῖτο τῆς πλήρους ἡμῶν ἀναπτύξεως τῆς ἐπιγνώσεως, οὐδὲ πάγκοινος ἦν τῷ ἀνθρωπίνῳ γένει. Τοῦτο δὲ σαφῶς δηλοῖ, ὅτι ἡ ἰδέα αὕτη ἔμφυτός ἐστι τῷ ἡμετέρῳ νῷ[25], δέδοται ἡμῖν ὑπὸ τοῦ δωρησαμένου καὶ αὐτὴν τὴν ὕπαρξιν. Δυνάμεθα ἄρα διστάζειν, ὅτι ὀφείλει ἡ ὕπαρξις αὐτῇ συνᾴδειν;

Ἐν δὲ τῷ θελήματι ἡμῶν ἐπιγινώσκομεν ἠθικὸν νόμον, ὃς καὶ ἐπὶ πάσαις ταῖς ἀπείροις μεταβολαῖς αὐτοῦ ἔν τε τῇ ἐπιγνώσει προσώπων καὶ ὅλων ἐθνῶν ἀεὶ ἐνήργει καὶ ἐνεργεῖ μετ' ἀκαταγωνίστου ἰσχύος ἐν πᾶσι τοῖς ἀνθρώποις. Τοῦτο δ' ἐστὶν ἡ οὐδέποτε σιγῶσα τῆς συνειδήσεως φωνή, ἥτις ἀπὸ τῆς ἐν τῇ ψυχῇ ἡμῶν ἐγέρσεως τοῦ λογικοῦ τῷ ὀνόματι τοῦ ὑψίστου Ὄντος ἐμπνέει ἡμῖν τὸ ἀγαθόν, καὶ ἀποτρέπει τοῦ κακοῦ· εὐφημεῖ καὶ κατακρίνει τὰ διαβήματα ἡμῶν· βραβεύει ἡμᾶς καὶ κολάζει. Ἡ δὲ ἐσωτερικὴ ἀκούσιος τοῦ καλοῦ καὶ κακοῦ ἐπίγνωσις, ἡ ἑπομένη μετὰ τὴν ἐκτέλεσιν ἐκείνου χαρά, αἱ ἀδιασπάστως τῷ κακῷ ἡνωμέναι αἰδὼς καὶ μετάνοια, τὸ βλέμμα πρὸς τὸν παραβάτην, ἐφ' ἑαυτοῦ τὴν πηγὴν τῆς αὐτοῦ ποινῆς φέροντα, καὶ ἡ παράστασις ἀκλονήτου εὐθυμίας, ἧς πλήρης ὑπάρχει ὁ ἐνάρετος, πάντα ταῦτα ἄκοντας ἡμᾶς πείθουσιν, ὅτι ὑπάρχει Ὂν ἁγιώτατον, οὗ τὸ ὄνομα ἀναγγέλλει ἡμῖν ὁ ἠθικός νόμος εἴτε ἡ συνείδησις· τούτου ἕνεκα καὶ οἱ ἀρχαῖοι τὴν συνείδησιν ἐκάλουν ἀποτέλεσμα τῆς ἐν τῇ καρδίᾳ ἡμῶν παρουσίας αὐτοῦ τοῦ Θεοῦ, ἀδιαλείπτως ἡμᾶς διδάσκοντος τὰ καθήκοντα ἡμῶν[26].

Ἐν δὲ τῷ αἰσθήματι ἡμῶν ἔμφυτός ἐστι τάσις πρὸς τὴν μακαριότητα. Καὶ ὁ μὲν ὑγιαίνων λόγος καὶ ὁ ἠθικὸς νόμος λέγουσιν ἡμῖν, ὅτι ἡ μακαριότης αὕτη ἀποτέλεσμα ὀφείλει εἶναι μόνου τοῦ ἐναρέτου βίου, ἀμοιβὴ ἀντὶ τῆς εὐσεβείας· ἀλλ' οἱ ἀσεβεῖς,

---

[25] Τὸ ἐν ἡμῖν ἔμφυτον τῆς περὶ Θεοῦ ἰδέας ὡμολόγουν οἱ ἅγιοι Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας· π.χ. ὁ ἅγιος Ἰουστῖνος (Ἀπολ. β'. ἀρ. 6), Κλήμης ὁ Ἀλεξανδρεύς (Στρωμ. ε', 13), Τερτυλλιανὸς (adv. Marcion. 1, 10; Apolog. c. XVII), ὁ ἅγιος Βασίλειος ὁ μέγας (εἰς ψαλμ. λγ'. ἀρ. 1)· ὁ ἅγιος Κύριλλος ὁ Ἀλεξανδρείας (περὶ Τριάδος α', 2)· ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνός (Ἀκρ. ἐκθ. ὀρθ. πίστ. α', 1), καὶ ἄλλοι.

[26] Senec. Epist. 41.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



τὴν φυσικὴν τῆς μακαριότητος ἐπιθυμίαν παραβλέποντες, ἄξιοί εἰσι τιμωρίας· ἡ δὲ πεῖρα μαρτυρεῖ, ὅτι τοιαύτη ἁρμονία ἔργῳ οὐκ ἔστιν. Ἐντεῦθεν ἡ ἄφυκτος ἀνάγκη τὴν ὕπαρξιν δικαίου ἀποδέξασθαι Μισθαποδότου, ὃς ἔπλασεν ἡμᾶς μετὰ τοιούτων τάσεων καὶ χρειῶν, καὶ ὅς, ἐὰν μὴ ἐνταῦθα, ἐν τῇ μελλούσῃ γε ζωῇ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ [27].

IV. Ὁ εὐσεβὴς βίος δικαίως ὀφείλει κάλλιστον κληθῆναι μέσον πρὸς πεποίθησιν τοῦ ἀνθρώπου εἰς τὴν ὕπαρξιν τοῦ Θεοῦ· διότι α'. ἐν τῷ εὐσεβεῖ πᾶσαι αἱ τῆς ψυχῆς δυνάμεις τὴν φυσικωτάτην καὶ κανονικωτάτην ἔχουσιν ἀνάπτυξιν καὶ τάσιν· ὁ δὲ νοῦς, ἡ θέλησις καὶ τὸ αἴσθημα οὕτως ἐν ἡμῖν ἐπλάσθησαν, ὥστε εὐθὺ τείνειν καὶ ἄγειν ἡμᾶς πρὸς τὸν Θεόν· β'· διὰ τοῦ εὐσεβοῦς βίου ὁ ἄνθρωπος, κατ' εἰκόνα Θεοῦ πλασθείς, ἐπὶ μᾶλλον καθίσταται τῷ Θεῷ ὅμοιος· καθορῶν δὲ σαφῶς ἐν ἑαυτῷ ἀντανάκλασιν τῶν τελειοτήτων τοῦ τελειοτάτου Ὄντος, δύναται περὶ τῆς αὐτοῦ ὑπάρξεως διστάζειν; Τὸ δὲ κυριώτατον γ'· διὰ τῆς τῷ Θεῷ ὁμοιώσεως ὁ εὐσεβὴς ἐπὶ μᾶλλον προσέρχεται εἰς στενὴν καὶ ἄμεσον τῷ Θεῷ κοινωνίαν, ζῇ ἐν τῷ Θεῷ καὶ διὰ τὸν Θεόν, ἅπτεται οἱονεὶ αὐτοῦ καὶ γεύεται· ἐνταῦθα δὴ οὐδεὶς χῶρος δισταγμοῦ οἷός ἐστι. Διὸ δὴ ἐνάρετοι, ὡς καὶ συμβαίνει, καὶ μικρὸν πεπαιδευμένοι ὄντες, καὶ οὐχ οἷοί τε ἀποδεῖξαι τῷ νῷ τὴν τοῦ Θεοῦ ὕπαρξιν, μηδ' ἀνασκευάσαι τὰς ἀντιῤῥήσεις τῶν ἀθέων, τοσούτῳ στεῤῥῶς πεπεισμένοι εἰσὶν εἰς τὴν ἀλήθειαν ταύτην, ὅσῳ καὶ εἰς τὴν ἑαυτῶν ὕπαρξιν.

Ἐντεῦθεν εὐκόλως ὁρίζονται καὶ αἱ τῆς ἀθεΐας αἰτίαι. Αὗται δὲ καθόλου εἰσὶν ἡ παρὰ φύσιν καὶ ἀνεστραμμένη ἀνάπτυξις καὶ τάσις τῶν ψυχικῶν ἡμῶν δυνάμεων ἔν τισι μὲν ἡ τοῦ νοῦ, ἐν ἄλλοις δὲ ἡ τῆς θελήσεως καὶ τοῦ αἰσθήματος. Καὶ ὁ μὲν νοῦς διαφθείρεται μάλιστα τῇ ἀναγνώσει ἢ μόνῃ τῇ ἀκροάσει νεωτεριστικῶν καὶ βλασφήμων συγγραμμάτων καὶ διαλόγων, ἰδίᾳ δὲ ἐν τῇ νεανικῇ ἡλικίᾳ, οὔπω στηριχθεὶς ἐπὶ τῶν παρὰ τοῦ Θεοῦ αὐτῷ δοθεισῶν ἀρχῶν, ἀλλ' ἀναπτυσσόμενος μόνον,

[27] Τὴν ἀπόδειξιν ταύτην προετίμα ὁ Κάντιος πασῶν τῶν ἀποδείξεων τῆς τοῦ Θεοῦ ὑπάρξεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ δυνάμενος παντοίας παραινέσεις ἀποδέξασθαι, καὶ αὐταῖς τὸν ἐν ἑαυτῷ ἔμφυτον σπόρον ἀποπνίξαι. Ἡ δὲ θέλησις τῷ ἰδιοτρόπῳ καὶ κακοήθει βίῳ ἀνατρέπεται, καὶ οὕτω σείρει μεθ' ἑαυτῆς καὶ τὸν νοῦν καὶ τὸ αἴσθημα· εἶτα δὲ καὶ ἅπασαι αἱ φυσικαὶ πρὸς τὸν Θεὸν ὁρμαί, ὑπ' αὐτοῦ τεθεῖσαι ἐν αὐτῇ τῇ φύσει τῶν δυνάμεων τούτων, κατὰ μικρὸν ἐκκωφοῦνται, καὶ οἱονεὶ ἐκριζοῦνται. Τότε δὴ οὐ πειστικαὶ πλέον καθίστανται πᾶσαι αἱ περὶ τῆς τοῦ Θεοῦ ὑπάρξεως ἀποδείξεις.

§. 10. *Περὶ τῆς ἀληθείας τῆς ὑπάρξεως καὶ ἀθανασίας τῆς ἀνθρωπίνης ψυχῆς.*

Τῶν ἀποδείξεων τῆς ἐν ἡμῖν ὑπάρξεως καὶ ἀθανασίας λογικῆς ἐλευθέρας ψυχῆς, ἐκ τῆς ψυχολογίας γνωστῶν ὑποτιθεμένων, ἀρκεῖ ὧδε μνημονεῦσαι μόνον. Εἰς ταύτας δὲ τὰς δύο ἀληθείας, ἀδιασπάστως ἀλλήλαις συνεζευγμένας, καταπείθουσι πάντα εὔφρονα.

α'. Ἡ οἰκεία ἐπίγνωσις καὶ ἡ καθ' ἑκάστην πεῖρα· καὶ γὰρ ἡ μὲν ἐπίγνωσις λέγει ἑκάστῳ, ὅτι αὐτὸς διανοεῖται· ἡ δὲ συνεχὴς πεῖρα μαρτυρεῖ, ὅτι ἡ ὕλη οὐ διανοεῖται. Ἄρα ἔστιν ἐν ἡμῖν τι διάφορον τῆς ὕλης καὶ ἄϋλον. Λέγει δὲ πάλιν ἡ ἐπίγνωσις ἑκάστῳ, ὅτι ἐλεύθεροί ἐσμεν, δυνάμεθα αὐτίκα ἄρχεσθαι, εἴτε ἀλλοιοῦν, ἢ ὅλως καταπαύειν τὴν σειρὰν τῶν ἡμετέρων διανοημάτων, τῶν ἐπιθυμιῶν, τῶν ἐνεργειῶν, ἔστιν ὅτε μάλιστα ἐναντίον τῶν ἐξωτερικῶν πρὸς τοῦτο βιασμῶν· ἡ δὲ πεῖρα μαρτυρεῖ, ὅτι πᾶν ὑλικὸν ὑπείκει τοῖς νόμοις τῆς ἀνάγκης, πᾶν ἀφύκτως ἐξ ἄλλου ἀποῤῥέει, καὶ οὕτως ἐφεξῆς. Ἐντεῦθεν δ' αὖθις ταὐτὸ ἀποτέλεσμα; Παρατηροῦντες δὲ εἰδικῶς τὸν δρόμον τοῦ βίου ἐν ἡμῖν αὐτοῖς, βλέπομεν, ὅτι ἡ χεὶρ ἡμῶν, ὁ νοῦς καὶ τὰ ἄλλα μέλη καὶ μέρη τοῦ σώματος οὐδόλως ἐπιγιγνώσκουσιν ἑαυτὰ καὶ οὔτε διανοοῦνται· ἐν ἡμῖν ὅμως διανοεῖταί τι. Ἄρα τοῦτο χωριστόν τι καὶ διάφορόν ἐστι τοῦ σώματος ἡμῶν. Πρὸς δὲ, γινώσκομεν, ὅτι ἐν ἡμῖν δύο εἰσὶ κυκλοφορίαι ζωϊκῶν ἐργασιῶν, ἐντελῶς ἀλλήλαις ἀνομοίων, ὧν αἱ μὲν ἐκτὸς τῆς ἡμῶν ἐπιγνώσεως γίνονται, ὑπείκουσι τοῖς νόμοις τῆς ἀνάγκης, καὶ ὅλως ἀνεξάρτητοί εἰσιν ἀπὸ τῆς θελήσεως ἡμῶν, οἷαι αἱ τῆς χωνεύσεως καὶ τῆς κυκλοφορίας τοῦ αἵματος· αἱ δὲ ἐλεύθεραί εἰσιν, ἐν αἷς ἡμεῖς ἐσμεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κύριοι διαθέται· τοιαῦται δ' εἰσὶν αἱ τοῦ διανοεῖσθαι, κινεῖσθαι κ. τ. λ. Ὅθεν δῆλον, ὅτι ἐν ἡμῖν δύο εἰσὶν ἀρχαὶ τῆς ζωῆς, ἐντελῶς ἀλλήλων διάφοροι, καὶ οὐχὶ μία.

β'. Ἴδιά τινα φαινόμενα, σαφῶς ἀποδεικνύοντα, ὅτι ἐν τῷ ἀνθρώπῳ ἡ ψυχή ἐστιν ἄλλο τι χωριστὸν τοῦ σώματος, καὶ ἔχει αὐθυπόστατον ὕπαρξιν. Συμβαίνει γὰρ ἡμῖν, ἐμβαθύνασιν ἐν ἑαυτοῖς, περὶ σοβαρὰς ἀσχολουμένοις ὑποθέσεις, οὐδεμιᾶς ἐξωτερικῆς αἰσθάνεσθαι ἐντυπώσεως, καίτοι πάντα τὰ σωματικὰ ὄργανα πρὸς τοῦτο ἀνοικτά εἰσι· βλέποντες π. χ. πράγματα, οὐ βλέπομεν αὐτά· ἀπτόμενοι αὐτῶν, οὐκ αἰσθανόμεθα· ἀκούοντες θορύβου ἢ καθόλου ἤχων οἱωνδήποτε, οὐκ ἀκούομεν κ. τ. λ. Συμβαίνει ὥστε καὶ τὴν ψυχὴν ἔστιν ὅτε ἐπὶ μὲν ταῖς σωματικαῖς ἀσθενείαις χαίρειν, ἐπὶ δὲ τῇ ὑγείᾳ τοῦ σώματος ἀσθενῆ εἶναι· τινὲς δὲ κατέπαυσαν τὰ ἐν ἑαυτοῖς αἰσθήματα ἀφορήτου πόνου μόνῃ τῇ δυνάμει τῆς θελήσεως, καὶ οἷοί τε ἦσαν ἡσύχως περὶ βαρείας ἀσχολεῖν οεράς ἐργασίας. Τὰ δὲ παραδείγματα τῶν ἁγίων μαρτύρων, κατὰ τὰ δεινὰ τοῦ σώματος πάθη ἀγαλλομένων, καὶ αἰνετικοὺς ἀναπεμπόντων τῷ Θεῷ ὕμνους, δεικνύουσι μέχρι τίνος βαθμοῦ ἡ ψυχή, συνεργούσης μάλιστα τῆς χάριτος, δύναται ὑπὲρ τὸ σῶμα ἀνυψοῦσθαι καὶ ἀνεξάρτητος ἀπ' αὐτοῦ εἶναι. Καὶ λοιπόν.

3. Εἰ ἐν ἡμῖν ἔστι ψυχή, εἰ αὕτη ὄν ἐστι τοῦ σώματος χωριστὸν καὶ ἄϋλον, α'. οὐκ ἔστιν ἐλαχίστη βάσις νομίζειν, ὅτι, ἀποθνήσκοντος τοῦ σώματος ἡμῶν, τελευτᾷ καὶ ἡ ζωὴ τῆς ψυχῆς· β'. ἡ ψυχή, ὥσπερ ἄϋλος, οὐ δύναται ἀποθανεῖν οἵῳ θανάτῳ τὸ σῶμα, τ. ε. τῇ διαλύσει καὶ καταστροφῇ τῶν μερῶν. Ἀδύνατος δὲ καὶ ἡ ἐξάλειψις αὐτὴ τῆς ψυχῆς, ἥτις ἐν τῇ αὐτῆς οὐσίᾳ τὴν εἰκόνα τοῦ Θεοῦ φέρει· διότι.

4. Τοῦτο ἐντελῶς ἦν ἀντίθετον τοῖς ὑψίστοις ἰδιώμασι τοῦ Πλάστου ἡμῶν καὶ Δεσπότου, οὗ ἐν τῇ δεξιᾷ ἡ ζωὴ καὶ ὁ θάνατος ἁπάντων τῶν ὄντων ἐστίν.

Ὁ Θεὸς ἀπείρως σοφός ἐστιν· ἐδωρήσατο δὲ καὶ τῇ ψυχῇ τοῦ ἀνθρώπου δυνάμεις καὶ ἱκανότητας, αἵτινες, ἐγειρόμεναι ἐν τῇ παρούσῃ ζωῇ, οὐ τῆς πλήρους αὐτῶν τυγχάνουσιν ἀναπτύξεως. Διὸ καὶ οἱ μέγιστοι σοφοὶ ὁμολογοῦσιν, ὅτι πλεῖστα ἀγνοοῦσιν, οἱ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



μέγιστοι δίκαιοι αἰσθάνονται ἐν ἑαυτοῖς πολλῶν ἐλλείψεων· καθόλου δὲ πάντες οἱ εὖ φρονοῦντες, εἰς ἑαυτοὺς ἐμβαθύνοντες, ὁμοφώνως βεβαιοῦσιν, ὅτι ὁ πνευματικὸς τοῦ ἀνθρώπου πόθος οὐδενὶ γηΐνῳ εὐαραστηθῆναι δύναται, καὶ ὅτι αἱ πνευματικαὶ αὐτοῦ δυνάμεις ἱκαναί εἰσι πρὸς ἄπειρον τελειοποίησιν. Πῶς οὖν ἀποδέξασθαι, ὅτι ὁ πάνσοφος Δημιουργός, πλάσας ἡμᾶς τοιαύταις δυνάμεσι καὶ ἀνάγκαις, οὐ προώρισεν ἡμῖν καὶ ἄλλην ἀτελεύτητον ζωὴν μετὰ τὸ τέλος τῆς παρούσης;

Ὁ Θεὸς ἀπείρως δικαιοκρίτης ἐστί· καὶ ὅμως πλήρη τῆς αὐτοῦ δικαιοσύνης ἐμφάνισιν οὐκ ἐν τῇ παρούσῃ βλέπομεν ζωῇ. Συχνάκις γὰρ ἁμαρτωλοὶ πάντων τῶν τοῦ κόσμου ἀπολαύουσιν ἀγαθῶν, καὶ νέων τυγχάνουσι καιναῖς ἀνομίαις· οἱ δὲ εὐσεβῶς ἐν κυρίῳ ζῶντες διωκόμενοί εἰσι, καὶ δυστυχίας φέρουσι, καίτοι ἄξιοι ἂν εἴησαν μεγίστων ἀμοιβῶν ἕνεκα τῶν ἑαυτῶν ἀγώνων. Δυνάμεθα ἄρα, μὴ τὸν νοῦν ἡμῶν καὶ τὰς ὑγιεῖς περὶ Θεοῦ ἐννοίας ἀρνησάμενοι, νομίσαι, ὅτι οὐκ ἔσται ἄλλη ζωή, ἐν ᾗ ὁ δικαιότατος οὐράνιος Κριτὴς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα;

Ὁ Θεὸς ἀπείρως ἐστὶν ἀγαθός· τίς δ' εὔφρων συναινέσει, ὅτι ὁ τὴν ὕπαρξιν ἡμῖν δωρησάμενος, ὁ τὸν ἀκόρεστον ἡμῖν παρασχὼν τῆς ὑπάρξεως πόθον Ποιητὴς στερήσει ἡμᾶς ἐσαεὶ τοῦ ὑψίστου τούτου δωρήματος τῆς ἑαυτοῦ ἀγάπης, μόλις μόνον φθάνοντας γεύσασθαι καὶ αἰσθέσθαι πάσης τῆς αὐτοῦ ἡδονῆς; Ἅπασα γὰρ ἡ ζωὴ ἡμῶν ὄντως μόλις ἡ πρώτη ἐστὶ γεῦσις τῆς ἡδονῆς τῆς ὑπάρξεως.

5. Σημειωτέον τέλος, ὅτι κάλλιστος τρόπος πρὸς πεποίθησιν ἡμῶν εἴς τε τὴν ὕπαρξιν καὶ ἀθανασίαν τῆς ψυχῆς ὁ αὐτός ἐστιν, ὅς καὶ ἐν τῇ τοῦ Θεοῦ ὑπάρξει· τ.ε. ὁ εὐσεβὴς βίος. Παρὰ μὲν τοῖς δικαίοις ἡ ψυχὴ οὐ τῷ σώματι πεπίεσται, τοὐναντίον, ἀνυψοῦται καὶ ἄρχει αὐτοῦ, οὗ ἕνεκα ῥᾴδιόν ἐστιν αὐτοῖς ἐν ἑαυτοῖς αἰσθάνεσθαι τῆς ὑπάρξεως, τοῦ χωρισμοῦ καὶ τῆς ἀπὸ τοῦ σώματος αὐτῆς διαφορᾶς, τῶν οὐ γηΐνων αὐτῆς ἀναγκῶν καὶ τοῦ προορισμοῦ· Οἱ δ' εὐσεβεῖς, ἐν Θεῷ ζῶντες, ἐν ἑαυτοῖς τῆς παρουσίας καὶ πνοῆς τοῦ Πνεύματος τοῦ Θεοῦ αἰσθανόμενοι, προγεύονται ἤδη τῆς ἡδονῆς ἄλλης τινὸς ὑπάρξεως, ἀνομοίου τῇ γηΐνῃ, ἰδίως πνευματικῆς,

*αϊδίου. Τούτων δ' οὕτως ἐχόντων, τίς κλονίσαι δύναται τὴν αὐτῶν πεποίθησιν ἐπὶ τὴν ἀθανασίαν τῆς ψυχῆς;*

## Β'.

## Περὶ τῆς οὐσίας τῆς Θρησκείας.

### §. 11. *Ἔννοια περὶ αὐτῆς.*

*Ἐπὶ τῇ βάσει τῶν μέχρι τοῦδε παρ' ἡμῶν αναπτυχθεισῶν ἀληθειῶν περὶ τῆς τοῦ Θεοῦ ὑπάρξεως, Ὄντος τελειοτάτου, Ποιητοῦ καὶ Προνοητοῦ τῆς οἰκουμένης, ὡς καὶ περὶ τῆς ὑπάρξεως καὶ ἀθανασίας τῆς ἀνθρωπίνης ψυχῆς, οἷον ἤδη ἐστὶ καὶ τὴν περὶ τῆς οὐσίας τῆς θρησκείας ἀναπτύξαι ἔννοιαν.*

*Ἡ κυριωτάτη τῆς θρησκείας σημασία ἐστίν, ὅτι διαθήκη εἴτε σύνδεσμός ἐστι μεταξὺ Θεοῦ καὶ τῆς λογικῶς ἐλευθέρας κτίσεως, εἰδικῶς δὲ διαθήκη μεταξὺ Θεοῦ καὶ ἀνθρώπου. Καὶ ταύτην τὴν σημασίαν ἡμῖν δίδωσιν ὁ θεῖος λόγος, ὑπὸ τὴν φράσιν, διαθήκη μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, παριστὰς α'. τὴν πρωτόγονον, τὴν μέχρι τῆς πτώσεως τῶν προπατόρων ἡμῶν θρησκείαν. Κύριος, λέγει, διαθήκην αἰώνιον ἔστησε μετ' αὐτῶν, καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς (Σιρ. ιζ', 12.) β'. τὴν πατριαρχικήν· ὤφθη Κύριος τῷ Ἅβραμ, καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐνώπιον ἐμοῦ, καὶ γίνου ἄμεμπτος... Καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον, εἶναί σου Θεὸς καὶ τοῦ σπέρματός σου μετὰ σέ· (Γεν. ιζ', 1, 7.)· γ'. τὴν ὑπὸ νόμον· εἶπε κύριος πρὸς Μωϋσῆν· γράψον σεαυτῷ τὰ ῥήματα ταῦτα· ἐπὶ γὰρ τῶν λόγων τέθειμαί σοι διαθήκην καὶ τῷ Ἰσραήλ (Ἐξ. λδ'., 27· παρ. ιθ'. 5· κγ'. 22). δ'. τὴν Χριστιανικήν· ὁ Χριστὸς διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται (Ἑβρ. η'. 6.).*

*Οὖσα δὲ ἡ θρησκεία κατὰ τὴν οὐσίαν αὐτῆς διαθήκη ἢ ἡ σύνδεσμος μεταξὺ Θεοῦ καὶ ἀνθρώπου πίστις ἐστὶ κατὰ τὸ διακριτικὸν αὐτῆς ἰδίωμα. Καὶ γάρ, ὥσπερ ῥηθήσεται, αὕτη ἡ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*διαθήκη δύο οὐσιωδεστάτους περιέχει ὅρους, ὧν ἄνευ ἀδύνατος ἂν ἦ· ὧν ὁ μὲν ἡ ἀποκάλυψίς ἐστι τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον (Ῥωμ. α', 19.) καὶ ἡ πίστις ἢ ἡ ἀλήθεια τοῦ Θεοῦ (Ῥωμ. γ', 3)· ὁ δὲ ἡ πίστις τοῦ ἀνθρώπου, δι' ἧς δύναται καὶ ὀφείλει ἑαυτῷ τὴν ἀποκάλυψιν τοῦ Θεοῦ οἰκειώσασθαι, καὶ πιστὸς τῷ Θεῷ διατελεῖν. Χωρὶς πίστεως, λέγει ὁ Ἀπόστολος, ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται (Ἑβρ. ια', 6). Διὸ δὴ ἐν τῇ ἁγίᾳ Γραφῇ συχνότατα πίστις ἡ διαθήκη αὕτη καλεῖται (Πράξ. ς', 7. ιε', 4. κδ', 24. Ῥωμ. α', 5. ιε', 13. α'. Κορ. ιε', 14, 17. ις' 13. Ἐφ. δ', 5, 13. α', Θεσ. γ', 5 α'. Τιμ. α', 2, 19. δ', 1. ε', 8. ς', 10, 12, 21. β'. Τιμ. β'. 18. β'. Πέτρ. α', 1. Ἰούδ. 3. Ἀποκ. β', 13)[28] καὶ καθόλου μὲν περὶ πίστεως λέγεται (Πράξ. κε', 19. Ἰακ. α'. 26, 27. α'. Τιμ. γ', 9), ειδικῶς δὲ περὶ τῆς πατριαρχικῆς (Ἑβρ. ια', 4—22), περὶ τῆς ὑπὸ νόμον (Ἑβρ. ια', 23—40), καὶ ἰδίως περὶ τῆς Χριστιανικῆς (Γαλ. α', 33. γ', 23—25. ς', 10. Ἀποκ. ιδ', 12 καὶ ἀλλ.). Ὅθεν καὶ οἱ Πατέρες καὶ διδάσκαλοι τῆς ἀρχαίας Ἐκκλησίας συχνῶς ἐν τοῖς ἑαυτῶν συγγράμμασι πίστιν* (fides) *καλοῦσιν αὐτήν. Καὶ ἐν τῇ ὀρθοδόξῳ ἡμῶν πατρίδι ἐκ παλαιτάτων χρόνων καὶ μέχρι νῦν ἡ λέξις πίστις λίαν εὔχρηστος καὶ πᾶσι καταληπτὴ ὀνομασία τῆς διαθήκης ταύτης ἦν.*

### §. 12. *Βάσις καὶ ἀρχὴ τῆς Θρησκείας.*

*Βάσις τῆς Θρησκείας ἐστὶ α', ἀπὸ μὲν τοῦ Θεοῦ τὸ πανάγαθον αὐτοῦ θέλημα, καθ' ὃ ἀρεστὸν αὐτῷ ἦν τὸν ἄνθρωπον καὶ ἅπαντα τὰ πνευματικὰ ὄντα*[29] *τῇ θείᾳ αὐτοῦ εἰκόνι κοσμῆσαι, τ. ε. ψυχὴν λογικήν, ἐλευθέραν, αἰσθαντικὴν ἡμῖν δωρήσασθαι· β'. ἀπὸ δὲ τοῦ ἀνθρώπου καὶ πάντων τῶν πνευματικῶν ὄντων αὐτὴ ἡ τοῦ Θεοῦ εἰκών, καθ' ἣν ὁ ἄνθρωπος φύσει πρὸς τὸ ἑαυ-*

---

[28] *Ὁ Ἅγιος Χρυσόστομος σημειοῖ· "πίστιν τὴν συνθήκην λέγει." (Ὁμιλ. ιε'. εἰς α'. Τιμ. ε'. 17). Ὁ δὲ Οἰκουμένιος προστίθησι· "τὴν πρὸς Χριστὸν συνθήκην."*

[29] *"Ὁ Θεὸς ποιητής ἐστι καὶ δημιουργὸς τῶν Ἀγγέλων, παραγαγὼν αὐτοὺς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, καὶ πλάσας αὐτοὺς κατ' εἰκόνα ἑαυτοῦ" λέγει ὁ Δαμασκηνός (Ἐκθ. ἀκριβ. τῆς Χριστ. πίστ. βιβλ. β', κεφ. γ'.).*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ πρωτοτύπου ὁρμᾷ τῷ μὲν νῷ ὡς πρὸς ὑψίστην ἀλήθειαν, τῇ δὲ θελήσει ὡς πρὸς μέγιστον ἀγαθόν, τῷ δὲ αἰσθήματι ὡς πρὸς ὑψίστην μακαριότητα. Τούτων δ' ἕνεκα ἱκανὸς φαίνεται ὁ ἄνθρωπος πρὸς τοσούτῳ μεγίστην συνθήκην τῷ Κυρίῳ· ὁ γὰρ Κύριος ἐποίησε τὴν ψυχὴν τοιαύτην, κατὰ τὸν ἅγιον Μακάριον τὸν μέγαν, ὥστε δύνασθαι ἓν αὐτῷ πνεῦμα εἶναι, ὡς λέγει ὁ Ἀπόστολος· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι τῷ κυρίῳ (α'. Κορ. ς', 17) [30]. Ὅθεν.

Ἡ Θρησκεία ἐφάνη ἔν τε τῷ πνευματικῷ καθόλου κόσμῳ καὶ εἰδικῶς ἐν τῷ ἀνθρωπίνῳ γένει, ἅμα ἀμφότερα τὴν ὕπαρξιν παρὰ Θεοῦ παρέλαβον· αὕτη γάρ, ἀναπόδραστον οὖσα ἴδιον τῆς λογικῶς ἐλευθέρας φύσεως, ἔστιν οἱονεὶ αὐτὴ ἡ ζωὴ εἴτε ἡ ἀρχὴ τῆς ζωῆς παντὸς πνευματικοῦ ὄντος. Ἕκαστος δ' ἄνθρωπος εἰδικῶς μέτοχος τῆς διαθήκης ταύτης πρὸς τὸν Θεὸν γίνεται ἀπ' αὐτῆς τῆς γεννήσεως αὐτοῦ. Καὶ ὁ μὲν Κύριος καλεῖ οἱονεὶ τὸν ἄνθρωπον πρὸς ἑαυτόν, δοὺς αὐτῷ τὴν ἑαυτοῦ εἰκόνα, ἄκοντα αὐτὸν ἕλκουσαν πρὸς τὸν πλάστην· ὁ δ' ἄνθρωπος οἱονεὶ ἀποκρίνεται εἰς τὴν κλῆσιν ταύτην διὰ τῆς φυσικῆς μέν, κατὰ συνείδησιν δὲ ἐλευθέρας ὁρμῆς πρὸς τὸν Θεόν, ὡς μεγίστην ἀλήθειαν, ἀγαθὸν καὶ μακαριότητα, πάσαις ταῖς τῆς ψυχῆς δυνάμεσι, νῷ, θελήσει καὶ αἰσθήματι. Καὶ ἐν ταύτῃ δὴ τῇ σημασίᾳ καλεῖται ἡ Θρησκεία φυσικὴ εἴτε ἔμφυτος ἐν τῷ ἀνθρώπῳ. Πασίδηλον ὅμως ὅτι ἐνταῦθα μόνον βάσις ἐστὶ τῇ ἐλευθέρᾳ διαθήκῃ μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, καὶ οὐχὶ αὐτὴ ἡ διαθήκη.

### §. 13. *Περὶ τῆς τοῦ Θεοῦ συνεργείας εἰς τὰ περὶ τὴν Θρησκείαν καὶ τὸ καθῆκον τοῦ ἀνθρώπου.*

Αὐτὸς ὁ Πανάγαθος καὶ Πάνσοφος, ὅπως ὁ κληθεὶς πρὸς τὴν μεγίστην διαθήκην τῷ Κυρίῳ αὐτοῦ καὶ Δεσπότῃ ἄνθρωπος ὄντως δυνηθῇ εἰς αὐτὴν εἰσελθεῖν, δωρήσασθαι ηὐδόκησε, καὶ ἐδωρήσατο αὐτῷ ἅπαντα τὰ πρὸς τοῦτο ἀναγκαῖα.

1. Ὁ ἄνθρωπος κατὰ τὸ θέλημα τοῦ Δημιουργοῦ φύσει ὁρμᾷ εἰς συνένωσιν πρὸς αὐτὸν τῷ νῷ, τῇ θελήσει καὶ τῷ αἰσθήματι. Ἀλλ' ὁ μὲν νοῦς ἡμῶν δύναμίς ἐστι μόνον, καὶ οὐδὲν ἐπιγνῶ-

[30] Ὁμιλ. περὶ ἐπιστρ. τῆς ψυχῆς πρὸς τὸν Θεὸν καὶ τῆς αὐτῷ ἑνώσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναι δύναται, ἐὰν αὐτὸ ἑαυτὸ μὴ ἀποκαλύπτῃ· ἡ δὲ θέλησις ἡμῶν ὁμοίως μόνον δύναμίς ἐστι, μὴ δυναμένη προσηκόντως ἐνεργεῖν, ἐὰν μὴ αὐτῇ οἱ τῆς ἐνεργείας νόμοι σαφῶς δειχθῶσι· τὸ δὲ αἴσθημα ἡμῶν, ὡσαύτως δύναμις ὄν, πρὸς οὐδὲν δύναται ἀγαθὸν ὁρμᾶν, πρὶν αὐτὸ γνωστὸν αὐτῷ γένηται (ignoti nulla cupido). Διὸ ἀναγκαῖον, ὥστε αὐτὸν τὸν Κύριον, ὃς ηὐδόκησε καλέσαι τὸν ἄνθρωπον εἰς κοινωνίαν ἑαυτῷ, εὐδοκῆσαι καὶ ἑαυτὸν αὐτῷ ἀποκαλύψαι, καὶ παρασχεῖν τῷ μὲν νῷ αὐτοῦ γνῶσιν περὶ ἑαυτοῦ εἴτε τὰς ἀληθείας περὶ Θρησκείας, τῇ δὲ θελήσει ἀποφήνασθαι τὴν ἑαυτοῦ θέλησιν ἐν τοῖς ἠθικοῖς νόμοις εἴτε ἀληθείαις τῆς ἀγάπης, τῷ δὲ αἰσθήματι τὰ μέγιστα αὐτοῦ ἀγαθὰ δεῖξαι ἐν ταῖς ἐπαγγελίαις ἢ ἀληθείαις τῆς ἐλπίδος· ἐν ἑνὶ λόγῳ, αὐτὸν τὸν Θεὸν ἀναγκαῖόν ἐστι τὸν ἄνθρωπον τὴν Θρησκείαν διδάξαι. Καὶ ὄντως ὁ Θεὸς ἀπεκάλυψεν ἑαυτὸν τοῖς ἀνθρώποις διττῶς.

α'. Φυσικῶς. Ἀπεκάλυψεν ἑαυτὸν τῷ νῷ τοῦ ἀνθρώπου τὸ μὲν ἐν αὐτῷ τῷ νῷ (Ῥωμ. α', 17), κοινώσας αὐτῷ τὴν περὶ ἑαυτοῦ γνῶσιν, ἣν ὁ νοῦς κατὰ τὴν ἑαυτοῦ ἀνάπτυξιν βαθμηδὸν σαφέστερον ἐπιγινώσκει, τὸ δὲ ἐν τῇ ἐξωτερικῇ φύσει, ἐν ᾗ τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης (Ῥωμ. α', 20)· καὶ τῇ θελήσει αὐτοῦ διὰ τῆς συνειδήσεως, ἥτις, ὡς θεία ἐν ἡμῖν φωνή, ἀποφαίνεται ἡμῖν τοὺς ἠθικοὺς νόμους (Ῥωμ. β', 15)· καὶ τῷ αἰσθήματι διά τε τοῦ νοῦ καὶ τῆς συνειδήσεως ἀπεκάλυψεν ἑαυτόν· τοῦτο δέ, ταῖς παραινέσεσι τοῦ νοῦ καὶ τῆς θελήσεως ἑπόμενον, ὀρθῶς τρέφει ἀδίστακτον ἐλπίδα εἰς τὸν οὐράνιον, δίκαιον καὶ πανάγαθον Κριτήν.

β'. Ὑπερφυσικῶς, ἅμα τῇ πλάσει τοῦ προπάτορος, τῶν ἀμέσων ἑαυτοῦ ἐμφανίσεων αὐτὸν ἀξιώσας, ἵνα τὴν Θρησκείαν αὐτὸν διδάξῃ (Γεν. β', 16· γ', 8)· εἶτα δέ, πολυμερῶς καὶ πολυτρόπως ἐλάλησεν ἡμῖν ἐν τοῖς προφήταις, καὶ τέλος ἐν υἱῷ (Ἑβρ. α', 1).

Τῶν δύο τούτων ἀποκαλύψεων τ. ε. τῆς φυσικῆς καὶ ὑπερφυσικῆς, ἠξίωσεν ὁ Πανάγαθος καὶ ἅπαντα τὰ ἄλλα πνευματικὰ ὄντα, κληθέντα εἰς διαθήκην πρὸς αὐτόν· καὶ αὐτὰ γάρ, ὥσπερ πεπερασμένα, οὐ πάντα γιγνώσκουσι· δύνανται δὲ περὶ Θεοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόνον τὸ αὐτοῖς ἀποκεκαλυμμένον γιγνώσκειν. Διὸ οἱ ἀρχαῖοι χριστιανοὶ διδάσκαλοι σὺν πάσῃ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ διϊσχυρίζοντο, ὅτι καὶ οἱ ἄγγελοι ἐκτὸς τῶν φυσικῶν αὐτῶν γνώσεων εἰς τὰ περὶ τὴν θρησκείαν παρ' αὐτοῦ τοῦ Θεοῦ τὸν φωτισμὸν καὶ καταυγασμὸν παραλαμβάνουσιν [31].

2. Παρασχὼν δὲ ὁ Κύριος καὶ παρέχων κατὰ τὴν ἀνάγκην τοῖς πνευματικοῖς οὖσι γνώσεις περὶ ἑαυτοῦ, καὶ οὕτω δεικνὺς αὐτοῖς τὴν ἀληθῆ πρὸς εἰσαγωγὴν εἰς τὴν πρὸς αὐτὸν διαθήκην ὁδόν, καὶ τὰς ἀναγκαίας δωρεῖται δυνάμεις. Ἅπαντα γὰρ τὰ κτίσματα, οὐκ ἐν ἑαυτοῖς ζωὴν ἔχοντα, παραλαβόντα δ' αὐτὴν παρὰ Θεοῦ, οὐ καθ' ἑαυτὰ δύνανται καὶ τὴν ἑαυτῶν ὑποστηρίξαι ὕπαρξιν ἄνευ ἐξωτερικῆς ἐνεργείας. Ὅθεν ὁ Πανάγαθος καὶ Πάνσοφος, τὴν ὕπαρξιν αὐτοῖς παρασχών, καὶ πάντα τὰ πρὸς στήριξιν καὶ διάρκειαν τῆς ὑπάρξεως δίδωσι. Καὶ ὡς τὸ μὲν σῶμα ἡμῶν, ὁμοίως πᾶσι τοῖς ζῶσι σώμασι, δεῖται βρώσεως, πόσεως, ἐσθῆτος καὶ ἀέρος, ἄνευ δὲ τούτων παραυτίκ' ἂν τῆς ζωῆς ἐστερήθη, οὕτω καὶ ἡ ψυχή, ὥσπερ καὶ τὰ πνεύματα, δεῖται βρώσεως, πόσεως, ἐσθῆτος καὶ ἀέρος τοῦ ἑαυτῆς εἴδους, οἷς ἂν ὑποστηρίζηται ἡ ζωὴ αὐτῆς, καὶ ἀποκλίνηται ὁ πνευματικὸς θάνατος. Ταῦτα δὲ ἡ θεία ἐστὶ χάρις, δύναμις, πάντα ἀναζωοῦσα, ἐνισχύουσα καὶ ἀνυψοῦσα, ἣν ὁ Κύριος δωρεὰν παρέχει τοῖς ἀγγέλοις, οἵτινες, ἐὰν διατελῶσι βίον ζῶντες ἀληθῶς πνευματικόν, καὶ πιστοὶ τῷ Θεῷ καὶ ἀτρέπτως στεῤῥοὶ ἐν τῷ ἀγαθῷ διαμένωσι, κατὰ τὴν τῆς ὀρθοδόξου Ἐκκλησίας διδασκαλίαν, ἐμμένουσι κατὰ θείαν χάριν, οὐχὶ δὲ τῇ ἑαυτῶν φύσει [32]. Τῇ θείᾳ ταύτῃ δυνάμει ἀδιαλείπτως ἔζῃ ἐν τῇ ἑαυτοῦ ἀθωότητι, καὶ πιστὸς διέμενεν εἰς τὴν πρὸς τὸν Θεὸν διαθήκην καὶ ὁ προπάτωρ ἡμῶν [33]· αὕτη δὲ τοσούτῳ μᾶλλον ἄφυκτος τῷ

[31] Ὀρθ. Ὁμολ. τῆς Καθ. καὶ Ἀποστ. ἀνατολ. Ἐκκλησ. ἄρθρ. α'. ἀπ. εἰς ἐρ. 20· August. de civ. Dei l. 11, c. 9. Δαμασκ. Ἀκρ. ἔκθ.... β. β', κεφ. γ', 6. Διον. Ἀρεοπ. περὶ οὐρ. ἱεραρχ. κεφ. γ', δ', ς'.

[32] Ὀρθ. ὁμολ. ἄρθ. α'. ἀπόκρ. εἰς ἐρ. 20. Ambr. l. 1. de Spirit. 5, 6, 7. Δαμασκ. β. β', κ. γ'. Διον. Ἀρεοπ. περὶ Οὐραν. ἱεραρχ. κ. γ'. §. 3. Βλ. καὶ δογμ. Θεολ. ἡμῶν τόμ. β'. §. 104.

[33] "Ὥσπερ γὰρ τὸ σῶμα τοῦτο ποιήσας ὁ Θεός, λέγει ὁ ἅγιος Μακάριος ὁ Αἰγύπτιος, οὐκ ἐκ τῆς αὐτοῦ φύσεως; οὐδὲ ἐκ τοῦ σώματος ἔδωκεν αὐτῷ ἔχειν τὴν ζωήν, τὴν βρῶσιν καὶ τὴν πόσιν καὶ τὰ ἐνδύματα καὶ τὰ ὑποδήματα, ἀλλὰ πᾶσαν τὴν οἰκονομίαν τῆς ζωῆς ἔξωθεν ἔδωκεν ἔχειν, αὐ-

ἀνθρώπῳ μετὰ τὴν πτῶσιν ἐγένετο, ὥστε αὐτὸν δύνασθαι καὶ ἀναγεννηθῆναι, καὶ ἐκ νέου ἄρξασθαι καὶ ἄγειν πνευματικὸν καὶ ἅγιον βίον (Ἰωάν γ', 5. ς', 44. α'. Κορ. ιβ', 3. Ῥωμ. ή, 9 κλπ.).

II. Ὁ δὲ ἄνθρωπος, τὸ ἐν ἑαυτῷ, διὰ τὴν εἰσαγωγὴν εἰς τὴν πρὸς τὸν Θεὸν διαθήκην, ὀφείλει πάντως τῶν αὐτῷ παρεχομένων ὑπὸ τοῦ Κυρίου ἀπολαύειν μέσων·

α'· Οἰκειώσασθαι, συνεργούσης τῆς θείας χάριτος, τὴν ἀποκάλυψιν τῷ μὲν νῷ εἰς Θεὸν πιστεύειν, τῷ δὲ αἰσθήματι εἰς Θεὸν ἐλπίζειν, τῇ δὲ θελήσει τὸν Θεὸν ἀγαπᾶν [34]. Ἐὰν γὰρ ὁ ἄνθρωπος μὴ στέρξῃ τὰς πρὸς αὐτὸν ὑπὸ τοῦ Θεοῦ ἀποκεκαλυμμένας ἀληθείας ταῖς τρισὶ τῆς ψυχῆς δυνάμεσιν ἑαυτῷ προσοικειῶσαι, οὐκ εἰς τὴν πρὸς τὸν Θεὸν διαθήκην εἰσελεύσεται· Τὰς τρεῖς δὲ ταύτας συνθήκας ἀπαριθμεῖ ὁ Ἀπόστολος, λέγων· νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα (α'· Κορ. ιγ'. 13), καὶ μετ' αὐτὸν ὁ μακ. Αὐγουστῖνος, ὃς εἰς τὴν ἐρώτησιν τοῦ μαθητοῦ Λαυρεντίου, τίνος ἰδίως ἐν τῇ πίστει ἔχεσθαι, ἐν τίνι τὸ οὐσιῶδες αὐτῆς, τίς ἡ κυρία βάσις κτλ., ἀποκρίνεται· "ὅπερ ἐρωτᾷς ἀδιστάκτως γινώσκεις, εἰδὼς ἐντελῶς, τίνι δεῖ πιστεύειν, εἰς τί ἐλπίζειν, τί ἀγαπᾶν· τούτῳ γὰρ δεῖ μάλιστα, τούτῳ δὴ καὶ μόνῳ καὶ ἕπεσθαι ἐν τῇ Θρησκείᾳ" [35].

τὸ καθ' ἑαυτὸ τὸ σῶμα γυμνὸν ποιήσας, καὶ χωρὶς τῶν ἔξωθεν τοῦ σώματος ὄντων ζῆσαι τὸ σῶμα ἀδύνατον· τοῦτ' ἔστι, χωρὶς βρώσεως καὶ πόσεως καὶ ἐνδυμάτων. Ἐὰν δὲ εἰς τὴν ἑαυτοῦ μόνον φύσιν στῇ, μηδὲν τῶν ἔξωθεν προσλαβὼν, διαφθείρεται καὶ ἀπόλλυται· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἡ μὴ ἔχουσα φῶς θεῖον, κτισθεῖσα δὲ κατ' εἰκόνα Θεοῦ· οὕτως γὰρ αὐτὴν ᾠκονόμησε καὶ ηὐδόκησεν ἔχειν τὴν αἰώνιον ζωὴν οὐκ ἐκ τῆς ἰδίας φύσεως ἀλλ' ἐκ τῆς ἑαυτοῦ θεότητος, ἐκ τοῦ ἰδίου πνεύματος, ἐκ τοῦ ἰδίου φωτός, ἔχειν βρῶσιν καὶ πόσιν πνευματικὴν καὶ ἐνδύματα οὐράνια." (Ὁμιλ. α'. § 10, 11). Βλ. καὶ Ἰωάν. Δαμασκ. ἀκριβ. ἔκθ... Μόσχ. 1844, σελ. 91, 132. Ἀκριβέστερον περὶ τούτου βλ. ὀρθοδ. δογμ. Θεολ. Μακαρ. τόμ. β'. § 85.

[34] Ὧδε ἡ μὲν πίστις τῷ νῷ ἀποδίδοται, ἡ δ' ἐλπὶς τῷ αἰσθήματι, ἡ δὲ ἀγάπη τῇ θελήσει, συγκριτικῶς μόνον πρὸς τὰ διακριτικὰ αὐτῶν ἰδιώματα. Αὐστηρῶς δὲ κρίνοντες, τοῦ νοός, τῆς θελήσεως καὶ τοῦ αἰσθήματος τῇ οὐσίᾳ αὐτῶν ἐντελῶς ἐν τῷ ἀνθρώπῳ ἀχωρίστων ὄντων, καὶ μιᾶς καὶ τῆς αὐτῆς ψυχῆς δυνάμεων, ὀφείλομεν εἰς Θεὸν πιστεύειν, εἰς αὐτὸν ἐλπίζειν, καὶ αὐτὸν ἀγαπᾶν ταῖς δυνάμεσι ταύταις τῆς ψυχῆς. Ὅθεν καὶ αὐτὴ ἡ πίστις, ἡ ἀγάπη, ἡ ἐλπὶς ἀχώριστοι ἀλλήλων ἐν τῇ πείρᾳ εἰσίν· ὅπου ἔσται ἡ μία, ἐκεῖ ἤδη πάντως καὶ ἡ δευτέρα καὶ ἡ τρίτη.

[35] Enchir. de fide, spe et char. c. IV. p. 144. Tom. VI. Antw. 1700.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

2. *Συνεργείᾳ τῆς αὐτῆς θείας χάριτος, ὡς καὶ ἅπαντα τὰ πλασθέντα πνεύματα, τὴν ἑαυτοῦ ἀποφαίνεσθαι πίστιν, ἀγάπην καὶ ἐλπίδα τῷ εὐσεβεῖ βίῳ, τῇ πληρώσει τῶν θείων ἐντολῶν· τοῦτο γάρ ἐστιν ἀναγκαῖον ἀποτέλεσμα, καρπὸς καὶ μαρτυρία τῆς ἀληθοῦς πίστεως, ἀγάπης καὶ ἐλπίδος, ἄλλως δ' ἂν δικαίως εἵπετο, ὅτι τῷ ἀνθρώπῳ οὐκ εἰσιν αἱ ἀρεταὶ αὗται ἐν τῇ ἀληθεῖ αὐτῶν μορφῇ.*

3. *Μόνος ἤδη ὁ ἄνθρωπος (οὐ γὰρ μόνον καθαρόν ἐστι πνεῦμα, ἀλλὰ καὶ σῶμα, ἃ οὐσιωδῶς ἐν αὐτῷ συνηνωμένα εἰσὶν) ἀποφαίνεσθαι ὀφείλει καὶ μαρτυρεῖν τὴν ἑαυτοῦ πίστιν, ἀγάπην καὶ ἐλπίδα ἐξωτερικοῖς τῆς εὐσεβείας δείγμασιν· ἄλλως ἂν αὖθις εἵπετο, ὅτι ἐν αὐτῇ τῇ ψυχῇ τοῦ ἀνθρώπου ἤτοι οὐδόλως εἰσὶν ἀληθὴς πίστις, ἀγάπη καὶ ἐλπίς, ἢ αὗται ἄκρως ἀσθενεῖς.*

III. *Ἀλλ' ἡμεῖς ἐλάχιστα εἴπομεν, φάντες, ὅτι ὁ ἄνθρωπος ὀφείλει εἰς Θεὸν πιστεύειν, τὸν Θεὸν ἀγαπᾶν, εἰς Θεὸν ἐλπίζειν, καὶ τοῦτο ἐν τῷ εὐσεβεῖ δεικνύναι βίῳ καὶ τοῖς ἐξωτερικοῖς τῆς εὐσεβείας σημείοις, οὐ γὰρ ἄλλως εἰς τὴν πρὸς τὸν Θεὸν διαθήκην εἰσελεύσεται. Ῥητέον δὲ πρὸς τοῖςδε, ὅτι ὁ ἄνθρωπος ἀναντιῤῥήτως ὀφείλει εἰς τὴν διαθήκην ταύτην εἰσελθεῖν, καὶ ἐλάχιστον δίκαιον ἔχει παρεκκλίνειν ἀπ' αὐτῆς ἢ διαλύειν αὐτήν· τ. ε. ὑπόχρεώς ἐστι καὶ πρὸς τὴν ἐσωτερικὴν καὶ ἐξωτερικὴν εὐσέβειαν ἕνεκα αὐτῆς τῆς κατασκευῆς τῆς αὐτοῦ φύσεως, τοῦ αἰσθήματος τῆς πρὸς τὸν Θεὸν εὐγνωμοσύνης, τοῦ πρὸς αὐτὸν ἀναγκαίου καὶ σωτηριώδους τῆς εὐσεβείας.*

*Οὐδείς ἐστι δισταγμός, ὅτι ἅπαντα ἐν τῷ κόσμῳ πρὸς τὸ ἑαυτῶν τέλος ὁρμᾶν ὀφείλουσι, καὶ οἷα ἐπλάσθησαν εἶναι. Ἐπειδὴ δὲ ἡ ψυχὴ ἡμῶν τρεῖς ἔχει κυρίας δυνάμεις, τὸν νοῦν, πρὸς τὴν ἀλήθειαν ὁρμῶντα, τὴν θέλησιν, τὸ ἀγαθὸν ἀγαπῶσαν, τὸ αἴσθημα, τῆς μακαριότητος ἐπιθυμοῦν, τελειοτάτης δ' ἀληθείας, ὑψίστου ἀγαθοῦ, ἀπείρου μακαριότητος Κυρίου τοῦ Θεοῦ ὄντος, ἡ μὲν ψυχὴ ἡμῶν οὕτω καὶ ἐπλάσθη, ὥστε αὐτὸν ἐπιγινώσκειν μάλιστα αὐτὸν ἀγαπᾶν, τῆς πρὸς αὐτὸν κατ' ἐξοχὴν ἐπιθυμεῖν συνενώσεως· καὶ τοῦτο τὴν ἐσωτερικὴν ἀποτελεῖ εὐσέβειαν· τὸ δὲ σῶμα ἐπλάσθη ἐν ὑπακοῇ τῆς ψυχῆς εἶναι, τὰς διανοίας αὐτῆς, τὰς ἐπιθυμίας καὶ τὰ αἰσθήματα ἐκφράζειν καὶ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στενῶς τῇ ψυχῇ συνενοῦσθαι, ὥστε, ἐν τῇ δεούσῃ πρὸς αὐτὴν κοινωνίᾳ διατελοῦν, ἀδύνατον μὴ ἐκφράζειν αὐτά, ἰδίως ζωηρὰ λίαν καὶ ἰσχυρὰ ὄντα. ὅθεν φανερόν ἐστι τὸ ἄφυκτον τῆς ἐξωτερικῆς εὐσεβείας καὶ τοῦ εὐσεβοῦς βίου.

Κύριος ὁ Θεὸς πρῶτος καὶ μέγιστός ἐστιν ἡμῶν εὐεργέτης· ἐκ μόνης γὰρ τῆς ἀγάπης καὶ ἀγαθότητος τὴν ὕπαρξιν ὑμῖν ἐδωρήσατο, περιέβαλεν ἡμᾶς ὑψηλοῖς ἰδιώμασι, καταπέμπει ἡμῖν καὶ πᾶν τῇ ὑπάρξει ἀναγκαῖον ἀφθόνως εἰς ἀπόλαυσιν. Αὐτὴ δ' ἡ φύσις ἡμῶν βιάζει ἡμᾶς ἀποδιδόναι ἀντὶ τῶν εὐεργεσιῶν εὐχαριστίαν, τοσούτῳ ἀνωτέραν καὶ ἰσχυρωτέραν εἶναι ὀφείλουσαν, ὅσῳ πλείω παρελάβομεν εὐεργεσίας. Μετὰ δὲ ταῦτα μὴ τὸν Θεὸν ἐπιγνώσκειν προθυμεῖσθαι καὶ εἰς αὐτὸν πιστεύειν, μηδὲ ἐνθέρμως καὶ εὐπειθῶς αὐτὸν ἀγαπᾶν, μὴ ἐπ' αὐτὸν ἀνατιθέναι πάσας τὰς προσδοκίας, καὶ καθόλου, μὴ δοξάζειν τὸν Θεὸν ἐν τῷ σώματι καὶ ἐν τῷ πνεύματι ἡμῶν (α'. Κορ. ς', 20), ἃ συμμετέχουσι τῶν ἀνεκφράστων αὐτοῦ δωρεῶν, φανερὰ ἂν εἴη ἀφ ἡμῶν καὶ θρασυτάτη ἀχαριστία.

Ἡ τοῦ Θεοῦ ἐπίγνωσις καὶ ἡ εἰς αὐτὸν πίστις ἀναπόδραστά εἰσι καὶ λυσιτελέστατα τῷ ἡμετέρῳ νῷ ἐν ταῖς αὐτοῦ ἐρεύναις· ὡς γὰρ ἐν τῷ Θεῷ ἡ ἀρχὴ καὶ ἡ αἰτία ἁπάντων ἐστίν, οὕτω καὶ ἐν τῇ ἐπιγνώσει αὐτοῦ ἡ ἀρχή ἐστι καὶ ἡ βάσις πασῶν τῶν ἐπιγνώσεων ἡμῶν· καὶ ὡς ἐν τῷ ὑλικῷ κόσμῳ πάντα εἰς ἀταξίαν προσῆλθον καὶ ἀνετράπησαν, εἰ ἀπ' αὐτοῦ ἀποχωρισθείη ἡ θεία σύνεργεια, οὕτω καὶ ἐν τῷ χώρῳ τῶν γνώσεων τοῦ ἀνθρώπου πάντα συγκεχυμένα, ἐπισφαλῆ καὶ ἐξίτηλά εἰσι, διανοουμένου ἄνευ τῆς τοῦ Θεοῦ ἐπιγνώσεως διάγειν. Ἡ τοῦ Θεοῦ ἐπίγνωσις καὶ ἡ πρὸς αὐτὸν ἀγάπη ἄφυκτοι καὶ λίαν σωτηριώδεις εἰσὶ τῇ θελήσει ἡμῶν· ἐνταῦθα γὰρ αἱ οὐσιωδέσταται πρὸς ἐπίδοσιν εἰς τὴν εὐσέβειάν εἰσι παραινέσεις καὶ ὁ ἐν τῷ Θεῷ μέγιστος τύπος τῆς ἠθικῆς τελειότητος. Ἡ τοῦ Θεοῦ ἐπίγνωσις καὶ ἡ εἰς αὐτὸν ἐλπὶς ἀναγκαῖαι καὶ λίαν σωτηριώδεις τῷ αἰσθήματι ἡμῶν ἐν μέσῳ τῶν τρικυμιῶν καὶ δυστυχιῶν, ἃς περιβεβλημένοι ἐσμὲν ἐν τῇ παρούσῃ ζωῇ ἐφ' ἑκάστῳ σχεδὸν βήματι, ἐν αἷς μόνη πιστὴ καὶ στεῤῥὰ ἡμῖν ἄγκυρα, κατὰ τὸν Ἀπόστολον, ὄντως ἡ εἰς Θεὸν ἐλπίς ἐστιν (Ἑβρ. ς', 19).

Καὶ ἡ ἐξωτερικὴ λατρεία ἀναγκαία καὶ λίαν λυσιτελής ἐστιν αὐτῇ τῇ εἰς τὴν ἐσωτερικὴν λατρείαν ἐπιδόσει ἡμῶν· ἡ γὰρ ἐξωτερικὴ λατρεία διεγείρει, τρέφει, ἐνισχύει τὴν ἐσωτερικήν.

§. 14. *Τέλος καὶ ἀποτέλεσμα τῆς Θρησκείας.*

Τὸ τέλος καὶ τὸ ἀποτέλεσμα τῆς θρησκείας ἀποκαλύπτεται ἤδη καθ' ἑαυτό.

α΄. Τέλος ἤτοι ἀποτέλεσμα πλησιέστατον καὶ ἄμεσόν ἐστιν ἡ ζῶσα καὶ μυστηριώδης ἕνωσις τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν. Καὶ γὰρ ὁ Κύριος ὄντως κατὰ τὴν πίστιν, ἐλπίδα καὶ ἀγάπην τοῦ ἀνθρώπου, ἐν τῇ ἐξωτερικῇ λατρείᾳ καὶ εὐσεβείᾳ δεικνυμένας, κατέρχεται ἐπ' αὐτὸν ταῖς δωρεαῖς τῆς χάριτος, ἑνοῦται τῇ θείᾳ αὐτοῦ δυνάμει πρὸς αὐτόν, τῇ πρὸς ζωὴν καὶ εὐσέβειαν (β΄. Πέτρ. α΄, 3), καὶ οἱονεὶ διαρκῆ μονὴν ἑαυτοῦ παρ' αὐτῷ ποιεῖ (Ἰωάν. ιδ΄, 23), ὥστε ὁ ἄνθρωπος καθίσταται ἤδη ναὸς τοῦ Θείου Πνεύματος (α΄. Κορ. γ΄, 16), ἐκκλησία Θεοῦ ζῶντος (β΄. Κορ. ς΄, 16), ἓν πνεῦμά ἐστι τῷ Κυρίῳ (α΄. Κορ. ς΄, 17), ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ (α΄· Ἰωάν. δ΄, 16), ὁ δὲ ζῇ, ζῇ τῷ Θεῷ (Ῥωμ· ς΄, 10), ζῇ οὐκέτι αὐτός, ζῇ δὲ ἐν αὐτῷ ὁ Θεός (Γαλ· β΄, 20)· Μνηστέον δέ, ὅτι βαθμοὶ τῆς μυστηριώδους ταύτης ἑνώσεως τῷ Θεῷ ἄπειροί εἰσιν, ὅσοι καὶ οἱ τῆς εἰς τὴν πίστιν, τὴν ἐλπίδα καὶ ἀγάπην ἐπιδόσεως τοῦ ἀνθρώπου· ὅτι οἱ ἄγγελοι τῆς μυστηριώδους ταύτης ἑνώσεως ἀξιοῦνται κατὰ τὴν ἠθικὴν αὐτῶν ἐπίδοσιν[36], καὶ ὅτι τῶν ὑψηλῶν βαθμῶν τῆς μυστηριώδους ταύτης ἑνώσεως τῷ Θεῷ καὶ πᾶσι τοῖς ἄλλοις οὖσιν ἀξιωθησόμεθα ἐν τῇ μετὰ θάνατον αἰωνίᾳ ζωῇ, ὅτε ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσι (α΄. Κορ· ιε΄, 28).

2· Τέλος ἤτοι ἀποτελέσματα ἔμμεσα, φύσει ἐκ τοῦ πρώτου πηγάζοντα, ἡ τοῦ Θεοῦ ἐστι δόξα καὶ ἡ τοῦ ἀνθρώπου μακαριότης· Δόξα μὲν τοῦ Θεοῦ ἐστί, διότι, πιστοὶ διαμένοντες τῇ πρὸς τὸν Θεὸν διαθήκῃ, πληροῦντες τὴν αὐτοῦ θέλησιν καὶ τὰς ἡμῖν δεδομένας ἐντολάς, τούτοις δοξάζομεν τὸν Θεόν, καὶ ἡμεῖς αὐτοὶ ἀμέσως, ἐπὶ μᾶλλον ἐν ἑαυτοῖς δεικνύντες τὰς ὑψίστας αὐτοῦ τελειότητας, καὶ ἄλλοις αἰτίαν παρέχομεν, ὅπως ἴδωσιν ἡμῶν

[36] Βλ. Διον. Ἀρεοπαγ. περὶ τῆς οὐραν· ἱεραρχ. κεφ. γ΄, §. 2. καὶ Κεφ. δ΄, §. 2. Παρράβαλ. Ἀκρ. ἐκθ. τῆς ὀρθοδ. Πίστ. βιβλ. β΄, Κεφ. γ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς (Ματθ. ε', 16). ἐπιστήμην συνέσεως ἐνέπλησεν αὐτούς, λέγει ὁ Σιρὰχ περὶ Θεοῦ καὶ τῶν πρώτων ἀνθρώπων· διαθήκην αἰώνιον ἔστησε μετ' αὐτῶν, καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς..., καὶ ὄνομα ἁγιασμοῦ αἰνέσουσιν ἐκλεκτοί, ἵνα διηγῶνται τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ (Σιράχ. ιζ', 7, 10, 12). Μακαριότης δὲ τοῦ ἀνθρώπου· τῇ γὰρ ἑνώσει πρὸς τὸν Κύριον τοῦ ὑψηλοῦ τέλους ἡμῶν τυγχάνομεν, καὶ οὕτω λαμβάνομεν τὰ προσήκοντα πάσαις ταῖς εὐγενεστάταις τῆς φύσεως ἡμῶν ἀνάγκαις. Πιστῶν δὲ μενόντων τῇ πρὸς τὸν Θεὸν διαθήκῃ, πᾶσαι αἱ τῆς ψυχῆς ἡμῶν καὶ τοῦ σώματος δυνάμεις ἐν τῇ φυσικωτάτῃ διάκεινται διαθέσει καὶ τῇ πρὸς ἀλλήλας κοινωνίᾳ· πάντα ἐν ἡμῖν ἐν τάξει γίνονται καὶ συμφωνίᾳ, καὶ ἡμεῖς τελείας ἀπολαύομεν ἡσυχίας. Πιστοὶ δὲ διατελοῦντες τῷ ἡμετέρῳ προορισμῷ, στεῤῥῶς ἑστῶτες ἐν ᾗ ὁ Πλάστης ἔθηκεν ἡμᾶς τάξει ἐν τοῖς ἄλλοις αὐτοῦ κτίσμασι, φύσει μένομεν ἐν τῇ δεούσῃ κοινωνίᾳ πρὸς πάντα τὰ περικυκλοῦντα ἡμᾶς, τοὺς ἀδελφοὺς ἡμῶν τοὺς ἀνθρώπους καὶ πρὸς πᾶσαν τὴν φύσιν, τηροῦμεν πρὸς αὐτὰ ἀγαθὴν συμφωνίαν, καὶ ἀποδιώκομεν πᾶσαν πικρίαν. Καὶ λοιπόν, εἰ ἅπαντες ἀληθῶς εὐσεβεῖς ἦσαν, ὡς ἔδει εἶναι, ἦν ἡ εὐτυχία εἰδικῶς ἑκάστῳ κλῆρος καὶ γενικῶς ἅπασιν· Οὔτε ἐν αὐτοῖς πηγὴ δυστυχιῶν ἦν, οὔτε ἐν τῷ πλησίον, οὔτε ἐν τῇ ἐξωτερικῇ φύσει· ἅπαντα γὰρ ἐνέμενον ἐν τῇ ἑαυτῶν τάξει καὶ τοῖς ὁρίοις, καὶ οὐ βίᾳ εἰσήρχοντο εἰς ἀλλότριον χῶρον. Πάντων οὖν τῶν ἀγαθῶν, ὧν ἡμᾶς ὁ Φιλάνθρωπος ἠξίωσε, τὸ πρῶτον καὶ μέγιστον ἀφιλονείκως ἡ Θρησκεία ἐστί· δι' αὐτῆς γὰρ μόνης καὶ ἐν αὐτῇ δυνάμεθα πάσης εὐτυχίας καὶ μακαριότητος ἀπολαύειν. Τοιοῦτο δ' ἀγαθόν ἐστι πάντως ἡ Θρησκεία καὶ πᾶσι τοῖς πνευματικοῖς οὖσι, τὸν Κύριον τῷ ἀγαθῷ αὐτῶν βίῳ δοξάζουσι, καὶ τυγχάνουσιν ἐν αὐτῷ πάσης τῆς ἀληθοῦς μακαριότητος.

§. 15. *Διαίρεσις τῆς Θρησκείας.*

Ἐκ τῶν εἰρημένων ἀμέσως δῆλον γίνεται, ὅτι ἐκ δύο ἡ Θρησκεία οἱονεὶ συνέστηκε μερῶν, ὧν τὸ μὲν ἀποτελεῖ πᾶν, ὅπερ ηὐδόκησεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ὁ Θεὸς πρὸς προσαγωγὴν τοῦ ἀνθρώπου εἰς τὴν πρὸς ἑαυτὸν διαθήκην ποιῆσαι, ἐν τῇ αὐτοῦ ἐγχαράξας οὐσίᾳ τὴν ἑαυτοῦ εἰκόνα, ἀκονέλκουσαν αὐτὸν πρὸς τὸ Πρωτότυπον, δοὺς περὶ ἑαυτοῦ φυσικὴν καὶ ὑπερφυσικὴν αὐτῷ ἀποκάλυψιν, καὶ προτιθεὶς αὐτῷ τὰς ἀφύκτους τῆς χάριτος δυνάμεις. Τοῦτο δὲ τὸ μέρος τῆς θρησκείας ὡς τὰ πολλὰ ὑπερκειμένην καλοῦσι θρησκείαν· ἀποδιδόασιν ὅμως τὴν κλῆσιν ταύτην ἐν τῇ στενωτάτῃ σημασίᾳ πρὸς μόνην τὴν θείαν ἀποκάλυψιν ὡς φυσικὴν καὶ ὑπερφυσικήν· Τὸ δ' ἀποτελεῖ πᾶν, ὅτι ὁ ἄνθρωπος, τὸ ἐν ἑαυτῷ, ποιεῖ πρὸς ἀληθῆ εἰσαγωγὴν εἰς τὴν πρὸς τὸν Θεὸν διαθήκην· καὶ τοῦτο ἀποτελοῦσιν ἡ πίστις, ἡ ἐλπὶς, ἡ ἀγάπη, ἐκφραζόμεναι ἐν τῇ ἀγαθῇ πράξει καὶ τῇ ἐξωτερικῇ λατρείᾳ. Καὶ τοῦτο τὸ μέρος συνήθως καλεῖται ὑποκειμένη θρησκεία καὶ εὐσέβεια καὶ λατρεία· Κατὰ ταῦτα δὲ ὀρθός ἐστι καὶ ὁ παρὰ πᾶσιν ἐν χρήσει τῆς θρησκείας ὁρισμός, "Θρησκεία ἐστὶ γνῶσις ἢ μᾶλλον ἐπίγνωσις καὶ λατρεία τοῦ Θεοῦ"[37]. Καὶ δῆλόν ἐστιν, ὅτι α΄. ἡ ὑπερκειμένη θρησκεία ἄνευ τῆς ὑποκειμένης οὔπω κυρίως ἐστὶ θρησκεία, ἡ δὲ ἑτέρα ἄνευ τῆς πρώτης καὶ ἀδύνατος· καὶ β΄. ἡ μὲν πρώτη ἐντελὴς καὶ ἀμετάβλητος· ἡ γὰρ τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον διαθήκη ἀΐδιός ἐστι καὶ ἀμετάβλητος, καὶ ἡ ἀλήθεια οὐ δύναται μᾶλλον ἢ ἧττον ἀλήθεια εἶναι, καίτοι δύναται μᾶλλον ἢ ἧττον ἀποκεκαλυμμένη εἶναι· ἡ δὲ ἑτέρα ἄπειρον δέχεται τελειοποίησιν καὶ μεταβλητή ἐστι· δύναται γὰρ ὁ ἄνθρωπος ἀδιαλείπτως ἀνέρχεσθαι κατὰ τοὺς βαθμοὺς τῆς θεογνωσίας καὶ εὐσεβείας καὶ κατέρχεσθαι καὶ πάντως τὴν ἀληθῆ ἀπολέσαι πίστιν*[38].

*Καὶ ἡ μὲν ὑποκειμένη θρησκεία ἢ θεογνωσία ὑποδιαιρεῖται εἰς εὐσέβειαν ἐσωτερικήν· ἡ γὰρ πίστις, ἀγάπη, ἐλπὶς ἐν μόνῃ τῇ τοῦ ἀνθρώπου ψυχῇ διαμένουσι· καὶ εἰς ἐξωτερικήν· ἐκφαίνονται γὰρ αὗται ἐν ἐξωτερικοῖς σημείοις τῆς πρὸς τὸν Θεὸν λατρείας καὶ ἐν τῷ εὐσεβεῖ βίῳ. Ἡ δὲ ὑπερκειμένη ὁμοίως εἰς φυσικὴν*

---

[37] Religio est cognitio seu agnitio Dei cultusque, cognitione illi consentaneus.

[38] *Ἐντεῦθεν δὴ πᾶσαι αἱ πλάναι περὶ τὴν θρησκείαν, δυσειδαιμονία, φανατισμός, ἀδιαφορισμός, ἡ εἰς τὸ πεπρωμένον πίστις* (Fatalismus) *διθεΐα, πολυθεΐα κλπ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀποκαλυπτικὴν εἴτε ἐξ ἀποκαλύψεως. Καὶ ἡ μὲν φυσική ἐστι διδασκαλία περὶ τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ καὶ τῆς πρὸς αὐτὸν ἡμῶν κοινωνίας, ὑπ' αὐτοῦ τοῦ ἀνθρώπου συντιθεμένη ταῖς φυσικαῖς τοῦ νοὸς αὐτοῦ δυνάμεσιν ἐπὶ τῇ βάσει τῆς ὑπὸ τοῦ Θεοῦ δωρηθείσης ἡμῖν φυσικῆς ἀποκαλύψεως ἔν τε τῇ ἡμετέρᾳ φύσει καὶ τῇ ἐξωτερικῇ. Ἐπειδὴ δὲ ἡ διδασκαλία αὕτη, καίτοι ἐπὶ τῇ βάσει τῆς φυσικῆς τοῦ Θεοῦ ἀποκαλύψεως συντίθεται, συντίθεται ὅμως ὑπὸ τοῦ ἀνθρωπίνου νοός, μὴ κατανοεῖν δυναμένου τὴν ἀποκάλυψιν καὶ δὴ καὶ ἀνατρέψαι αὐτὴν καὶ λυμῆναι, μεταποιεῖν καὶ τελειοῦν τὰς περὶ αὐτῆς αὐτοῦ γνώσεις, δικαίως δυνάμεθα τὴν φυσικὴν θρησκείαν ὑποκειμένην νομίζειν. Ἡ δὲ ἰδίως ἀποκαλυπτική, κατὰ τὴν στενὴν καὶ κοινῇ εὔχρηστον σημασίαν, διδασκαλία ἐστὶ περὶ τῆς ἀμοιβαίας κοινωνίας μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, ὑπερφυσικῶς ἡμῖν κοινουμένη καὶ ὑπ' αὐτοῦ τοῦ Θεοῦ ἀμέσως τε καὶ ἐμμέσως, δι' ἀγγέλων καὶ ἀνθρώπων, ἀμέσου θείας ἀποκαλύψεως προαξιωθέντων, ὅπως αὐτὴν μεταδῶσι τοῖς λοιποῖς ἀνθρώποις· Φυσικαὶ δὲ θρησκεῖαι κληθῆναι δύνανται ἐκτὸς μόνης τῆς χριστιανικῆς, ἐν τῇ πλατυτέρᾳ νοουμένης σημασίᾳ, πᾶσαι αἱ ὑπάρχουσαι καὶ ὑπάρξασαι ἐν τῷ κόσμῳ θρησκεῖαι· οἷον, ἐθνική, ἐν πᾶσι τοῖς εἴδεσιν αὐτῆς, ψευδοφιλοσοφική, ἐνισχυθεῖσα τοὺς νεωτάτους χρόνους, φυσισμὸς δὲ (naturalismus) καὶ λογισμὸς (rationalismus) [39] καλουμένη. Ἀληθῶς ὅμως ἀποκαλυπτικὴ θρησκεία, ὑπερφυσικῶς ἡμῖν ὑπ' αὐτοῦ τοῦ Θεοῦ δωρηθεῖσα, μόνη ἡ χριστιανική ἐστιν.

---

[39] Οἱ ὑλισταὶ διϊσχυρίζονται, ὅτι ἐντελῶς οἷαί τέ εἰσιν εἰς τὰ περὶ τὴν θρησκείαν μόναι αἱ φυσικαὶ γνώσεις, καὶ ἀποβάλλουσι τὴν ἀνάγκην πάσης ἐν ταύτῃ τοῦ Θεοῦ συνεργείας καὶ πάσης θείας ἀποκαλύψεως. Εἰσὶ δὲ δύο εἴδη τοῦ ὑλισμοῦ, ὁ μὲν βάναυσος, ἐντελῶς τὴν ὑπερφυσικὴν ἀποβάλλων ἀποκάλυψιν, ὡς ἀδύνατον, ἀνωφελῆ, μάλιστα δ' ἐπιβλαβῆ· ὁ δὲ ἧττον βάναυσος, ἀποδεχόμενος τὴν ἀποκάλυψιν, ὡς πρόσκαιρον βοήθημα τοῖς ἀσθενέσι θνητοῖς, παρελευσόμενον, τοῦ ἀνθρωπίνου γένους ἀνδρισομένου. Οἱ δὲ λογισταὶ διδάσκουσιν, ὅτι μία μόνη ἐστὶν ἀποκάλυψις διὰ τοῦ νοῦ τοῦ ἀνθρώπου, καὶ ὅτι ἐπὶ τούτῳ διεγείρει ὁ Θεὸς τοὺς νόας τινῶν πρὸς βασιμωτάτην ἐπίγνωσιν τῶν ἀρχῶν τῆς ἀληθοῦς θρησκείας καὶ πρὸς μετάδοσιν αὐτῶν τῷ πλησίον. Πρὸς διαφορὰν δὲ τούτων ἡ εἰς τὴν χριστιανικὴν ἀποκάλυψιν, ὡς ὑπερφυσικήν, πίστις ὑπερυλισμὸς καλεῖται.

## Γ'.

### Ἡ θρησκεία, ὡς κλῆρος πάντων τῶν πνευματικῶν ὄντων καὶ παντὸς τοῦ ἀνθρωπίνου γένους. Ἔννοια περὶ τῆς Ἐκκλησίας.

§. 16. *Σύνδεσμος τῆς θρησκείας καὶ τῆς Ἐκκλησίας.*

*Μέχρι τοῦδε ἐθεωρήσαμεν τὴν θρησκείαν ἐν τῇ οὐσίᾳ αὐτῆς, ὡς διαθήκην μεταξὺ Θεοῦ καὶ τῆς λογικῶς ἐλευθέρας κτίσεως, εἰδικῶς δὲ μεταξὺ Θεοῦ καὶ ἀνθρώπου. Ἤδη δὲ θεωρήσομεν αὐτὴν ἐν τῇ πράξει εἴτε τῇ ἀληθεῖ αὐτῆς ὑπάρξει, ὡς κλῆρον πάντων τῶν πνευματικῶν ὄντων καὶ πάντων τῶν ἀνθρώπων, οἵτινες, τῇ πρὸς τὸν Θεὸν διαθήκῃ συνδεδεμένοι, εἰσὶν ἅμα τῇ αὐτῇ διαθήκῃ καὶ πρὸς ἀλλήλους συνδεδεμένοι, καὶ ἀναπτύξομεν τὴν περὶ τῆς πνευματικῆς τοῦ Θεοῦ βασιλείας εἴτε τῆς Ἐκκλησίας, ὅπερ ἀναγκαῖον τῇ ἐντελείᾳ καὶ σαφηνείᾳ αὐτῆς τῆς περὶ θρησκείας γνώσεως, τῆς Ἐκκλησίας καὶ θρησκείας ἀχωρίστων ὑπαρχουσῶν·*

*Θρησκεία, ὥσπερ εἴρηται, ἐν τῇ πλατυτέρᾳ σημασίᾳ, διαθήκη ἐστὶ μεταξὺ Θεοῦ καὶ τῆς λογικῶς ἐλευθέρας κτίσεως· Ἐκκλησία δὲ* [40] *σύνολόν ἐστι τῶν λογικῶς ἐλευθέρων κτισμάτων,*

---

[40] *Ἡ ἑλληνικὴ λέξις ἐκκλησία καὶ ἡ ἐξ αὐτῆς λατινικὴ* ecclesia, *κατὰ τὴν ἑρμηνείαν τοῦ ἁγ. Κυρίλλου τοῦ Ἱεροσολύμων (κατηχ. διδασκ. ιη', ἀρ. 24), τοῦ ἁγ. Ἀθανασίου τοῦ μεγάλου (περὶ παραβολ. τῆς Γραφ. ἔρευν. λη'.) καὶ τοῦ μακαρίου Αὐγουστίνου* (Tom. III. pars 2, p. 673. Antwerp. 1700) *σημαίνει κλῆσιν εἴτε κοινότητα κεκλημένων· ἄρα λίαν ἐπιτυχῶς τῇ αὐτῆς συνάδει ἐννοίᾳ. "Ἐκκλησία καλεῖται φερωνύμως, λέγει ὁ ἅγ. Κύριλλος ὁ Ἱεροσολύμων ἐν τῷ μνημονευθέντι χωρίῳ, διὰ τὸ πάντας ἐκκαλεῖσθαι καὶ ὁμοῦ συνάγειν." Βλ. καὶ* Confess. Cath. et apost. in Oriente Eccles. per Metroph. Critopul. c. VII. p. 79, ed. Helmstad. *Καὶ ἐν μὲν τῇ ἁγίᾳ Γραφῇ ἡ λέξις ἐκκλησία δύο ἔχει σημασίας· συχνότατα μὲν καλεῖται κοινότης ἀνθρώπων (Πράξ. ι', 30, 39, 40.), τῷ συνδέσμῳ τῆς θρησκείας ἡνωμένη (Γαλ. α', 13. α'. Κορ. ιε', 9)· ἔστι δ' ὅτε αὐτὸς ὁ ναὸς τοῦ Θεοῦ, εἰς ὃν συνέρχονται οἱ πιστεύοντες πρὸς κοινὴν λατρείαν (α'. Κορ. ιδ', 34. Ἀποκ. ια', 1, 2· ιδ', 17). Κατὰ τὰς δύο ταύτας σημασίας ἐχρῶντο τῇ λέξει οἱ Πατέρες τῆς τε ἀνατολικῆς (Χρυσ. τόμ. ε'. σελ. 498, 127, 133 κτλ.* Venet. 1741) *καὶ τῆς δυτικῆς ἐκκλησίας (Αὐγουστ.* tom. VIII. pag. 385, 390. tom. III. par. 1, p. 386, 390), *ὥσπερ καὶ ἡμεῖς· κατὰ τὰς ἐννοίας ὅμως τοῦ κοινοῦ λαοῦ παρ' ἡμῖν Ἐκκλησία καλεῖται κατ' ἐξοχήν, καίτοι μὴ ἀποκλειστικῶς, ὁ ναὸς τοῦ Θεοῦ. (Ἐν Πράξ. ιθ. 30, κεῖται δῆμος, 39 καὶ 40 ἐκκλησία).*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ αὐτῷ συνδέσμῳ πρὸς ἄλληλα συνδεδεμένων. Ἄρα, εἰδικῶς, ἐὰν πρὸς ἡμᾶς αὐτοὺς μόνον στρέψωμεν, Θρησκεία μέν ἐστι διαθήκη τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν· Ἐκκλησία δὲ κοινότης ἀνθρώπων, τὴν αὐτὴν ἐχόντων θρησκείαν, καὶ δι' αὐτῆς πρὸς ἀλλήλους συνδεδεμένων· τοῦτο δὲ δηλοῖ, ὅτι α'. αὐτὸς ὁ σύνδεσμος εἴτε ἡ διαθήκη πρὸς τὸν Θεόν, θεωρούμενος μὲν ἐν τῷ ἀπ' ἀλλήλων χωρισμῷ τῶν ἠθικῶν ὄντων, τὴν θρησκείαν ἀποτελεῖ, ἐν δὲ τῷ συνόλῳ αὐτῶν, ὡς δεσμὸς πρὸς ἄλληλα, τὴν Ἐκκλησίαν σχηματίζει· β'. ἡ Ἐκκλησία ἤτοι ἡ κοινότης ἠθικῶν ὄντων, τὴν αὐτὴν τηρούντων θρησκείαν, οἷον εἰπεῖν, σῶμά ἐστιν· ἡ δὲ ταῦτα εἰς ἓν ὅλον συνδέουσα θρησκεία ψυχὴ τῆς Ἐκκλησίας ἐστίν, ὥστε ἡ θρησκεία καὶ ἡ Ἐκκλησία ἓν ἀχώριστον ὅλον ἀποτελοῦσι· γ'. ἡ θρησκεία οὐ δύναται ἄνευ Ἐκκλησίας εἶναι· διότι, κλῆρος ἁπάντων τῶν πνευματικῶν ὄντων οὖσα, φύσει εἰς μίαν ἠθικὴν αὐτὰ συνδέει κοινότητα· τοσούτῳ δὲ μᾶλλον οὐ δύναται ἡ Ἐκκλησία ἄνευ θρησκείας εἶναι, ἣν ἀναγκαίως ἑαυτῆς ὕπαρξιν ὑποτίθησιν.

Ἐκ τῆς καθόλου ταύτης Ἐννοίας περὶ τῆς ἐκκλησίας, ὡς κοινότητος, στενῶς τῇ θρησκείᾳ συνδεδεμένης, αὐθόριστοι γίνονται καί τινες εἰδικώτεραι περὶ αὐτῆς ἔννοιαι·

## §. 17. *Ἀρχὴ καὶ σύστασις τῆς Ἐκκλησίας.*

Ἱδρυτὴς τῆς Ἐκκλησίας ἠδύνατο εἶναι, ὡς καὶ ὄντως ἐστί, μόνος ὁ τρισυπόστατος Θεός, εὐδοκήσας πάντα τ' ἠθικὰ ὄντα εἰς διαθήκην πρὸς ἑαυτὸν καλέσαι, καὶ ἑνώσας αὐτὰ πρὸς ἄλληλα εἰς ἐκκλησιαστικὴν κοινότητα. Πρὸς δὲ ἐποίησε ταῦτα οὕτως, ὥστε ἐν ἀμοιβαίᾳ διάγειν κοινωνίᾳ, οὐκ ἀπ' ἀλλήλων κεχωρισμένα, ἡνωμέναις δὲ δυνάμεσιν ὁρμῶντα πρὸς πάντα τὰ τέλη τῆς αὐτῶν ὑπάρξεως· ἄρα καὶ πρὸς τὸ μέγιστον τέλος, τὸ ἐν τῇ θρησκείᾳ περιεχόμενον· Ἐὰν δὲ μνησθῶμεν, ὅτι εἰς τὴν πρὸς ἑαυτὸν διαθήκην ἐκάλεσεν ὁ Θεὸς τὰ ἠθικὰ ὄντα κατ' αὐτὴν τὴν πλάσιν, τοιαύτας αὐτοῖς παρασχὼν δυνάμεις καὶ χρείας, ὧν ἕνεκα φύσει πρὸς αὐτὸν τείνουσιν, ὡς τελευταῖον τέρμα τῆς ἑαυτῶν ὑπάρξεως, συνομολογήσομεν, ὅτι ἡ Ἐκκλησία ἐφάνη ἐν τῷ κόσμῳ ἅμα τῇ πλάσει τοῦ πνευματικοῦ κόσμου· ὅτι, εἰδικῶς, καὶ ἐπὶ τῆς γῆς ἡ Ἐκκλησία ἵδρυται ὑπ' αὐτοῦ τοῦ Ποιητοῦ κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν πλάσιν τῶν δύο πρώτων ἀνθρώπων, καὶ ἀρχεγόνως περιεκλείετο ἐν τῷ πρωτοπλάστῳ ζεύγει.

Πρὸς τὰ πνευματικὰ δὲ ὄντα στρέφοντες, ἐξ ὧν ἔδοξε τῷ Κυρίῳ τὴν αὐτοῦ ἐκκλησίαν σχηματίσαι, εὐκόλως τὴν αὐτῆς σύστασιν νοῆσαι δυνάμεθα. Ἀνήκειν τῇ ἐκκλησίᾳ καὶ μέλη εἶναι ἀναντιῤῥήτως ἅπαντα ταῦτα ὀφείλουσι. Καὶ τοῦτο ἀπαιτεῖ παρ' αὐτῶν ἡ τοῦ Θεοῦ, ὡς Δημιουργοῦ, θέλησις, δι' ἧς αὐτὰ κέκληνται καὶ εἰς τὸν πρὸς αὐτὸν καὶ τὸν πρὸς ἄλληλα σύνδεσμον εἴτε κοινωνίαν, ὡς καὶ αὐτὴ ἡ κατασκευὴ τῆς αὐτῶν φύσεως, τῆς αὐτῆς παρὰ πᾶσιν οὔσης· ἐντεῦθεν ἡ ἀκούσιος αὐτῶν πρὸς ἄλληλα συμπάθεια, ἡ τάσις πρὸς ἀμοιβαίαν ἀγάπην, πρὸς τὴν κοινότητα. Ἕνεκα δὲ τῆς φύσεώς εἰσι περιωρισμένα· ἐντεῦθεν φύσει ἐν ἑκάστῳ αὐτῶν ἡ συνείδησις τῆς ἐλλείψεως τῶν δυνάμεων, ἡ συνείδησις τῆς χρείας ἐν τῇ ἀμοιβαίᾳ συνεργείᾳ, ἄρα αὖθις τάσις πρὸς κοινότητα. Τῇ δὲ κατασκευῇ τῆς ἑαυτῶν φύσεως ἀλλήλοις ἀνόμοιά εἰσι, καὶ ἐν διαφόρῳ βαθμῷ παρεσκευασμένα ὑπὸ τοῦ Κυρίου κατὰ τὰς δυνάμεις καὶ τελειότητας, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον· τοῦτο δ' ἐστὶ νέα φυσικὴ πρὸς κοινωνίαν παρόρμησις, πρὸς ἀμοιβαίαν ἐπικουρίαν καὶ συνέργειαν. Αἱ εἰρημέναι παρορμήσεις βιάζουσι τὰ ἠθικὰ ὄντα εἰς κοινωνίας καθόλου ἑνοῦσθαι, ἐν αἷς ἂν δύνωνται ἐκπληροῦν τὰς φυσικὰς αὐτῶν ἀνάγκας· ἄρα καὶ εἰς κοινωνίαν πιστευόντων εἴτε ἐκκλησίαν ἑνοῦσθαι πρὸς ἐκπλήρωσιν τῆς πρωτίστης ἀνάγκης τῆς ἑαυτῶν φύσεως. Ἐννοεῖται δ' οἴκοθεν, ὅτι τὸ ὧδε εἰρημένον πρός τε τὰ πνευματικὰ καθόλου ἀνάγεται πνεύματα καὶ τοὺς ἀνθρώπους εἰδικῶς.

§. 18. *Τέλος τῆς Ἐκκλησίας καὶ μέσα διὰ τὸ τέλος.*

Εἰ ὁ Κύριος ἐν τῷ κόσμῳ καὶ ἐπὶ τῆς γῆς τὴν ἐκκλησίαν ἱδρύσατο, ἀδιστάκτως, ὡς Πάνσοφος, καὶ τὸ τέλος ὥρισεν αὐτῇ. Ἐκ γὰρ τῆς πρὸς τὴν θρησκείαν κοινωνίας τῆς ἐκκλησίας δῆλον, ὅτι τὸ τέλος ἐστὶν αὐτοῖς ταὐτόν· μόνον δὲ ἐν τῇ ἐκκλησίᾳ, ὡς κοινωνίᾳ, ὀφείλουσι τὰ μέλη πρὸς τὸν ἑαυτῶν προορισμὸν ὁρμᾶν οὐ καθ' ἕκαστον, ἀλλὰ σύμπαντα. Τὸ δὲ τέλος τῆς θρησκείας, ὥσπερ εἴρηται (§. 14), ἡ ἠθική ἐστιν ἕνωσις τῶν πνευματικῶν ὄντων πρὸς τὸν Θεόν, καὶ ἐντεῦθεν ἡ τοῦ Θεοῦ δόξα ἐν τοῖς λογικοῖς κτίσμασι

καὶ ἡ τούτων μακαριότης. Πρὸς τοῦτο δὴ τὸ μέγιστον τέλος ὀφείλει πάντα τὰ ἑαυτῆς μέλη ἡ ἐκκλησία ἀγαγεῖν. Πρὸς ἐπίτευξιν ὅμως τοῦ τέλους τῆς θρησκείας ἀπὸ τῶν πνευματικῶν ὄντων, ὡς εἴδομεν (§. 13), ἡ ἐκπλήρωσις ἀναγκαίων συνθηκῶν ἀπαιτεῖται· α'. ταῦτα ὀφείλουσιν εἰς τὸν Θεὸν πιστεύειν, εἰς τὸν Θεὸν ἐλπίζειν, τὸν Θεὸν ἀγαπᾶν· β'. εἰ σαρκὶ εἰσι περιβεβλημένα (οἷοι οἱ ἄνθρωποι), τὴν ἐσωτερικὴν αὐτῶν ἀποφαίνεσθαι εὐσέβειαν ἐν τῇ ἐξωτερικῇ· γ'. ἔργῳ τὴν ἑαυτῶν δεικνύειν πίστιν, ἐλπίδα, ἀγάπην ἐν αὐτῇ τῇ πράξει καὶ τῷ βίῳ. Ἄρα ἐκτὸς τοῦ κυριωτάτου τέλους ἐστὶν ἔτι τῇ ἐκκλησίᾳ τέλος, οὕτως εἰπεῖν, προοιμιῶδες καὶ μεσάζον ὡς πρὸς τὸ κυριώτατον, τόδε, παιδεύειν καὶ ἐνισχύειν ἐπὶ μᾶλλον τὰ ἑαυτῆς μέλη ἐν τῇ πίστει, ἐλπίδι, ἀγάπῃ, τελεῖν ὑπὲρ αὐτῶν καὶ σὺν αὐτοῖς τὴν ἐξωτερικὴν λατρείαν, καὶ παντοίως συνεργεῖν εἰς τὴν ἐπίδοσιν αὐτῶν ἐπὶ τὴν εὐσέβειαν.

Τὸ τέλος τοῦτο τῆς ἐκκλησίας ἀμέσως δεικνῦσι καὶ τὰ ἀναπόδραστα μέσα, οἷα δεῖ τῇ ἐκκλησίᾳ ἔχειν. Προσαγαγεῖν δὲ τὰ ἑαυτῆς μέλη πρὸς δοξολογίαν τοῦ Θεοῦ, πρὸς τὴν αὐτῷ ἑνότητα καὶ μακαριότητα, ὀφείλει αὕτη α'. τὴν ἀληθῆ εἰς τὸν Θεὸν διδάσκειν πίστιν, τὴν ἀληθῆ πρὸς αὐτὸν ἀγάπην καὶ τὴν ἀληθῆ εἰς αὐτὸν ἐλπίδα· ἄρα ἐν τῇ ἐκκλησίᾳ ἀναποδράστως ὑπάρχειν δεῖ τὴν διδασκαλίαν, ἐν ᾗ ἂν περιέχωνται αἱ τῆς πίστεως, ἐλπίδος, ἀγάπης ἀλήθειαι· β'. τελεῖν ὑπὲρ τῶν ἑαυτῆς μελῶν, ἐὰν ταῦτα σαρκὶ περιβεβλημένα ὦσι, τὴν ἐξωτερικὴν λατρείαν πρός τε ἔκφρασιν τῶν ἐσωτερικῶν αὐτῶν αἰσθημάτων πρὸς τὸν Θεόν, καὶ πρὸς πλείω αὐτῶν παραμυθίαν· ἄρα ἐν τῇ ἐκκλησίᾳ ὀφείλουσιν ἱεροτελεστίαι ὑπάρχειν· γ'. ὁδηγεῖν αὐτὰ εἰς στήριξιν καὶ ἐπίδοσιν εἰς τὴν εὐσέβειαν· ἄρα ἐν τῇ ἐκκλησίᾳ ἠθικὴ ὀφείλει ὑπάρχειν διοίκησις.

### §. 19. *Διάταξις τῆς ἐκκλησίας.*

Τὰ ἀπαριθμηθέντα μέσα καθ' ἑαυτὰ ἀνεπαρκῆ τῷ τέλει εἰσίν, ἀπαιτοῦνται γὰρ καὶ ζῶντα ἐν τῇ ἐκκλησίᾳ ὄργανα, ἃ εἰς κίνησιν ἂν ἄγωσι τὰ πρῶτα· τ. ε. ἀναγκαία ἐστὶν ἰδία τάξις ἀνθρώπων ἐκ τῶν μελῶν αὐτῆς, οἳ ἂν τούτοις πρὸς ἀγαθὸν ἑαυτῶν καὶ τῶν πλησίον χρῶνται. Ἡ δὲ ἀνάγκη τῆς τάξεως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταύτης ἀποκαλύπτεται ἐξ αὐτῆς τῆς οὐσίας του ἔργου. Εἰ πᾶσι τοῖς τῆς ἐκκλησίας μέλεσιν ἐδίδοτο διδάσκειν, κοινὰς τελεῖν ἱεροτελεστίας, καὶ τοὺς πλησίον ὁδηγεῖν εἰς τὸ στάδιον τοῦ εὐσεβοῦς βίου, προῆλθον ἂν ἀναποδράστως σύγκρουσις καὶ αταξία.... Ἐκτὸς δὲ τούτων τὸ καθῆκον τοῦ τελεῖν τὰς ἱεροπραξίας τῆς ἐκκλησίας, πᾶσι προσῆκον τοῖς μέλεσιν ἐξ ἴσου, ἀποκλειστικῶς ἂν οὐδενὶ προσῆκε· διὸ εἰς τὴν πορείαν αὐτῆς οὐκ ἂν ἦν ἴδιος ζῆλος καὶ ἐπίδοσις. Ὑπαρχούσης ὅμως πρωτευούσης ἱεραρχίας [41] ἐν τῇ ἐκκλησίᾳ, ἀφίστανται ἀμφότεραι αἱ δυσχέρειαι, καὶ πάντα γίνονται ἁρμονικῶς καὶ τακτικῶς. Καὶ οἱ μὲν ἐν αὐτῇ διδάσκουσιν, οἱ δὲ τὴν διδασκαλίαν ἀποδέχονται· οἱ μὲν τελοῦσι τὴν ἐξωτερικὴν ἱεροτελεστίαν, οἱ δὲ ἀπολαύουσιν αὐτῆς· οἱ μὲν ἄρχουσιν, οἱ δὲ ὑπείκουσι. Καὶ τὰ μέλη τῆς ἱεραρχίας αἰσθανόμενα, ὅτι ἐπ' αὐτῶν ἰδίως ἱερὰ ἐκκλησιαστικὰ καθήκοντα ἐπίκειται, ἐπινοοῦσι πάσας τὰς παρορμήσεις μετὰ μεγάλου ζήλου ἐν τῇ αὐτῶν κλήσει ἀγωνίζεσθαι. Ὅθεν, ὁμοίως πάσῃ εὖ διατεθειμένῃ κοινωνίᾳ, ὀφείλει ἡ ἐκκλησία διὰ τὴν προσήκουσαν τάξιν καὶ ῥάστην τοῦ ἑαυτῆς τέλους ἐπιτυχίαν δύο κλάσεις μελῶν ἔχειν, τὴν μὲν ἱεραρχικήν, τῶν ἄλλων ἐπιμέλεσθαι μελῶν ὀφείλουσαν καὶ πᾶσι χρῆσθαι εἰς προσαγωγὴν αὐτῶν πρὸς τὸ τέλος· τὴν δὲ ὑποτελῆ, ὑπείκειν ταύτῃ ὑπόχρεων οὖσαν [42].

Τούτοις ὅμως οὐ πᾶσα ἡ τῆς ἐκκλησίας διάταξις περιορίζεται. Ἐπεὶ δ' ἐκκλησία κοινωνία ἐστὶν ὄντων πνευματικῶν, ἐν συνδέσμῳ καὶ πρὸς ἄλληλα καὶ πρὸς τὸν Θεὸν ὄντων. Ἄρα ἐκτὸς τῶν ἱεραρχῶν ἔχει ἐφ' ἑαυτῆς καὶ ἕνα ὑπέρτατον Δεσπότην, ὃν δικαίως ἄν τις καλέσῃ καὶ βασιλέα αὐτῆς καὶ κεφαλήν. Βασιλέα μέν· αὐτὸς γὰρ ὁ Κύριός ἐστι καὶ ὑπέρτατος νομοθέτης τῆς βασιλείας ταύτης, ἠθικοὺς ἐγχαράξας νόμους ἐν τῇ συνειδήσει τῶν μελῶν αὐτῆς, καί, ἀναγκαίου ὄντος, ἀξιῶν αὐτὰ τῶν ἰδίων αὐτοῦ ἀποκαλύψεων· αὐτὸς καὶ ὑπέρτατος ἄρχων, ἀμέσως καὶ

---

41 Βλ. ἱεραρχία in Thesaur. Eccles. Suicer.

42 Καὶ τοῖς ἀγγέλοις ἔστιν ἱεραρχία. Καὶ οἱ μὲν πρὸς τὴν τῷ Θεῷ ἕνωσιν ὁδηγοῦσιν, οἱ δὲ ὁδηγοῦνται.... Ἀκριβῶς περὶ τούτου βλ. ἐν τῷ περὶ οὐρανίου ἱεραρχίας βιβλίῳ τοῦ Ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τῆς ἱεραρχίας ἐνεργῶν· αὐτὸς ὑπέρτατος κριτής, ἀποδιδοὺς ἢ ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα. Κεφαλὴν δέ· καλέσας γὰρ τὰ πνευματικὰ ὄντα, τὰ τὴν ἐκκλησίαν ἀποτελοῦντα, εἰς ἄμεσον διαθήκην καὶ κοινωνίαν πρὸς ἑαυτόν, συνήνωσεν αὐτὰ ἑαυτῷ καὶ ὑφ' ἑαυτόν, πάντα ἐμπίπλησι τῶν αὐτῶν τῆς χάριτος δυνάμεων, ἐξ αὐτοῦ πηγαζουσῶν, καὶ οὕτω ζωοποιεῖ καὶ ἐνισχύει πᾶν τὸ τῆς ἐκκλησίας πλήρωμα.

§. 20. *Διαίρεσις τῆς ἐπιγείου ἐκκλησίας.*

Ὡς ἐν τῷ ἀνθρωπίνῳ γένει ἡ ὑπερκειμένη θρησκεία διαιρεῖται, οὕτω καὶ ἡ ἐκκλησία. Ἦν ἐπὶ τῆς γῆς πρωτόγονος θρησκεία μέχρι τῆς πτώσεως τῶν προπατόρων· ἦν τότε καὶ πρωτόγονος ἐκκλησία, τὸ πρωτόπλαστον περιέχουσα ζεῦγος. Καὶ ἤδη μετὰ τὴν πτῶσιν ὑπάρχουσιν ἐν τοῖς ἀνθρώποις ἀληθὴς θρησκεία, ἀποκεκαλυμμένη ὑπ' αὐτοῦ τοῦ Θεοῦ ὑπερφυσικῶς, καὶ θρησκεῖαι ψευδεῖς. Οὕτως ὑπάρχουσιν ἤδη καὶ ἐκκλησίαι ἐπὶ γῆς, ἀληθής, ὑπὸ τοῦ Θεοῦ ἱδρυθεῖσα, καὶ ψευδεῖς[13].

## Κεφάλαιον Β'.

## Περὶ ἀποκαλύψεως.

§. 21. *Ὁρισμὸς τῆς ὑποθέσεως.*

Τὴν καθόλου περὶ θρησκείας ἔννοιαν ἀνεπτύξαμεν, ὅσον ἡμῖν ἀναγκαῖον ἔδοξε πρὸς ἐνίσχυσιν καὶ σαφήνειαν τῆς εἰδικῆς περὶ τῆς χριστιανικῆς θρησκείας ἐννοίας. Οὕτω δεῖ καὶ νῦν ἀναπτύξαι γενικῶς τὴν ἔννοιαν περὶ ἀποκαλύψεως τοσούτῳ μόνον, ὅσῳ δύναται αὕτη συνεργῆσαι πρὸς ὑποστήριξιν εἴτε σαφήνειαν τῆς χριστιανικῆς ἀποκαλύψεως. Τοῦτο δὲ δεικνῦσιν ἡμῖν αὐτοὶ οἱ ἀντίπαλοι τῆς ὑπερφυσικῆς ἀποκαλύψεως (ὑλισταὶ καὶ λο-

[13] Ὡς ἐν τῇ στενωτέρᾳ σημασίᾳ θρησκεία μόνη ἡ ἀληθὴς κληθῆναι δύναται, τ. ε. ἡ χριστιανική, μόνη γὰρ πάσας τὰς τῆς θρησκείας ἰδιότητας ἔχει, καὶ ὄντως συνενοῖ τῷ Θεῷ τὸν ἄνθρωπον· οὕτω καὶ ἐκκλησία ἀξία ἐστὶ κληθῆναι μόνη ἡ ἀληθής, τ. ε. ἡ χριστιανική. Ἐν τῇ πλατυτέρᾳ ὅμως σημασίᾳ αἱ ὀνομασίαι αὗται ἀποδίδονται καὶ ταῖς ψευδέσι θρησκείαις καὶ ταῖς τῶν πιστευόντων κοινωνίαις. Διὸ καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς ᾠδαῖς ἀπαντᾶται ἡ ἔκφρασις, ἐθνικὴ ἐκκλησία, καίτοι ἄκαρπος καλεῖται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γισται), οἱ μὲν λέγοντες, ὅτι ὑπερφυσικὴ ἀποκάλυψις ἀδύνατός ἐστιν· οἱ δέ, ὅτι αὕτη περιττή, ἐὰν ἀποδεχθῶμεν αὐτὴν καὶ ἀναγκαίαν· οἱ δέ, ὅτι οὐκ εἰσι μέσα διαγνῶναι τοιαύτην ἀποκάλυψιν ἐν ταῖς ψευδέσιν ἀποκαλύψεσιν, εἰ ὄντως δέδοται ὑπὸ τοῦ Θεοῦ· ὧν ἕνεκα διατιθεῖσιν ἡμᾶς τοὐναντίον ἀποδεῖξαι, ὅτι ἡ θεία ἀποκάλυψις καὶ δυνατή ἐστι καὶ ἀναγκαία, καὶ ῥαδίως διαγνωστέα, ἕνεκα τῶν οὐσιωδῶν αὐτῆς χαρακτηριστικῶν, τῶν ψευδῶν ἀποκαλύψεων. Μὴ προλύσαντες δὲ τὰς ἐρωτήσεις ταύτας, ἀδιστάκτως οὔτε βασίμως ἠδυνάμεθα στηρίξαι τὴν περὶ τῆς χριστιανικῆς θρησκείας ἔννοιαν, οὔτε ἀρκούντως ἀναπτύξαι. Λύσαντες ὅμως αὐτάς, ὁμολογήσομεν τὸ δυνατόν, νοήσομεν τὴν ἀνάγκην, ὀψόμεθα τὰ διακριτικὰ τῆς ἀληθοῦς θείας ἀποκαλύψεως γνωρίσματα· ἡμῖν δὲ λείπεται μόνον τῷ Χριστιανισμῷ ἐφαρμόσαι αὐτὰ πρὸς μαρτυρίαν τῆς ἀδιστάκτου ἀξιοπιστίας τῆς ἐκ τοῦ Θεοῦ ἀρχῆς αὐτοῦ.

## I.

## Τὸ Δυνατὸν τῆς ἀποκαλύψεως.

### §. 22. *Ἔννοια περὶ τῆς ἀποκαλύψεως καὶ πῶς τὸ αὐτῆς δυνατὸν θεωρητέον.*

*Ἀποκάλυψιν* (Κολ. α', 26, 27· παράβ. Ῥωμ. α', 17—19) νοοῦμεν τὴν ὑπερφυσικὴν παρὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ μετάδοσιν ἀληθειῶν τινων τῆς θρησκείας. Ὅθεν τὸ δυνατὸν τῆς ἀποκαλύψεως τριχῶς θεωρητέον, α', ἀπὸ τοῦ Θεοῦ, τοῦ τὴν ἀποκάλυψιν μεταδιδόντος, ἀπὸ τοῦ ἀνθρώπου, τοῦ ἀποδεχομένου αὐτήν, καὶ ἀπὸ τῶν ὑπὸ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ ἀποκαλυπτομένων ἀληθειῶν.

### §. 23. *Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπὸ τοῦ Θεοῦ.*

Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπὸ τοῦ Θεοῦ ἀδίστακτον εἶναι δεῖ. Ἵνα ὁ Θεὸς μεταδῷ τῷ ἀνθρώπῳ τὴν ἀποκάλυψιν, ἀνάγκη αὐτῷ γινώσκειν, τί καὶ πῶς μεταδοῦναι. Ἀλλ' ὁ Θεὸς ὢν ἐστι πάντα εἰδός· γινώσκει πάντα, γινώσκει πάσας τὰς ἡμῶν ἀνάγκας καὶ τὰς μυστικωτάτας, ἢ κάλλιον, ἡμᾶς αὐτούς· γινώσκει, τί δυνάμεθα ἐπινοεῖν ταῖς ἡμῖν παρ' αὐτοῦ

δωρηθείσαις φυσικαῖς δυνάμεσι, καὶ ἐν τίνι ἀναγκαία ἡμῖν ἡ ὑφερφυσικὴ βοήθεια. Ὁ Θεὸς Ὂν ἐστι παντοδύναμον καὶ πάνσοφον, ᾧ ἐντελῶς ὑποτεταγμένα εἰσὶ πάντα τὰ ὑπ' αὐτοῦ δημιουργηθέντα καὶ διατηρούμενα, ὁ ὑλικὸς τ. ε. καὶ ὁ ἄϋλος κόσμος· διὸ ἀεὶ ἄπειρα ἔχει ἐν τῇ διαθέσει αὐτοῦ μέσα πρὸς ἐπίτευξιν τῶν σκοπῶν αὐτοῦ. Ὥςπερ γὰρ τοῦ ἀΰλου κόσμου βασιλεὺς καὶ ἁγνότατον πνεῦμα, ἀμέσως δύναται ἐπὶ τὴν ψυχὴν ἡμῶν ἐνεργεῖν, ἄγειν αὐτὴν εἰς ὑπερφυσικὴν ἀγαλίασιν, πληροῦν τὸν νοῦν αὐτῆς ἀήθους φωτός, ἀποκαλύπτειν πρὸ αὐτῆς νέα ἀντικείμενα, ἢ πρὸς αὐτὴν ὁμιλεῖν ἐν ὀνείροις κτλ.[44], ὡς τοῦτο γνωστὸν ἐκ τῆς ἱστορίας τῶν ἁγίων Προφητῶν καὶ Ἀποστόλων. Ὡς ἀπόλυτος δὲ Δεσπότης τοῦ ὑλικοῦ κόσμου δύναται ἐπὶ τὴν ψυχὴν ἐνεργεῖν δι' ὑλικῶν βοηθείᾳ τῶν ἐξωτερικῶν ἡμῶν αἰσθήσεων· δύναται, π. χ. πρὸς καιρὸν μορφὴν ἀνθρώπου προσλαμβάνειν καὶ δικαίῳ τινὶ φανεροῦσθαι, ἵνα αὐτῷ μεταδῷ τὰς ἑαυτοῦ ἀποκαλύψεις, ὥσπερ ἐφανερώθη τῷ πατρὶ τῶν πιστευόντων Ἀβραάμ. πρὸςδὲ καὶ ἐν ἄλλαις αἰσθηταῖς μορφαῖς φανεροῦσθαι, ὥσπερ τῷ Μωϋσῇ ἐν τῇ ἐρήμῳ καὶ ἐπὶ τοῦ Σιναίου ὄρους, δοὺς τοῖς Ἰσραηλίταις τὸν νόμον. Καὶ τὰ ἄλλα τοῦ Θεοῦ ἰδιώματα οὐδόλως ἀντιλέγουσι τούτῳ τῷ δυνατῷ. Ὁ Θεὸς ἄπειρός ἐστι καὶ αἰώνιος· ἄπειρος μὲν οὐκ ἐν τῷ ὑλικῷ νῷ τῆς ἐκτάσεως, ἀλλ' ἄπειρος, ὥσπερ πνεῦμα, ὅς, πάντα πληρῶν, εὑρίσκεται πᾶς ἐν παντὶ τόπῳ· αἰώνιος δὲ οὐκ ἐν τῷ νῷ τοῦ ἀπείρου τῆς ἐκτάσεως χρόνου, ἀλλ' ἐν τῷ νῷ τοῦ ἀχρόνου, οὗ ἕνεκα οὔτε παρελθὸν οὔτε μέλλον ἐστὶν αὐτῷ, πᾶν δὲ ἐνεστώς. Ὅθεν, καίτοι ἀόριστος εἴτε ἄπειρος καὶ αἰώνιος, ἀμέσως διοικεῖ τὸν κόσμον, καὶ φέρει ἐν αὐτῷ τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ (Ἑβρ. α', 3), τ. ε. ἐνεργεῖ ἐν τῇ ἐκτάσει καὶ τῷ χρόνῳ· Διὸ δύναται, διατηρῶν τὸ ἀόριστον καὶ τὴν αἰωνιότητα, ἀμέσως καὶ τὰς ἑαυτοῦ ἀποκαλύψεις τῷ ἀνθρώπῳ μεταδιδόναι ἐν ὡρισμένῳ διαστήματι καὶ χρόνῳ. Ὁ Θεὸς ἀπείρως ἐστὶ δίκαιος καὶ ἀγαθός. Λέγοντες ὅμως, ὁ Θεὸς δύναται τὴν ὑπερφυσικὴν αὐτοῦ ἀποκάλυψιν τοῖς ἀνθρώποις

---

[44] Βλ. ἁγ. Βασιλ. τοῦ μεγ. προοιμ. εἰς τὴν πρὸς τὸν προφ. Ἡσ. ἑρ ην. καὶ εἰς κεφ. α'. Ἡσ. ἑρμην.

μεταδιδόναι, ὑποτίθεμεν ἐν τῷ ἀνθρώπῳ ἄκραν ἀνάγκην τῆς ἀποκαλύψεως· ἄρα ἐνταῦθα δὴ καὶ τὸ στάδιον τῆς θείας χάριτος καὶ δικαιοσύνης, αἵ τινες ἀρνηθῆναι οὐ δύνανται τῷ βοηθείας δεομένῳ. Ὁ Θεός ἐστιν αὐτὴ ἡ ὑψίστη ἁγιότης καὶ ἀγαθότης· ἡ δὲ ἀποκάλυψις προσδοκᾶται ὑπὸ τοῦ ἀνθρώπου ἀπ' αὐτοῦ πρὸς μόνους ἠθικοὺς σκοπούς· ἐστὶν αὐτὴ ἡ ὑψίστη ἀλήθεια, ᾗ ἀφόρητόν ἐστι πᾶν ψεῦδος, πᾶσα πλάνη· τὴν δ' ἀποκάλυψιν προσδοκᾷ ἀπ' αὐτοῦ ὁ ἄνθρωπος κυρίως πρὸς διόρθωσιν τῶν ἐν τῇ θρησκείᾳ πλανῶν αὐτοῦ.

§. 24. *Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπὸ τοῦ ἀνθρώπου.*

Οὐχ ἦτον δὲ δυνατὴ ἡ ἀποκάλυψις ἀπὸ τοῦ ἀνθρώπου, ὅς καθόλου ἱκανός ἐστιν ἔξωθεν προσλαμβάνειν τὰς αὐτῷ ὑπ' ἄλλων μεταδιδομένας ἀληθείας· διὰ τί δὲ οὐ δύναται παρὰ μόνου τοῦ Θεοῦ αὐτὰς προσλαμβάνειν; Ὥσπερ γὰρ πολίτης τοῦ ὑλικοῦ καὶ ἀΰλου κόσμου, κατὰ τὴν σύστασιν τῆς αὐτοῦ οὐσίας, φύσει ἔχει ἐν ἑαυτῷ τὰς δυνάμεις πρὸς παραδοχὴν τῶν ἐντυπώσεων ἀμφοτέρων τῶν κόσμων· ὅθεν ἐπίσης οἰκειώσασθαι δύναται ἀποκαλύψεις, τῇ ψυχῇ αὐτοῦ μεταδοθησομένας ἀμέσως καὶ ἐμμέσως διά τινων αἰσθητῶν σημείων. Νέαι δὲ ὑπερφυσικαὶ δυνάμεις πρὸς πρόσληψιν τῆς ὑπερφυσικῆς ἀποκαλύψεως οὐκ ἀναγκαῖαι· ἀρκεῖ δὲ μόνον, ἐὰν αἱ φυσικαὶ αὐτοῦ δυνάμεις ὑπὸ τοῦ Θεοῦ διεγερθῶσιν ἰδίως, καὶ ἐὰν ὁ Θεός, ὡς ἀπείρως σοφός, ἀλλοιώσῃ τὸν τῆς ἑαυτοῦ ἀποκαλύψεως τρόπον κατὰ τὴν φυσικὴν τοῦ ἀνθρώπου ἰδιότητα τοῦ προσλαμβάνειν γνώσεις· ἀλλ' ὁ Θεὸς βέβαια ἀεὶ ἐπινοήσει πρὸς τοῦτο τὸ δυνατόν. Δυσκολίαν δ' εὑρίσκουσιν ἐν τούτῳ, πῶς ὁ ἄνθρωπος διαγνώσεται τὴν θείαν ἀποκάλυψιν καὶ πεισθήσεται, ὅτι αὐτὴ ὄντως ἀληθής ἐστι, καὶ οὐ πλάνη τῶν αἰσθήσεων αὐτοῦ, ἢ τῆς φαντασίας ἢ αὐταπάτης. Μνηστέον ὅμως, ὅτι κατὰ τὴν τῆς ἀποκαλύψεως μετάδοσιν αὐτὸς ἐνεργεῖ ὁ Θεός· ἐὰν δὲ ὁ Θεὸς πάντως θελήσῃ ἀλήθειάν τινα τῷ ἀνθρώπῳ μεταδοῦναι ἤτοι πρὸς ἴδιον αὐτοῦ ἠθικὸν ὄφελος, ἤτοι πολλῶν, εὑρήσει μέσα τοῦ ἐκλεχθέντος ἐπιτυχεῖν τέλους, καὶ χρήσασθαι σημείοις, καθ' ἃ ὁ ἄνθρωπος ἀπροσπταίστως τὴν θείαν διαγνώσεται ἀποκάλυψιν, καὶ πεισθήσεται εἰς τὴν ἀρχὴν αὐτῆς, ὥσπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γνωστόν ἐστιν ἐκ τοῦ παραδείγματος τοῦ Μωϋσέως καὶ τῶν ἄλλων θείων ἀποστόλων. Καὶ ἐν μὲν ταῖς πλασταῖς καὶ ψευδέσιν ἀποκαλύψεσι δυναταί εἰσιν αἱ ἀπάται, ὡς καὶ ὑπάρχουσι συχνῶς, ἐν δὲ τῇ ἀληθεῖ οὐδέποτε· ἐνεργῶν γὰρ ἐν ταύτῃ ἐστὶν ὁ ἀπείρως σοφός. Καὶ οἱ μὲν παρ᾽ αὐτοῦ ἐκλεχθέντες πρὸς μετάδοσιν αὐτοῖς ἀληθειῶν ἀπατηθῆναι ἠδύναντο, αὐτὸς δὲ οὐκ ἐᾷ αὐτούς· ἄλλως μὴ ἂν αὐτοὺς ἐξελέξατο, ἀλλ᾽ ἄλλους ἱκανωτέρους. Πῶς δὲ ἡμεῖς διαγνῶναι δυνάμεθα τὸν ἀληθῆ τοῦ Θεοῦ Ἀπόστολον, ὄντως καταξιωθέντα θείας ἀποκαλύψεως, καὶ διακρῖναι τοῦ ἀπατηθέντος ἀφ᾽ ἑαυτοῦ ἢ τοῦ ἐκ προαιρέσεως ἀπατεῶνος, κατωτέρω ῥηθήσεται [45].

§. 25. *Τὸ δυνατὸν τῆς ἀποκαλύψεως ἀπ᾽ αὐτῶν τῶν ἀληθειῶν τῆς ἀποκαλύψεως.*

Αἱ τῆς ἀποκαλύψεως ἀλήθειαι δύνανται ἤτοι καταληπταὶ ὑπὸ τοῦ ἀνθρωπίνου νοὸς ἢ ἀκατάληπτοι εἶναι· τ. ε. τοιαῦται, ἐν αἷς ὁ νοῦς, καίτοι τὸ ὑπ᾽ αὐτῶν ἐκφραζόμενον κατανοεῖ, οὐ κατανοεῖ ὅμως καὶ οὐ δύναται ἑαυτῷ σαφηνίσαι τὴν ἀμοιβαίαν κοινωνίαν μεταξὺ ὑποκειμένου καὶ κατηγορουμένου, αἵ τινες γνωσταί εἰσιν ὑπὸ τὸ ὄνομα *μυστήρια*. Καὶ τῶν μὲν καταληπτῶν ἀληθειῶν τὸ δυνατὸν ἀναμφισβήτητόν ἐστι, τὸ δὲ τῶν ἀκαταλήπτων οὐκ ὀρθῶς ἀποβάλλουσιν οἱ ὑλισταί.

Τὰ μυστήρια δυνατά ἐστιν ἐν τῇ ἀποκαλύψει κατ᾽ αὐτὴν τὴν ὑπόθεσιν αὐτῆς. Ὑπόθεσις δὲ τῆς ἀποκαλύψεως ἡ θρησκεία ἐστίν, εἴτε ἡ διαθήκη μεταξὺ Θεοῦ καὶ ἀνθρώπου. Ἄρα αἱ τῆς ἀποκαλύψεως ἀλήθειαι ὀφείλουσι τοῦ Θεοῦ ἐφάπτεσθαι σὺν τοῖς ὑψίστοις αὐτοῦ ἰδιώμασι καὶ ἀπείροις τελειότησι, σὺν τῇ κοινωνίᾳ αὐτοῦ πρὸς τὸν κόσμον καὶ τὸν ἄνθρωπον· τοῦ ἀνθρώπου ἐν αὐτῇ τῇ οὐσίᾳ αὐτοῦ σὺν τῇ ἐνεστώσῃ, παρελθούσῃ καὶ μελλούσῃ τύχῃ αὐτοῦ· καὶ τῆς ἀοράτου, ἐσωτερικῆς, ἀμέσου κοινωνίας καὶ ἑνώσεως μεταξὺ τοῦ Θεοῦ καὶ τοῦ πνεύματος τοῦ ἀνθρώπου. Τίς δὲ ἐρεῖ, ὅτι ἐν πᾶσι τούτοις οὐ δύναται ἡμῖν

---

[45] Ἐν τῷ ἄρθρ. Περὶ τῶν γνωρισμάτων τῆς ἀποκαλύψεως. §. 36—44.

*εἶναι πολὺ καὶ σφόδρα πολὺ ἐντελῶς ἀκατάληπτον; Ἐκ τῆς κρίσεως τῶν εἰρημένων τῆς θρησκείας ὑποθέσεων δῆλον, ὅτι εἰσὶ μυστήρια καὶ ἐν τῇ φυσικῇ θρησκείᾳ· ἐν αὐτῇ γὰρ ὀφείλομεν μόνῳ τῷ νῷ ἡμῶν ἄγεσθαι· οὐδεὶς δὲ ὑγιαίνων νοῦς καυχηθήσεται, ὅτι ἔγνω, ἐν στενωτέρᾳ σημασίᾳ, τὸν Θεόν, τὸ ἀκατάληπτον τοῦτο ὄν· ἢ ὅλον ἔγνω τὸν ἄνθρωπον ἐν τῇ θαυμασίᾳ αὐτοῦ κατασκευῇ καὶ τῇ μυστηριώδει αὐτοῦ τύχῃ*[46]. *Ἐπὶ τίνι οὖν βάσει ἐν τῇ ἀποκαλύψει ἀποβάλλειν τὸ δυνατὸν τοῦ ἐν τῇ φυσικῇ θρησκείᾳ ὄντως ὑπάρχοντος; Ἄρα τὰ μυστήρια ἐν τῇ ἀποκαλύψει οὐ μόνον δυνατά, ἀλλὰ καὶ ἀναγκαῖα.*

*Τὰ μυστήρια δυνατά εἰσιν ἐν τῇ ἀποκαλύψει καὶ ἀπὸ τοῦ Θεοῦ, τοῦ αἰτίου τῆς ἀποκαλύψεως. Ὅτι ὁ Θεὸς ἐν τῷ ἀπείρῳ αὐτοῦ νῷ ἔχει ἀληθείας ἀκαταλήπτους ἐντελῶς τῷ πεπερασμένῳ ἡμῶν νῷ, καὶ ὅτι ἅπαντα ἔχει τὰ μέσα ἀναγγεῖλαι ἡμῖν αὐτάς, ἐὰν βούληται, περιττόν ἐστι καὶ μνησθῆναι. Σημειωτέον ὅμως, ὅτι ἡ τῶν μυστηρίων ὕπαρξις ἐν τῇ ἀποκαλύψει συνᾴδουσα φαίνεται αὐτῇ τῇ θείᾳ πανσοφίᾳ, ἣ μόνη ἐκ πάντων τῶν θείων ἰδιωμάτων τὰ μυστήρια ταῦτα φαινομένως ἀντιλέγουσι. Τὸ δὲ κυριώτατόν τέλος τῆς ὑπερφυσικῆς ἀποκαλύψεώς ἐστι τὴν περὶ τὴν θρησκείαν τοῦ ἀνθρώπου ἀμάθειαν βοηθῆσαι, εἴτε ἐκ μόνου τοῦ πεπερασμένου τῆς ἀνθρωπίνης φύσεως προερχομένην, εἴτε καὶ ἐκ τῆς διαφθορᾶς· κατὰ τοῦτο, φανείη ἄν, οὐκ ἔδει ἐν τῇ ἀποκαλύψει μυστήρια εἶναι. Ἀλλ' ἕκαστον μυστήριον διμερές ἐστι, σκοτεινόν, τῷ ἡμετέρῳ νοῒ ἀκατάληπτον, καὶ φωτεινόν, εὔληπτον. Ἐκφράζει γὰρ ἕκαστον ὡρισμένην ἔννοιαν, ὡρισμένην ἀλήθειαν, ἧς τὸ περιεχόμενον ἐντελῶς σαφὲς τῷ νοῒ εἶναι δύναται, καίτοι τὸ ἐσωτερικὸν δυνατὸν ἀκατάληπτον μένειν. Ἄρα ἕκαστον, ὥςπερ ὡρισμένη ἔννοια, εὐκόλως ὑπὸ τοῦ νοῦ προσληφθῆναι δύναται εἰς τὰς ἄλλας αὐτοῦ ἐννοίας, καὶ φωτεινὸν τῷ περιεχομένῳ ὄν, φύσει δύναται τὸ ἑαυτοῦ φῶς ταῖς ἄλλαις τοῦ ἀνθρώπου ἐννοίαις μεταδιδόναι, καὶ τὴν ἀμάθειαν αὐτοῦ*

---

[46] *Ἄριστα διασκέπτεται περὶ τοῦ ἀκαταλήπτου καὶ τῆς τοῦ Θεοῦ οὐσίας καὶ τῆς τοῦ ἀνθρώπου καὶ τῶν ἄλλων θείων κτισμάτων ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος ἐν τῷ β'. λόγ. περὶ Θεολογίας.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βοηθῆσαι. Οὕτω (λαμβάνομεν παράδειγμα ἐκ τῆς ἀληθοῦς ἀποκαλύψεως) τὸ μὲν μυστήριον τῆς πτώσεως, τὸ ὑπὸ τοῦ Χριστιανισμοῦ κηρυττόμενον, ἐκφράζει ταύτην τὴν σαφῆ ἔννοιαν, ὅτι ὁ ἄνθρωπος, καθαρὸς καὶ ἀθῶος πλασθείς, παρέβη ποτὲ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ οὕτως εἰσεδέξατο ἐν ἑαυτῷ τὸν ἰὸν τῆς ἁμαρτίας, ὅς, πᾶσαν τὴν αὐτοῦ μολύνας φύσιν, διεδόθη εἶτα διαδοχικῶς, ὡς ἀναπόδραστον κακόν, ἀπὸ τῶν πεσόντων προπατόρων καὶ ἐπὶ πάντας τοὺς αὐτῶν ἀπογόνους, ἐπὶ πᾶν τὸ ἀνθρώπινον γένος· τὸ δὲ τῆς ἐνσαρκώσεως μυστήριον ἐκφράζει τὴν ἐναργῆ ταύτην ἀλήθειαν, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ, οὐ παύων εἶναι Θεός, ηὐδόκησεν ἄνθρωπος γενέσθαι, καὶ ἐν τῷ ἑνὶ αὐτοῦ Προσώπῳ τὰς δύο ἑνῶσαι φύσεις τήν τε θείαν καὶ ἀνθρωπίνην· τὸ δὲ τῆς ἐξαγορᾶς μυστήριον ταύτην τὴν ὡρισμένην κηρύσσει ἀλήθειαν, ὅτι ὁ ἐνσαρκωθεὶς υἱὸς τοῦ Θεοῦ ἀπέθανε διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπὶ τοῦ σταυροῦ, ἵνα ὑπὲρ ἡμῶν τὴν θείαν δικαιοσύνην ἐξιλεώσῃ, καὶ κατεργάσηται ὑπὲρ ἡμῶν πάντα τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν (β'. Πέτρ. α', 3)· τὸ δὲ τῆς ἀναγεννήσεως καὶ τοῦ ἁγιασμοῦ ταύτην, ὅτι ἁγνισθῆναι δυνάμεθα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ εἰς τὰς ἀρετὰς ἐπιδοῦναι μόνῃ τῇ ἀρωγῇ τῆς θείας χάριτος τοῦ ἁγίου Πνεύματος, κτλ. Αἱ ἔννοιαι αὗται κατὰ τὸ περιεχόμενον ἀναντιῤῥήτως καταληπταί εἰσι τῷ νῷ ἡμῶν, καίτοι οὐ κατανοοῦμεν, πῶς ὁ τῆς ἁμαρτίας ἰὸς ἠδύνατο πᾶσαν τὴν τοῦ ἀνθρώπου φύσιν διαφθεῖραι, καὶ πᾶν τὸ ἀνθρώπινον γένος μολύναι· πῶς ὁ Θεὸς ἄνθρωπος ἐγένετο, πῶς ὁ τοῦ Λυτρωτοῦ θάνατος λυτρῶσαι ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας τῆς κατάρας καὶ τοῦ θανάτου ἠδύνατο, καὶ πῶς τὸ ἅγιον Πνεῦμα ἀναγεννᾷ καὶ ἀνακαινίζει ἡμᾶς τῇ ἑαυτοῦ Χάριτι. Ἀλλ' ἐκτὸς ὅτι αἱ ἔννοιαι αὗται καθ' ἑαυτὰς καταληπταί εἰσι, λίαν πολὺ ἡμῖν ἑρμηνεύουσιν ἐν ἡμῖν αὐτοῖς καὶ πᾶσι τοῖς ἡμᾶς περικυκλοῦσιν· ἀκριβῶς γὰρ ἐκφράζουσιν ἡμῖν τι, ὅπερ οὐ πρὶν ἐγινώσκομεν, καὶ λύουσιν ἡμῖν σοβαρὰ τοῦ βίου ζητήματα. Ἄνευ τοῦ μυστηρίου τῆς πτώσεως οὐδέποτ' ἂν κατενοοῦμεν, πόθεν τὸ ἐν τῷ κόσμῳ ἠθικὸν καὶ φυσικὸν κακόν, διὰ τί ὁ τοῦ ἀνθρώπου βίος δυστυχὴς καὶ ἀξιολύπητος ἐπὶ τῆς γῆς ἐστι, καὶ ἅπασα ἡ περὶ αὐτοῦ ἱστορία παρίστησι σειρὰν πλανῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σχεδὸν καὶ ἁμαρτημάτων παντοδαπῶν· ἄνευ τῶν μυστηρίων τῆς ἐνσαρκώσεως, ἀπολυτρώσεως καὶ τοῦ ἁγνισμοῦ οὐκ ἂν κατεπραΰνομεν τὴν δυστυχῆ ταύτην τάξιν τῶν πραγμάτων ἐν ἡμῖν καὶ περὶ ἡμᾶς τῇ ἐννοίᾳ περὶ τοῦ τελειοτάτου Δημιουργοῦ τοῦ κόσμου καὶ τῆς αὐτοῦ προνοίας· οὐδέποτ᾽ ἂν ἡρμηνεύσαμεν, τίς ὁ σκοπὸς τῆς ἐπὶ τῆς γῆς ὑπάρξεως ἡμῶν ἐν τοσούτοις κακοῖς καὶ δυστυχήμασι, καὶ οὐκ ἦν κάλλιον, εἰ μὴ εἰς τὸν κόσμον ἐφαινόμεθα κτλ. Προσθετέον δέ, ὅτι ὁ τῆς ἀποκαλύψεως σκοπὸς οὐ μόνον τὴν τοῦ ανθρώπου ἐπικουρῆσαι ἄγνοιαν περὶ τὴν θρησκείαν ἐστίν, ἀλλὰ καὶ τὴν ἠθικὴν αὐτοῦ, δεῖξαι αὐτῷ τὴν ἄβυσον, εἰς ἣν αφύκτως σύρουσιν αὐτὸν αἱ ἁμαρτίαι, καὶ τὰ ὕψιστα ἀγαθά, πρὸς ἃ ἄγειν αὐτὸν αἱ ἀρεταὶ δύνανται· συνελόντι δὲ φάναι, παραστῆσαι αὐτῷ πάσας τὰς ἰσχυρωτάτας παραινέσεις πρὸς ἐπίδοσιν εἰς τὴν εὐσέβειαν. Πόσον δὲ δύνανται συνεργῆσαι τούτοις τὰ τῆς ἀληθοῦς ἀποκαλύψεως τῷ νοῒ μὲν ἀκατάληπτα, τῇ δὲ καρδίᾳ ἐγγύτατα μυστήρια! Ὁ μὲν ἄνθρωπος πέπτωκε, πᾶσαι δὲ αἱ αὐτοῦ δυνάμεις διεφθάρησαν, καὶ οὐδὲν δύναται καθ᾽ ἑαυτὸν τέλειον ἀγαθὸν παραγαγεῖν· ὁποία παρόρμησις πρὸς ταπείνωσιν καὶ φλογώδη προσευχὴν πρὸς τὸν Θεόν! Αὐτὸς ὁ τοῦ Θεοῦ υἱὸς ηὐδόκησε διὰ τὴν ἡμῶν λύτρωσιν μορφὴν δούλου λαβεῖν καὶ ἐπὶ τοῦ σταυροῦ ἀποθανεῖν· ὁποία παρότρυνσις εἰς ἄπειρον εὐγνωμοσύνην καὶ ἀγάπην πρὸς τὸν θεῖον Λυτρωτήν, καὶ καθόλου πρὸς τὴν ἐκπλήρωσιν πασῶν τῶν αὐτοῦ ἐντολῶν! Ἡμεῖς ναός ἐσμεν τοῦ ἁγίου Πνεύματος, ἐν ἡμῖν τελοῦντος πάντα ἁγνισμόν· ὁποῖος ὠθισμὸς ἑαυτοὺς τηρεῖν ἀπὸ πάσης σωματικῆς ἀκαθαρσίας καὶ πνευματικῆς καὶ δὴ καὶ τῶν ἁμαρτωλῶν διαλογισμῶν, τῶν ἐπιθυμιῶν τ. ε. καὶ αἰσθημάτων!

Καὶ ἐν τῷ ἀνθρώπῳ, τὰ τῆς ἀποκαλύψεως μυστήρια προσλαβεῖν ὀφείλοντι, τελείαν πρὸς τοῦτο δύναμίν καὶ ἱκανότητα εὑρίσκομεν. Οὗτος γὰρ κατὰ τὴν κατασκευὴν τοῦ νοὸς αὐτοῦ διττῶς προσλαμβάνει ἀληθείας, τὰς μὲν διὰ τῆς γνώσεως, τὰς δὲ διὰ τῆς πίστεως· τ. ε. τὰς μὲν ἐξ ἰδίας πείρας καὶ ἀμέσου ἐπιγνώσεως, αἵ τινες ὄντως ἀληθεῖς εἰσι· τὰς δὲ ἐκ μαρτυρίας καὶ κύρους ἄλλων, ὥςπερ καθόλου κτώμεθα ἱστορικάς, ἔστιν ὅτε γεωγραφικὰς γνώσεις, καὶ καθόλου γνώσεις περὶ τοιούτων, ἅτινα ἡμεῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοὶ οὐκ εἴδομεν, περὶ ὧν ὅμως εἰδήσεις ἄλλοι μεταδιδόασιν ἡμῖν. Τῷ τρόπῳ τούτῳ δύναται ὁ ἄνθρωπος προσκτήσασθαι καὶ τὰ τῆς ἀποκαλύψεως μυστήρια· μὴ κατανοῶν δὲ ἀμέσως, ὅτι αὐτὰ ὄντως ἀληθῆ εἰσι, συνειδὼς ὅμως τὸ ὡρισμένον αὐτῶν περιεχόμενον, δύναται ταύτας τὰς ἀληθείας προσλαβεῖν ἐπὶ τῇ βάσει τῆς περὶ αὐτῶν μαρτυρίας καὶ τοῦ κύρους αὐτοῦ τοῦ ἀποκαλύπτοντος Θεοῦ, ὅς, ὥσπερ ἀληθέστατος, οὐδέποτε ἀπατῆσαι δύναται. Ἓν δὲ μόνον ἀντιτάξαι τούτῳ ἠδύνατο ὁ ἄνθρωπος, ὥσπερ καὶ προθυμοῦνταί τινες ἀντιτάξαι, ὅτε εἰπεῖν ἐδικαιοῦτο, ὅτι τὰ ἐξ ἀποκαλύψεως μυστήρια ἀντίκεινται τῷ νοῒ αὐτοῦ. Ἀλλὰ τοῦτο οὐδεὶς εὖ φρονῶν εἰπεῖν δύναται· α΄. τὸ μυστήριον, κατ' αὐτὴν τὴν περὶ αὐτοῦ ἔννοιαν, ἐντελῶς ἀκατάληπτόν ἐστιν τῷ νῷ ἡμῶν, ὑπερβαίνει τὴν αὐτοῦ κατανόησιν· ὑποστηρίζειν δέ, ὅτι ὄντως ἔννοιά τις ἀντίκειται τῷ νῷ, τοῦτο ἀνάγκη καταλαμβάνειν καὶ κατανοεῖν. Ἄρα περὶ τοῦ μυστηρίου, ἐν ὅσῳ μυστήριόν ἐστιν, οὐδεὶς δικαιοῦται ὡρισμένον τι ἀποφήνασθαι, οὔτε ὅτι αὐτῷ συνᾴδει· ὁ δὲ τὸ πρῶτον στηρίζων ἐκφράζει, ὅτι κατενόησε τὸ μυστήριον· β΄. Παρ' ἡμῖν ὁ λόγος ἐστὶ περὶ τῶν τῆς ἀληθοῦς ἀποκαλύψεως μυστηρίων, ἅ, ὑποτίθεται, αὐτὸς ὁ Θεὸς ἀποκαλύπτει τῷ ἀνθρώπῳ σὺν ἄλλαις καταληπταῖς ἀληθείαις· καὶ ἀποκαλύπτει οὕτως, ὥστε ἐναργῶς τὸν ἄνθρωπον πεισθῆναι, ὅτι αὐτὸς ὁ Θεὸς αὐτῷ ἀναγγέλλει. Δύναται οὖν ὁ Θεὸς μεταδοῦναι ἡμῖν τι, τῷ ἡμετέρῳ λογικῷ ἀντικείμενον, καὶ ὁ ἄνθρωπος, πεισθείς, ὅτι ἀκαταλήπτους τινὰς ἀληθείας ὄντως αὐτὸς ὁ Θεὸς αὐτῷ μετέδω, δύναταί καὶ φαντασθῆναι, ὅτι ἐν τούτοις τοῖς μυστηρίοις εὑρέθη ἀσυμφωνία τις ταῖς ἀρχαῖς τοῦ λογικοῦ καὶ τῆς ἀληθείας;

## II.

### Τὸ ἀναγκαῖον τῆς ἀποκαλύψεως.

§. 26. *Ἐν τίνι τὸ ἀναγκαῖον συνέστηκε, καὶ πόθεν αὐτὸ ἀποκαλύπτεται.*

Λέγοντες περὶ τοῦ πρὸς τὸν ἄνθρωπον ἀναγκαίου τῆς ὑπερφυσικῆς ἀποκαλύψεως, ἐκφράζομεν, ὅτι αὐτὸς ἐν τῇ ἐνεστώσῃ αὐτοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*καταστάσει μόνοις τοῖς φυσικοῖς ἑαυτοῦ μέσοις οὔτε ὀρθῶς τὸν Θεὸν ἐπιγνῶναι, οὔτε ἀξίως τιμᾶν δύναται, οὔτε καθόλου κατανοῆσαι πάντας τοὺς σκοπούς, ὧν ἕνεκα αὐτῷ ἡ θρησκεία δέδοται.*

*Ἡ ἔλλειψις αὕτη τῆς φυσικῆς θρησκείας καὶ τὸ ἀναγκαῖον τῆς ὑπερφυσικῆς ἀποκαλύψεως ἀποκαλύπτονται τῷ ἀνθρώπῳ, α'. Ἐκ τοῦ ὅτι παρὰ τοῖς μὴ τῷ φωτὶ τῆς ὑπερφυσικῆς ἀποκαλύψεως φωτισθεῖσιν ἔθνεσιν ἡ θρησκεία ἀεὶ ἐφαίνετο καὶ φαίνεται ἐν οἰκτροτάτῃ καταστάσει· β'. Ἐκ τοῦ ὅτι οὐδεμία φιλοσοφία καὶ καθόλου οὐδεμία σοφία ἀνθρωπίνη ἠδύνατο καὶ δύναται τοὺς ἀνθρώπους ἐκ τῆς οἰκτρᾶς ταύτης καταστάσεως ἄνευ ὑπερφυσικῆς θείας ἀρωγῆς ἐξαγαγεῖν.*

## *Α'.*

## Κατάστασις τῆς θρησκείας ἐν τῷ ἀνθρωπίνῳ γένει ἐκτὸς τοῦ Χριστιανισμοῦ, ὡς ἀληθοῦς θρησκείας.

### §. 27. *Περὶ τῆς ἐθνικῆς θρησκείας.*

*Εἰς τὴν ὀρθότητα τῆς πρώτης ἐννοίας λίαν εὔκολόν ἐστι πεισθῆναι, καὶ κατ' αὐτῆς σχεδὸν οὐκ ἀνθίστανται αὐτοὶ οἱ τῆς ὑπερφυσικῆς ἀποκαλύψεως ἀντίπαλοι ὑλισταὶ καὶ λογισταί. Διὸ πρὸς ὑποστήριξιν αὐτῆς ἀρκεῖ καθόλου θεωρῆσαι τὰς ὑπαρχούσας θρησκείας ἐκτὸς τοῦ χριστιανισμοῦ, ἀληθοῦς ὑπερφυσικῆς ἀποκαλύψεως ὄντος, καὶ πρῶτον μὲν τὴν ἐθνικὴν θρησκείαν, εἶτα τὰς λοιπὰς δύο, τὴν νέαν ἰουδαϊκὴν καὶ τὴν μωαμεθανικήν.*

*Ἐπὶ τὴν ἐσωτερικὴν λατρείαν τῶν ἐθνικῶν λαῶν τὴν προσοχὴν ἡμῶν ἐφιστάντες, βλέπομεν, ὅτι οὐδεὶς αὐτῶν εἶχε καὶ ἔχει ἀληθῆ περὶ Θεοῦ διδασκαλίαν, ὥστε δεόντως εἰς αὐτὸν πιστεύειν, αὐτὸν ἀγαπᾶν, ἐπ' αὐτὸν ἐλπίζειν. Ἡ δὲ ἔνοια περὶ ἑνὸς Θεοῦ, παρὰ πολλοῖς αὐτῶν μαρμαίρουσα, ἐντελῶς κατέπνικται καὶ δεδυσμόρφωται ποικίλαις δοξασίαις εἰς πολλοὺς Θεούς· ἡ δόξα τοῦ ἀφθάρτου καὶ ἀπείρου Θεοῦ ἠλλάγη ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν (Ρωμ. α'. 23), καὶ καθόλου ὄντων πεπερασμένων· ἡ περὶ τοῦ παναγίου Θεοῦ ἔννοια*

ἄκρως διεφθάρη δοξασίαις εἰς θεοὺς καὶ θεάς, τοιαύτας ἠθικὰς ἐλλείψεις καὶ κακουργίας ἔχοντας, αἵτινες καταισχυντικαί εἰσι καὶ τῷ ἐσχάτῳ τῶν ἀνθρώπων. Καθόλου δὲ οἱ ἐθνικοὶ ἀπεδίδοσαν καὶ ἀποδιδόασι θείας τιμὰς οἱ μὲν τοῖς ἀστράσι καὶ ταῖς αὐτῶν εἰκόσιν (ἀστρολατρεία)· οἱ δὲ τὴν γῆν θεοποιοῦσι, τὴν θάλασσαν, τοὺς ἀέρας, τὰς πηγάς, τὰ φυτά, καὶ εἰδικῶς τὰ ἐκ δένδρου κατεσκευασμένα εἴδωλα, ἐκ πέτρας, κ. τ. λ. οἱ δὲ ἄλογα ζῶα, τετράποδα, πτηνά, ἰχθύας, ἔντομα, ἑρπετὰ (Ζωολατρεία)· οἱ δὲ ἀνθρώπους, ἐν τῷ βίῳ διακριθέντας τῇ ἰσχύϊ, εὐφυείᾳ, εὐεργεσίαις ἢ κακουργίαις κτλ. (ἀνθρωπολατρεία)· οἱ δὲ πονηρὰ πνεύματα ἢ δαίμονας (δαιμονολατρεία)· οἱ δὲ εἰκόνας ἀφῃρημένων, οἷον· δόξης, εὐτυχίας· φυσικῶν κακῶν, οἷον· πυρετοῦ καὶ ἄλλων ἀσθενειῶν· καὶ ἠθικῶν κακῶν· ἀναισχυντίας κτλ[47]. Συντόμως δ' εἰπεῖν, ἀδύνατον σχεδὸν δεῖξαι ἓν ἔντε τῷ φυσικῷ καὶ ἠθικῷ κόσμῳ, ὃ οὐκ ἐθεοποίησαν οἱ ἐθνικοὶ ἔν τινι χώρᾳ κατά τινα χρόνον· οὗτοι πάντας καὶ πάντα σχεδὸν ἐθεοποίησαν ἐκτὸς μόνου τοῦ ἀληθινοῦ Θεοῦ[48].

Καὶ ἡ ἐξωτερικὴ τῶν ἐθνικῶν λατρεία τοιοῦτο σκοτεινὸν παρίστησι φαινόμενον. Οὐ μνημονεύομεν δὲ κενῶν δυσειδαιμόνων καὶ ἀνοίτων τελετῶν (οἷαι αἱ διάφοροι μαντεῖαι ἐκ τῆς

---

[47] Πιστὰς ἀποδείξεις καὶ ἀκριβεστάτας περιγραφὰς τῆς ἐθνικῆς πολυθεΐας οἷον εὑρεῖν· α΄. παρὰ τοῖς ἐθνικοῖς συγγραφεῦσιν Ὁμήρῳ ἐν Ἰλιάδι (423, 609, 611), Ἡροδότῳ (βιβλ. α΄. 131, 144), ἰδίᾳ δὲ παρὰ Κικέρωνι (de natura Deorum I, 42; III, 15, 16, 23, 24: de legibus 11, 8: Quaest. Tuscul. 1, 12, 13) καὶ Πλινίῳ (Φυσ. Ἱστορ. 111, 5)· β΄. παρὰ τοῖς Πατράσι τῆς Ἐκκλησίας, π. χ. ἁγίῳ Ἀθανασίῳ, ἁγίῳ Γρηγορίῳ τῷ Θεολόγῳ καὶ πολλοῖς ἄλλοις· γ΄, παρὰ τοῖς νέοις συγγραφεῦσιν, ἐσκεμμένως περὶ ταύτην ἐνασχοληθέντας τὴν ὑπόθεσιν, π. χ. ἐν τῷ Ναῷ τῆς ἀρχαιότητος, περιέχοντι τὰ ὀνόματα τῶν αἰγυπτίων, ἑλλήνων καὶ ῥωμαίων θεῶν, γενεαλογίαν, ἑορτὰς καὶ τὰς γενομένας κατ' αὐτὰς τελετὰς κτλ. Μόσχ. 1784. Παρὰ Reingard in Abriss der Geschichte der Entstehung und Ausbildung der religiösen Ideen; καὶ ἐν διαφόροις περιγραφαῖς νεωτάτων περιηγήσεων ἐν τοῖς ἐθνικοῖς, οἷα ἡ περιήγησις περὶ τὸν κόσμον Geak Arago. κτλ.

[48] Ἐκτενεστάτας ἀναγραφὰς τῶν ἐθνικῶν θεοτήτων ἔστιν ἰδεῖν παρὰ τῷ μακ. Αὐγουστίνῳ· de Civit. Dei V. cap. 8: ἀναγραφήν, ἐξαχθεῖσαν ἐκ τῶν συγγραμμάτων τοῦ Οὐάῤῥωνος καὶ ἐκ τοῦ αὐτοῦ βιβλίου τοῦ Αὐγουστ. Cap. 11, 16. 21: ἀναγραφαί, ὑπ' αὐτοῦ τοῦ Αὐγουστίνου συντεθεῖσαι· καὶ παρ' Ἀρνοβίῳ advers. Gent. IV. p. 128 et sequ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*πτήσεως καὶ κραυγῆς τῶν πτηνῶν, ἐκ τῶν ὀνείρων, τοῦ καπνοῦ, τῶν κηρίνων μορφῶν, τῶν ἐντοσθίων τῶν θυσιαζομένων ζώων κτλ.· διάφοροι προῤῥήσεις, πλήρεις δολιότητος, ἀπάτης, ἀμφιλογιῶν κτλ.)· ἀλλὰ δείξομεν μόνον τὸ μὲν τελετὰς ἄκρως ὠμὰς καὶ ἀπανθρώπους, τὸ δὲ ἐντελῶς ἀναιδεῖς. Καὶ ταῖς μὲν πρώταις ἀνήκουσι α'. προσφορὰ ἀνθρώπων εἰς θυσίαν, εὔχρηστος κατὰ τὴν μαρτυρίαν λίαν ἀξιοπίστων συγγραφέων παρὰ πολλοῖς ἐθνικοῖς ἐξ ἀμνημονεύτων χρόνων, καί τοι οὐκ ἐν τῷ αὐτῷ βαθμῷ, οἷον· παρὰ Συρίοις, Φοίνιξιν, Ἄραψιν, Αἰγυπτίοις, Καρχηδονίοις καὶ ἄλλοις ἀφρικανοῖς λαοῖς· παρ' Ἰνδοῖς, Πέρσαις καὶ ἄλλοις τῆς Ἀσίας λαοῖς· παρὰ Θραξίν, ἀρχαίοις Σκύθαις, Ἕλλησι, Ῥωμαίοις Γάλλοις, Βρετανοῖς, Γερμανοῖς καὶ ἄλλοις τῆς Εὐρώπης κατοίκοις[49]. Παρὰ Μεξικανοῖς καὶ ἄλλοις τῆς Ἀμερικῆς λαοῖς[50]. β'. ἑκούσιαι αὐτομαστιγώσεις τῶν θυτῶν εἰς τιμὴν θεοτήτων τινῶν κατὰ τὰς ἡμέρας τῶν ἑορτῶν αὐτῶν, ὥσπερ ἐποίουν, π. χ. οἱ τοῦ Βάαλ θῦται, οἵ τινες, κατὰ τὴν μαρτυρίαν τῆς ἁγίας Γραφῆς, κατετέμνοντο κατὰ τὸ κρῖμα αὐτῶν ἐν μαχαίραις, καὶ ἐν σειρομάσταις, ἕως ἐκχύσεως αἵματος ἐπ' αὐτούς (γ'. Βασ. ιη', 28)· οἱ τῆς Ἴσιδος θῦται, κατὰ τὴν Ἡροδότου μαρτυρίαν· οἱ τῆς Βελλώνης, κατὰ τὸν Λαμπρίδιον καὶ Λουκανόν, μάλιστα δὲ οἱ τῆς Κυβέλης κατὰ τὴν δεινὴν περιγραφὴν τοῦ Σενέκα, ὑπὸ τοῦ μακ. Αὐγουστίνου διασωθεῖσαν[51]· γ'. ὅμοιαι δὲ ἐπί τινων ἱερῶν τελετῶν μαστιγώσεις καὶ ἁπλῶν πιστευόντων· π. χ. ἐν Ἰνδίαις καὶ νῦν ἔτι οἱ μὲν τοὺς πόδας καὶ τὰς χεῖρας βαθέως τραυματίζουσιν, οἱ δὲ τὴν γλῶσσαν διατέμνουσιν ἔν τισι μέρεσιν, οἱ δὲ ἀφιᾶσιν ὄφιν τοῖς τραύμασι, καὶ οὕτως ἕπονται ταῖς πομπαῖς κτλ.[52]. δ'. μαστιγώσεις παιδίων, ἐν Σπάρτῃ εὔχρηστοι, εἰς*

[49] *Εἰς στήριξιν τούτου προσάγει μαρτυρίας ὁ Πορφύριος ἐν τῷ περὶ Ἀποχῆς βιβλ.* 11, §. 27, 34, 35, 36. edit. Cantabrig. 1605. *Εἰδικῶς δὲ περὶ Γάλλων, Γερμανῶν καὶ Βρετανῶν ἀναφέρουσι Τάκιτος* Annal. XIV, Cap. 3. *καὶ Ἰούλιος Καῖσαρ* de bello Gallico VI, Cap. 21.

[50] Ascota, Histor. Indic. V. Cap. 19 *κτλ.*

[51] Lucan. Pharsal. 1, vers. 56, 57. Augustin. de Civ. Dei VI, c. 21.

[52] *Ἀνατολικαὶ Ἰνδίαι· ἤθη, ἔθιμα καὶ μνημεῖα, ἐκδ. Σεμένου καὶ Στοϊκοβίδου (Ῥωσσιστὶ) σελ.* 59. *Μόσχ.* 1846.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τιμὴν τῆς Ἀρτέμιδος, ἐπὶ τῶν βωμῶν αὐτῆς, μετὰ τοσαύτης ὠμότητος, ὥστε πολλὰ τούτων τῶν δυστυχῶν, ὥςπερ γράφει ὁ αὐτόπτης Πλούταρχος, ἐκεῖ καὶ ἀπέθνησκον ὑπὸ τὰς ταλαιπωρίας[53]. ε΄. ὅμοιαι μαστιγώσεις παρθένων ἐν χρήσει ἐν πολλοῖς τῆς Ἀρκαδίας τόποις εἰς τιμὴν τῆς Ἀρτέμιδος καὶ τοῦ Βάκχου, καὶ οὐ σπανίως περαιούμεναι τῷ θανάτῳ τῶν τοιαύτῃ βασάνῳ ὑποκειμένων[54]. ς΄. ἀνθρωποφαγία εἰς τιμὴν τῶν εἰδώλων, μέχρι νῦν τηρουμένη παρὰ τοῖς Σκανδιναβοῖς καὶ πολλοῖς ἄλλοις ἀγρίοις νησιώταις[55]. ζ΄. καῦσις ζωσῶν γυναικῶν σὺν τοῖς τεθνηκόσιν ἀνδράσιν, ὥσπερ μέχρι τοῦδε τὰ πολλὰ παρ' Ἰνδοῖς γίνεται[56]. Ταῖς δὲ αναιδέσι τελεταῖς ἀνάγονται πάντα τὰ βάκχεια, κρόνια, αἰσχροὶ χοροὶ καὶ ἄλλαι ἀκρασίαι εἰς τιμὴν τοῦ Πανός, τῆς Ἀφροδίτης, τοῦ Βάκχου, τῆς Ἥρας, τοῦ Ἀδώνιδος, τῆς Κυβέλης κλπ., ἐν οἷς εἰς ἄκρον ἐδείκνυντο ἀναισχυντία, ἀκράτεια, διαφθορὰ καὶ πολλὰ ἄλλα, περὶ ὧν καὶ λέγειν αἰσχρόν· πάντα δὲ ταῦτα οὐ μόνον θεμιτὰ ἐνομίζοντο, ἀλλὰ καὶ ἱερά, καὶ ἐν τοῖς ναοῖς πανδήμως ἐτελοῦντο[57].

Ἐκ τούτων οὖν δυνατόν ἐστι καὶ περὶ τῆς ἠθικῆς τῶν ἐθνικῶν κρῖναι καταστάσεως (Ῥωμ. α΄. 26—32), παρ' οἷς ἅπαντα συνέτεινον πρὸς ἀνάπτυξιν τῆς ἀσεβείας· α΄. καὶ οἱ θεοί, ὧν πολλοὶ πεπροσωποποιημένα ἦσαν πάθη, οἷον, ὁ Ἑρμῆς, ἡ Ἀφροδίτη, καὶ δὴ καὶ ὁ Ζεύς, καὶ οἵτινες τοσούτῳ ἀνώτεροι ἐνομίζοντο, κατὰ τὸν μακ. Αὐγουστῖνον, ὅσῳ μᾶλλον ἐπεμελοῦντο

---

53 Προύταρχ. ἐν βίῳ Λυκούργου.

54 Potter's antiquities of Grec, Vol. 1, 193.

55 Περιήγησις περὶ τὸν κόσμον Arago.

56 Ανατολικαὶ Ἰνδίαι· ἤθη, ἔθιμα καὶ μνημεῖα, σελ. 190—194.

57 Στράβων, η΄, σελ. 537, 581 Ἔκδ. Ἀμστελοδ. 1707. Διογέν. Λαέρτιος γ΄. §. 39. Βλ. καὶ Tertul. Apolog. c. 14. Κλήμ. Ἀλεξ. παραιν· πρὸς τὰ ἔθνη. Ὠριγέν. κατὰ Κέλσ. ε΄. Bactan. Divin. Inst. 1, de falsa relig.; Hug. Grot. de verit. relig. Christ. IV, c. 1 et sequ.; Montfaucon, L'antiquité expliquee et representée en figures, Paris 1719; De S-te Croix, Recherches historiques et critiques sur les mystères du paganisme, Paris 1784; περὶ ἀρχῆς, διαδόσεως καὶ πτώσεως τῆς εἰδωλολατρείας, περὶ μαντειῶν καὶ θυσιῶν· μετάφρ. ἐκ τοῦ Γαλ. Μόσχ. 1792. Περὶ ναῶν, θυτῶν, λατρειῶν κτλ. τῶν ἀρχαίων Ἑλλήνων Πετρουπ. 1815.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόνον, πῶς ὑπερβῶσιν ἀλλήλους ποικίλοις ἁμαρτήμασι[58], καὶ αὐτοί, κακουργίαις διακρινόμενοι, φύσει τῷ ἑαυτῶν παραδείγματι ἐδίδασκον καὶ τοὺς βρωτούς· β'. καὶ νόμοι, συνεχῶς ἐπιτρέποντες καὶ ἐπευφημοῦντες τὸ μῖσος πρὸς τοὺς ἐχθρούς, καταφρόνησιν πρὸς τοὺς δυστυχεῖς καὶ πένητας, κλοπήν, φόνον τῶν παίδων καὶ γερόντων, διαφθορὰν καὶ ἄλλα ἁμαρτήματα, ὅπερ καὶ μέχρι νῦν παρὰ πολλοῖς ἐθνικοῖς παραμένει[59]. γ'. καὶ ἱεραὶ ἑορταί, τελεταί, ἔθιμα, οὐ σπανίως αὐτοὶ οἱ ναοὶ σὺν ταῖς αἰσχαῖς εἰκόσι τῶν θεῶν καὶ τῶν ἀσελγειῶν αὐτῶν[60]. δ'. καὶ κοιναὶ παντοδαπαὶ εὐθυμίαι, μάλιστα δὲ θέατρα, δημόσιαι σχολαὶ ἀνοσιότητος ὄντα, ἐν οἷς συνεχῶς ἐξήγοντο εἰς περίγελων καὶ αὐτοὶ οἱ θεοὶ σὺν πάσαις ταῖς αὐτῶν ἐλλείψεσι καὶ ἀναισχυντίαις, καὶ ὁ λαὸς ἡδέως κατεγέλα ἐκείνους, πρὸς οὓς ἐν τοῖς ναοῖς θυσίας προσέφερεν[61]. Ὡς ἔπος δ' εἰπεῖν, τὸ ἠθικὸν τοῦ ἀνθρώπου μέρος ἀεὶ διέμενε παρὰ τῷ ἐθνισμῷ οἱονεὶ λεληθὸς καὶ καταπεφρονημένον· κατὰ τοῦτο δὲ ὁ ἐθνισμὸς κατέλειπε τὸν ἄνθρωπον ἐντελῶς εἰς τὴν αὐτοῦ θέλησιν, αἰτῶν παρ' αὐτοῦ πρὸς εὐαρέσκειαν τοῖς θεοῖς μόνην γε τὴν αὐστηρὰν ἐκπλήρωσιν τῶν ἐξωτερικῶν τελετῶν καὶ θυσιῶν[62]. Ἡ θρησκεία αὕτη τοῖς ἀνθρώποις οὔτε κανόνας ἐδίδου, οὔτε παροτρύνσεις οὔτε μέσα, οὔτε παραδείγματα πρὸς ἐπίδοσιν εἰς τὴν εὐσέβειαν· ἀλλὰ τοὐναντίον ἐδείκνυε καὶ κανόνας, καὶ παροτρύνσεις, καὶ μέσα, καὶ τύπους πρὸς ἐπίδοσιν εἰς τὴν ἀσέβειαν.

---

[58] De Civit. Dei. VII, cap. 2, 4.

[59] Βλ. Χριστ. ἀνάγν. 1840. 11, σελ. 312—318· περὶ δὲ τῶν ἀρχαίων Κικέρ. de natur. Deor. 1, cap. 28. de leg. III, cap. 8. Εὐσεβ. Εὐαγγ. Προπαρ. α'. Κεφ. δ'.

[60] Εὐσεβ. Εὐαγγ. Προπαρ. β', Κεφ. 6. August. de Civit. Dei VII. cap. 21; Arnob. advers. Gent. V, p. 168, 169, Batav. 1615.

[61] Tertull. Apol. cap. 15. August. de Civ. Dei, IV, n. 238. Non alii dii ridentur in theatris, λέγει ὁ μακ. Αὐγουστῖνος, quam qui adorantur in templis, nec aliis ludos exhibetis, quum quibus immolatis.

[62] Pers. Satyra II, vers. 69 et sqq. Nihil ibi (in deorum cultu), λέγει ὁ Λακτάντιος, disseritur, quod proficiat ad mores excolentos vitamque formandam, nec habet inquisitionem aliquam veritatis, sed tandummodo ritum colendi, qui non officio mentis, sed ministerio corporis constat. Inst. divin. IV, c. 3, p. 1, 2; edit. Cellar.

Ματαία δὲ ἀπέβη ἡ ἀπόπειρα λογίων τινῶν, δεῖξαι βουλομένων τὸν ἐθνισμόν, μάλιστα τὸν ἀρχαῖον, οὐ βάναυσον, οἷος κατὰ πρῶτον φαίνεται, τοὺς δὲ ἐθνικοὺς οὐκ εἰς πολλοὺς πιστεύοντας θεούς, ὡς καὶ τὰ αὐτῶν εἴδωλα, μόνον διαφόρους ἀπεικονίσεις, ἀλλαγὰς τῆς ὄψεως, ὁμοιώματα τῷ ἑνὶ ἀληθεῖ Θεῷ· τὴν δὲ ἐθνικὴν μυθολογίαν καὶ τὰ μυστήρια, καλύπτοντα ὑφ' ἑαυτὰ βαθεῖαν ἀλληγορικὴν ἔννοιαν, καὶ καθαρωτάτας ἀληθείας τῆς θρησκείας ἐκφράζοντα. Ἀλλ' ἡ ἀπόπειρα αὕτη οὐκ ἔστι καινή· πρὸς ταύτην γὰρ προσέφευγον καί τινες τῶν ἀρχαίων ἐθνικῶν φιλοσόφων, μάλιστα τὰς πρώτας τοῦ Χριστιανισμοῦ ἑκατονταετηρίδας, ὅτε τῇ διαδόσει τῆς ἀληθοῦς Θρησκείας σαφέστερον ἐφανεροῦντο αἱ τοῦ ἐθνισμοῦ ἀλογίαι. Τοιαύταις δὲ ὑποθέσεσι συμφωνῆσαι ὅλως ἀδύνατον, διότι α', τοῦτο ἐντελῶς αὐθαίρετόν ἐστι κατὰ τὴν ἑαυτοῦ ἀρχήν, καί, ὥσπερ ὁ Εὐσέβειος ἀπέδειξεν, ἐπενόησαν αὐτὸ οἱ ἐθνικοὶ λόγιοι μετὰ τὴν ἐμφάνισιν τοῦ Χριστιανισμοῦ, πρὶν δὲ οὐκ ἦν γνωστόν, ἕνεκα τῆς ἐπιγνώσεως τῶν μεγίστων ἐλλείψεων τῆς ἐθνικῆς θρησκείας καὶ τοῦ ἀξιοκατακρίτου καὶ παρηναγκασμένου πόθου δικαιῶσαί τι καὶ ὑποστηρίξαι αὐτήν[63]. β'. μᾶλλον αὐθαίρετον ἐν τῇ ἐφαρμογῇ· ὁ γὰρ ἀλληγορικὸς νοῦς τῶν μύθων τούτων καὶ μυστηρίων ὑπ' οὐδενὸς τῶν ἀρχαίων ὡρίσθη, οὔτε ὑπὸ ἱδρυτοῦ τινος τῆς ἐθνικῆς θρησκείας ἐν χώρᾳ τινί, οὔτε τινὸς τῶν πρώτων θυτῶν, ἀλλ' ἑκάστῳ λογίῳ ἐπιτρέπεται ὁρίσαι αὐτὴν κατὰ τοὺς αὐτοῦ διαλογισμούς· τί δὲ ἐκ τούτου προκύψαι δυνατόν ἐστιν ἐκτὸς τῆς ἐν ταῖς ἑρμηνείαις ἀσυμφωνίας; γ'. πολλαί εἰσι μυθολογικαὶ διηγήσεις καὶ μυστήρια, ἅτινα ἀδύνατον ὑψηλῷ τινι, εὐσεβεῖ, νῷ ἑρμηνεῦσαι, οἷαί εἰσι πᾶσαι αἱ διηγήσεις περὶ τῶν πράξεων τῶν Θεῶν, τῶν παθῶν αὐτῶν, τῶν ἁμαρτημάτων, τῶν κακουργιῶν, πᾶσαι αἱ ἀσελγεῖς ἑορταὶ καὶ τὰ κρόνια εἰς τιμὴν τοῦ Βάκχου, τῆς Ἀφροδίτης τοῦ Ἀδώνιδος κ. τ. λ. δ'. αὐτοὶ οἱ ἐθνικοὶ συγγραφεῖς Ὁράτιος[64], Σενέ-

[63] Εὐσεβ. Εὐαγγ. προπαρ. 11, Κεφ. ϛ'. σελ. 74, 75. Paris, 1628.

[64] Ὁράτ. ἐν βιβλ. Ι. σατυρ. 8 γράφει.

Olim truncus eram ficulnus, inutille lignum;
Cum faber, incertus scamnum faceret-ne Priapum,
Maluit esse Deum: Deus inde ego.

κας[65], Κικέρων καὶ ἄλλοι[66] πλείστας κατέλιπον μαρτυρίας, ὅτι οἱ ἐθνικοὶ ὄντως εἰς πολλοὺς θεοὺς ἐπίστευον, καὶ θεοὺς ἐνόμιζον καὶ αὐτὰ μάλιστα τὰ ἄψυχα εἴδωλα· δ'. ἐν τῇ ἁγίᾳ Γραφῇ, ἧς ἡ μαρτυρία ἤδη ὀφείλει πᾶσιν ἔχειν πλῆρες κῦρος, ὥσπερ μαρτυρία ἀδιστάκτου ἀρχαιότητος, πολυάριθμοι ἀπαντῶσι διηγήσεις, καὶ αὐτὰ τὰ παραδείγματα παρίστανται εἰς ὑποστήριξιν, ὅτι καὶ πρὸ τῆς ἐλεύσεως τοῦ Σωτῆρος καὶ μετὰ τὴν ἔλευσιν οἱ ἐθνικοὶ ἐπίστευον ὄντως εἰς πολλοὺς θεοὺς (Ἰουδ. ε', 8· Ἡσ. μδ'., 12—20. Ἱερ· β', 27· Δαν. ιδ'. Γαλ· δ', 8· Πράξ. ιδ', 11—18). ς'. οἱ ἀρχαῖοι χριστιανοὶ ποιμένες, ὧν πολλοὶ πρὸ τῆς εἰς τὸν Χριστιανισμὸν προσελεύσεως ἐθνικοὶ ἦσαν, καὶ ἐθνικοὶ λόγιοι. μετὰ δὲ μέχρι τέλους τοῦ βίου ἠσχολοῦντο περὶ τὴν ἐξέλεγξιν τῶν ἐθνικῶν δεισιδαιμονιῶν, καὶ ἠδύναντο τὴν ἐθνικὴν ἐκμαθεῖν θεολογίαν πολλῷ κρεῖττον τῶν νῦν ἐρευνητῶν, δημοσίᾳ ἐκήρυττον, ὅτι οἱ ἐθνικοὶ οὐ τὸν ἕνα γινώσκουσι θεόν, ἀλλὰ πιστεύουσιν εἰς θεοὺς πολλούς, καὶ τὰ εἴδωλα προσκυνοῦσι, καὶ ἀκριβῶς ἀνεσκεύαζον τὰς ἀποπείρας τῶν βουλομένων ὑπὲρ τοῦ ἐθνισμοῦ ἀπολογήσασθαι ἀλληγορικαῖς ἑρμηνείαις καὶ μαρτυρίαις, ὅτι αὐτοῖς ἐξ ἰδίας πείρας κάλλιστα γνωσταί εἰσιν ἥ τε οὐσία καὶ πᾶσαι αἱ εὐτελεῖς τῶν ἐθνικῶν μυστηρίων σημασίαι[67]. ζ'. καθόλου δὲ ἐκ τοῦ ἀπείρου πλήθους τῶν προσερχομένων πρὸς τὸν Χριστὸν ἐν τῇ ἀρχῇ τοῦ Χριστιανισμοῦ ἐθνικῶν, ὧν πλεῖστοι ἀφιλονείκως πρὶν ἀφιερωμένοι ἦσαν πᾶσι τοῖς τοῦ ἐθνισμοῦ μυστηρίοις, οὐδεὶς ἐφάνη, ὃς ἂν φανερῶς ὁμολογήσειεν, ὅτι τὰ ἐθνικὰ μυστήρια κρύπτουσιν ὑφ' ἑαυτὰ βαθείας τῆς θρησκείας ἀληθείας, τῇ ἀποκαλύψει

---

[65] Ὁ Σενέκας λέγει περὶ τῶν ἐθνικῶν. Simulacra deorum venerantur, illis supplicant genu posito, illa adorant, illis per totum assident diem aut adstant, illis stipem jaciunt, victimas cedunt et caet. Βλ. παρὰ Λακταντίῳ Div. inst. 11, cap. 2.

[66] Περὶ τούτου σειρὰν ἐθνικῶν μαρτυριῶν Βλ. παρὰ Bergér Dictionaire de Theologie, ὑπὸ τὰς λέξεις idole, idolatre, idolatrie.

[67] Ἐπισημότεροι τῶν ἀρχαίων Χριστιανῶν ποιμένων ἰδίᾳ εἰσὶ α'. Ἰουστῖνος ὁ Φιλόσοφος, Apol. I, cap. 9, β'. Tatian. Orat. ad Graec. cap. 9, 33, 34.; γ'. Tertull. Apol. n. 13 et sequ.; Κλήμ. ὁ Ἀλεξ. Παραιν. πρὸς τὰ ἔθν. ε'. Arnob. adv. gent.; ς'. Εὐσέβ. Εὐαγγ. Προπαρ. β', κεφ. γ'. κτλ. ζ'. August. de civit. Dei ἐν πολλοῖς χωρίοις. η'. Lactant. Divin. Instit. II, cap. 2 et 4.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συνᾳδούσας· τοὐναντίον δὲ ἔλεγον περὶ αὐτῶν βδελυγμῷ τινι, ὡς περὶ ἀκαθάρτων καὶ ἀσεβῶν ὑποθέσεων· η΄. Ἐὰν δὲ καὶ ἀποδεξώμεθα, ὅτι ἐθνικοί τινες μῦθοι ὄντως εἶχον ὑψηλότερον καὶ μυστηριώδη νοῦν, τοῦτον ἀδιστάκτως ἐγίνωσκον ὀλίγιστοι, ἀλλ᾽ ὁ λαὸς ἅπας οὐδόλως ἐγίνωσκεν αὐτὸν, καὶ ἀεὶ ἐνόει τὰς ἑαυτοῦ παραδόσεις περὶ τῶν θεῶν, τὰς τελετὰς καὶ ἑορτὰς ἐν ἁπλῷ, κατὰ γράμμα νῷ· τί δὲ ὄφελος ἤδη ἐκ τῆς ὑποτιθεμένης ἀλληγορικῆς σημασίας τῆς ἐθνικῆς θρησκείας[68];

## §. 28. *Περὶ τῆς νεοϊουδαϊκῆς θρησκείας.*

Νεοϊουδαϊκὴ θρησκεία ἐστὶν οὐχ ἡ διὰ Μωϋσέως καὶ τῶν προφητῶν τοῖς Ἰσραηλίταις δοθεῖσα, καὶ ἣν ὡμολόγουν οὗτοι μέχρι τῆς τοῦ Μεσσίου ἐλεύσεως, ἀλλ᾽ ἣν ἐπενόησαν αὐτοὶ οὗτοι, ἐκκλίναντες τοῦ ἀληθοῦς πνεύματος τοῦ Μωϋσέως καὶ τῶν προφητῶν, καὶ νῦν[69] μετὰ τὴν ἔλευσιν τοῦ ἐπαγγελθέντος Μεσσίου, οὐχ ὑπ᾽ αὐτῶν ἀναγνωρισθέντος, τηροῦσι. Καὶ ἡ μὲν πρώτη ὄντως ἐστὶν ὑπὸ τοῦ Θεοῦ ἀποκεκαλυμμένη, καὶ ἓν μετὰ τῆς χριστιανικῆς ἀποτελεῖ ὅλον· ὅθεν οὐχ ὑπόκειται ὧδε τῇ ἡμῶν θεωρίᾳ· ἐκείνη δέ, ὥσπερ καρπὸς ἀποπλανήσεων τοῦ φυσικοῦ λογικοῦ τοῦ ἀνθρώπου δύναται εἶδος τῆς φυσικῆς θρησκείας κληθῆναι ἐν ὑποκειμένῳ νῷ· διὸ τὸν νοῦν ἐπ᾽ αὐτὴν προσχεῖν ὀφείλομεν.

Τί δ᾽ εἰπεῖν περὶ αὐτῆς, εἰμὴ ὅτι ὄντως ἀποτέλεσμά ἐστιν ἀκροτάτης τυφλότητος τοῦ ἀνθρωπίνου νοὸς καὶ λογικοῦ βαναύσου καὶ προλήψεων κεκορεσμένου; Αὕτη ἐκτέθειται ἐν δυσὶ βιβλίοις, ὑπὸ τῶν Ἰουδαίων θείοις νομιζομένοις, ἐν τῇ Καββάλᾳ

---

[68] *Πᾶσαι καθόλου αἱ ὑποθέσεις τῶν ὑπὲρ τοῦ ἐθνισμοῦ ἀπολογητῶν, τοὺς νεωτάτους ἀναφανέντων χρόνους, ἀκριβέστατα καὶ ἀφιλονείκῳ ἰσχύϊ ἀνεσκευάσθησαν ἐν τῷ ἐκτενεστάτῳ συγγράμματι Λελάνδου ὑπὸ τὴν ἐν τῇ γαλλικῇ μεταφράσει ἐπιγραφήν.* Nouvelle démonstration Evangel. *καταχωρισθέντι ἐν τῷ ζ. τόμῳ* Démonstr. Evangel. *ἐκδ. ὑπὸ* Abbat. la M... *ἐν Παρισ.* 1843. *Βλ. καὶ λέξιν*, Paganisme *ἐν Λεξικῷ* Berger, *μάλιστα ἐν* §. III., IV., VII.

[69] *Ἐκτὸς τῆς μικρᾶς αἱρέσεως τῶν Καραϊτῶν ἢ βιβλιστῶν, αὐστηρῶς τηρούντων μέχρι νῦν μόνην τὴν παλαιὰν Διαθήκην, καὶ παρερμηνευόντων τὰ τῷ Μεσσίᾳ ἀναγόμενα χωρία. Βλ. Ἑβραϊκ. αἱρέσ. ἐν Ῥωσσίᾳ ὑπὸ Γρηγοριέβου. Πετρουπ.* 1847. *σελ.* 11—48.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



καὶ τῷ Ταλμούδῳ[70], ἐν οἷς σὺν ταῖς ἐκ τῶν Βιβλίων ἀρυσθείσαις ἀληθείαις τοσαῦτα παράδοξα, ἀλογίαι, ἀντιλογίαι εἰσίν, ὥστε ἀπίθανον καθίσταται, πῶς ἠδυνήθησαν τοιαῦτα ἐπινοῆσαι, καὶ πῶς ἄλλοι δύνανται τοσούτῳ τερατώδεις ἐννοίας ἱερὰς ἀποδέξασθαι ἀληθείας καὶ ἀναντιῤῥήτους, μὴ τὸν ὑγιᾶ νοῦν ἀρνηθέντες. Ταῦτα δ' εἰσίν.

Θεωρητικῶς μὲν αἱ ῥήσεις α'. περὶ τῶν καθ' ἑκάστην τοῦ Θεοῦ ἐργασιῶν[71]. β'. περὶ τοῦ σκοποῦ, δι' ὃν ὁ κόσμος ἐδημιουργήθη[72]. γ'. περὶ τοῦ Μεσσίου καὶ τῶν περὶ τῆς αὐτοῦ ἐλεύσεως[73]. δ'. περὶ τῆς ἀναστάσεως τῶν τεθνεώτων[74]. κ. τ. λ.

Ἠθικῶς δὲ τοιαῦτα· α'. οὐσιώδης νόμος περὶ τῆς κοινωνίας τοῦ ἀνθρώπου πρὸς τὸν πλησίον ἐστὶ "τὸ πράσσειν πᾶν ἀγαθόν, ὑπὸ τοῦ Μωσαϊκοῦ ἐπιτασσόμενον νόμου, καὶ πᾶν κακόν, ὑπ' αὐτοῦ ἀπαγορευόμενον, πρὸς τὸν πλησίον, ἀδελφόν, ἑταῖρον, ὀφείλομεν, κατὰ τὴν ἑρμηνείαν τοῦ Ταλμούδου, πρὸς μόνους τοὺς

---

70 *Καββάλα μέν, κατὰ τοὺς Ἰουδαίους, κώδηξ ἐστὶ παραδόσεων τῆς μυστικῆς φιλοσοφίας, αἵτινες συμπλήρωσίς εἰσι καὶ ἑρμηνεία εἰς τὸν νόμον· Ταλμοῦδον δὲ κώδηξ παραδόσεών ἐστι μάλιστα ἱστορικῶν, τελετικῶν (περὶ τελετῶν) καὶ πολιτικῶν, συμπληρώσεως αὖθις καὶ ἑρμηνείας οὐσῶν. Ἀλλὰ περὶ καββάλας οἷον εὑρεῖν ἐν τῷ συγγράμματι τοῦ Ῥαββίνου Φράγκου.* La Kabbale, Paris, 1843. *Περὶ δὲ τοῦ Ταλμούδου καὶ τοῦ περιεχομένου παρὰ Δράχου.* De l'armonie entre l'Eglise et la Synagogue, Paris, 1844. tom. 1, pag. 121—181. notice sur le Thalmud.

71 "Deum dicunt quotidie tres horas legi thalmudicae discendae impendere, et totidem cum pisce Leviathan ludere; quotidie ob excidium Solymae et templi lacrimari, et Messiae venturo monstrorum convivium parare..." *Ἀκριβέστερον βλ.* apad. Raym. Martinum - Pugio fidei adversus Mauros et Judaeos, p. III, dist. 3, cap. 22. Lips. 1687; *Χριστ. ἀναγν.* 1834, III, 283-309.

72 *"Ὁ Θεὸς ἐδημιούργησε τὸν κόσμον πρὸς μόνην τὴν ἐφαρμογὴν τῆς τοῦ νόμου περιτομῆς." Ἑβρ. αἱρ. ἐν Ῥωσ. Γρηγ. σελ.* 95.

73 Tenent aliqui, Messiam jam advenisse et vel in horto Edem capillis foeminae ligatum, vel Romae inter leprosos, donec ab Elia inauguretur, vel in alio incerto loco morari. et caet. Buxtorf. de Synagog. Jud. 1, 50.

74 *"Ἡ τῶν νεκρῶν ἀνάστασις ἐν Παλαιστίνῃ γενέσθαι δύναται. Ὅθεν ὁ Κύριος ἀποκαλύπτει παρὰ τοῖς τάφοις τῶν ἐν αἰχμαλωσίᾳ τεθνεώτων Ἑβραίων ἐκτενῆ σπήλαια, δι' ὧν τὰ σώματα αὐτῶν, ὥσπερ πίθοι, κυλινδηθήσονται εἰς τὴν ἁγίαν γῆν, ἵνα ἐκεῖ τὴν ψυχὴν ἀναλάβωσι". Ταλμ. Ἱεροσολ. ἄρθ.* Kilaim.

Ἰουδαίους νοεῖν"[75]. β'. γνώμη περὶ τῶν ἄλλων λαῶν· καλοῦν τὸ Ταλμοῦδον αὐτοὺς ἀκαθάρτους καὶ ἀντιθέους, πρὸς οὓς οἱ Ἑβραῖοι ὀφείλουσιν οὔτε εἰς συγγενικόν τινα συνέρχεσθαι σύνδεσμον οὔτε κοινωνεῖν τροφῆς καὶ πόσεως, καὶ μάλιστα ἡμέρας τινάς· διδάσκει, ὅτι ὁ Ἑβραῖος ἄνευ ἁμαρτίας δύναται παραβαίνειν τοὺς δοθέντας ἑτεροθρήσκῳ ὅρκους, ἀπατᾶν αὐτὸν, πιέζειν, καταδιώκειν καὶ φονεύειν διὰ τὸ ἑτερόθρησκον· καὶ καθόλου πάντες οἱ ἑτερόθρησκοι κατὰ τὴν τοῦ Μεσσίου ἔλευσιν ἤτοι ἐντελῶς ἀπολεσθήσονται, ἢ τοῖς Ἰουδαίοις ὑποδουλωθήσονται, καὶ αὐτοὶ δὲ οἱ ἑτερόθρησκοι βασιλεῖς γενήσονται θεράποντες τοῦ ἐσχάτου τῶν τέκνων Ἰσραήλ[76]. γ'. ἡ διδασκαλία περὶ τῶν πρὸς δικαίωσιν μέσων. Ἐν τῷ Ταλμούδῳ κηρύσσεται, ὅτι καὶ ἡ προπατορικὴ ἁμαρτία καὶ καθόλου πᾶσαι αἱ ἁμαρτίαι δύνανται ἐξαλειφθῆναι καὶ ἐκμηδενισθῆναι τῇ αὐστηρᾷ πασῶν τῶν τοῦ περὶ τελετῶν νόμου διατάξεων. Τούτου δ' ἕνεκα οἱ Ἰουδαῖοι πρόσκεινται ταῖς τελεταῖς, ὥστε κατὰ τὴν ἀπόφανσίν τινος λογίου αὐτῶν ἔστι τοῖς Ἰουδαίοις μόνον νόμος, τ. ε. ὁ περὶ τελετῶν[77]. Πόσον ὅμως παράδοξος, εὐτελής, οὐδενὸς ἄξιος διὰ τὰς ἀναριθμήτους διατάξεις καὶ τὰ παραγγέλματά ἐστιν ὁ νόμος οὗτος! π. χ. ἐπὶ τῆς θείας ταύτης ἐντολῆς, „οὐ ποιήσεις πᾶν ἔργον ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου" (Ἐξ. κ', 10), ἐπιτετεχνασμέναι ἤδη εἰσὶν 946 διατάξεις ῥαββινικαί, ὧν μία ἀπαγορεύει τὸν Ἑβραῖον καὶ πτύειν κατὰ τὸν ἀέρα τὸ σάββατον, τοῦτο γὰρ ὅμοιόν ἐστι τῇ πνοῇ ἀκαθάρτου ἐρυσίβης[78]. Ἐπὶ δὲ τῆς θείας ἀπαγορεύσεως, μὴ ἐσθίειν ζυμωτὸν τὸ Πάσχα (ἐξ. ιβ', 20), 265 διατάξεις ἐπετεχνάσθησαν, ὧν μία λέγει· ἐὰν 10,000 Ἑβραῖοι τὸ Πάσχα ἑψήσωσιν ἔδεσμα ἐν ὕδατι, ἐξ ἑνὸς ἀρυσθέντι φρέατος, ἐν ᾧ μετὰ μικρὸν κριθή τις εὑρέθη, ἅπαντες ὀφείλουσι τὸ παρασκευασθὲν ἔδεσμα μετὰ τοῦ ἀγγείου κατακαῦσαι ἢ εἰς πο-

---

[75] Ταλμούδ. ἄρθρ. Baba-Metia.

[76] Moses Mendelson, Jerusalem oder über religiöse Macht und Judenthum. Ofen, 1819. S. 128.

[77] Βλ. προηγουμένην σημείωσιν.

[78] Chaie Adam, Ἀβραὰμ Δαντζιγου, ἐν Βήλνῃ, 1825. (ῥωσσιστί)· περὶ τῶν διατάξεων τοῦ σαββάτου §. 15. ἄρθ. 1, φύλ. 30.

ταμὸν βαλεῖν. Περὶ μόνων δὲ τῶν ἀπηγορευμένων ἐδεσμάτων περὶ τὰς 3,000 διαφόρων διατάξεων ὑπάρχουσι, περὶ μόνου τοῦ ἔθους τῆς νίψεως τῶν χειρῶν περὶ τὰς ἑκατὸν καὶ περὶ τῆς ἁλίσεως τοῦ κρέατος περὶ τὰς 200· εἰσὶ δὲ καὶ ὁρισμοὶ περὶ τοῦ πῶς δεῖ ὀνυχίζεσθαι... Ἐπὶ τῆς τοῦ Μωϋσέως ἐντολῆς, κωλυούσης ἑψῆσαι ἐρίφιον ἐν τῷ γάλακτι τῆς αὐτοῦ μητρὸς (Ἐξ. κγ', 19· Δευτερ. ιδ', 21), οἱ Ταλμουδισταὶ ἀπηγόρευσαν α'. ἑψῆσαι ἐν γάλακτι οἱονδήποτε κρέας· β'· χρῆσθαι ἀγγείῳ, ἐν ᾧ κρεάτινον παρασκευάζεται ἔδεσμα, πρὸς παρασκευὴν ἐν αὐτῷ γαλακτώδους ἐδέσματος· γ'. ὥρισαν γαλακτῶδες ἔδεσμα ἐσθίειν ἓξ ὥρας μετὰ τὸ ἐσθίειν κρεάτινον, κρεάτινον δὲ μετὰ γαλακτῶδες μίαν ὥραν. Ἡ ἐκπλήρωσις δὲ τῶν εὐτελειῶν τούτων οὐ τῇ προαιρέσει ἑκάστου ἀποτίθεται, τοὐναντίον, τὸ Ταλμοῦδον πάσας τὰς τελετὰς καὶ τὰ ἔθιμα ἀνυψοῖ εἰς δόγματα, καὶ ἀπαιτεῖ αὐστηροτάτην ἐκτέλεσιν τῶν πρὸς αὐτὰς ἀναγομένων διατάξεων καὶ κανόνων[79].

Καὶ αὐτοὶ οἱ μᾶλλον νοημονέστεροι Ἰουδαῖοι ὁμολογοῦσιν[80], ὅτι ἐν τῷ Ταλμούδῳ καὶ τῇ Καββάλᾳ πολλοί εἰσι μῦθοι, οἵτινες, κατὰ γράμμα ληφθέντες, ἀντιλέγουσι καὶ τῷ ὑγιαίνοντι νῷ καὶ ἑαυτοῖς, καὶ ἐντελῶς ἀνάξιοι τοῦ τε Θεοῦ καὶ ἀνθρώπου. Τίνι δὲ δικαιῶσαι τοῦτο οἴονται; ὅτι δῆθεν τοὺς μύθους τούτους ἑρμηνευτέον ἀλληγορικῶς, πνευματικῶς· ἀλλὰ τοῦτο ἐξαναγκαστικὴ ἐπινόησίς ἐστιν, οὐδενὸς αὐτοῖς εἰπεῖν ὑπολειπομένου. Καὶ τίς δύναται εἶναι, π. χ., ὁ ἀλληγορικὸς νοῦς ἐν ταῖς εἰρημέναις διατάξεσι περὶ ἐδεσμάτων, σαββάτου κτλ.;

§. 29. *Περὶ τῆς μωαμεθανικῆς θρησκείας.*

Ἐν τῇ μωαμεθανικῇ θρησκείᾳ, ἐν τῷ Ἀλκορανίῳ[81] ἐκτεθειμένῃ, διακριτέον α'· ἀληθείας, ἔκ τε τῆς παλαιᾶς καὶ καινῆς

---

[79] Βλ. Ἑβρ. αἱρ. ἐν Ῥωσσίᾳ Γρηγοριέβου σελ. 87-89, 116, κτλ· καὶ ἐν τῷ ῥηθέντι βιβλίῳ Ἀβραὰμ τοῦ Λανίζγου.

[80] Π. Χ. Ὁ διάσημος Μαϊμονίδης.

[81] Ἀλκοράνιον δηλοῖ βιβλίον ἀναγνώσεως, δοθὲν μέν, κατὰ τὴν πεποίθησιν τῶν Μωαμεθανῶν, ὑπ' αὐτοῦ τοῦ Θεοῦ, συντεθὲν δὲ ἰδίως ὑπὸ τοῦ διαδόχου τοῦ Μωάμεθ Ἀβουβεκέρου ἐξ ἀποσπασμάτων, ὑπολειφθέντων ἀπὸ τοῦ ψευδοπροφήτου· συνέστηκε δὲ ἐξ 114, σουρῶν εἴτε κεφαλαίων, ὧν ἕκαστον ἰδίαν ἔχει ἐπιγραφήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Διαθήκης ἀρυσθείσας, οἷαί εἰσι πολλαὶ ὑγιαίνουσαι γνώσεις περὶ Θεοῦ καὶ τῶν αὐτοῦ ἰδιωμάτων, περὶ ἀγγέλων, πολλὰ ἠθικὰ παραγγέλματα καὶ ἐντολαί, πολλαὶ ἱστορικαὶ διηγήσεις· Καὶ τοῦτο στηρίζεται ἐπὶ τῶν συνεχῶν αὐτοῦ τοῦ Μωάμεθ εἰς ταῦτα τὰ βιβλία παραπομπῶν· β'. πᾶν τὸ ἐξ ἄλλων πηγῶν ἀρυσθὲν τὸ μὲν ἐκ τῆς ἀρχαίας ἀραβικῆς θρησκείας, τὸ δὲ ἐκ τοῦ ἰουδαϊκοῦ Ταλμούδου, τὸ δὲ ὑπ' αὐτοῦ τοῦ Μωάμεθ ἐπινοηθέν.

Καὶ αἱ μὲν πρῶται ἀλήθειαι ἔχουσι πλήρη τὴν ἑαυτῶν ἀξίαν, ἀλλ' ἀνήκουσι τῇ θείᾳ ἀποκαλύψει καὶ οὐ τῷ Μωάμεθ εἴτε τῷ ἀλκορανίῳ, ᾧ μόνον ἀνήκει, ὅτι αἱ φωτειναὶ ἀλήθειαι συνεμίγησαν οὐ σπανίως πλάναις καὶ μύθοις, ἅτινα ἐντελῶς σχεδὸν ἐπισκοτίζουσι καὶ θλίβουσιν αὐτάς. Οὕτω, π. χ. ἐν τῷ Ἀλκορανίῳ λέγεται, ὅτι δῆθεν ὁ Ἀβραὰμ καὶ Ἰσμαὴλ ναὸν ἐν Μέκκᾳ ἔκτισαν (κεφ. β', στ. 121), δῆθεν εἰς θυσίαν προσηνέχθη ὁ Ἰσμαὴλ (κεφ. γη', 188), ὁ Σολομὼν ἀπεβλήθη τοῦ θρόνου πανουργίᾳ τοῦ σατανᾶ (—26), ἡ παρθένος Μαρία, μήτηρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀδελφὴ ἦν τοῦ Ἀαρών, ὁ Ἰησοῦς καὶ ἐν τῇ κοιτίδι ἀπεφήνατο περὶ ἑαυτοῦ· „ἐγώ εἰμι δοῦλος τοῦ Θεοῦ· αὐτὸς ἔδωκέ μοι βιβλίον, καὶ προφήτην κατέστησέ με“ (κεφ. ιθ', 18) κτλ.

Ἐν δὲ τοῖς ἐξ ἀνθρωπίνων πηγῶν, καὶ τούτου ἕνεκα τῇ φυσικῇ ἀναγομένοις θρησκείᾳ, ἀρυσθεῖσι μέρεσι τῆς μωαμεθανικῆς διδασκαλίας ἀπαντῶμεν σχεδὸν πλάνας μόνας καὶ συνεχῶς ἀλογίας.

Καὶ ἐν μὲν τῷ θεωρητικῷ μέρει βεβαιοῦται, ὅτι α', καθόλου μὲν πᾶν ἐν τῷ κόσμῳ συμβαῖνον τῷ ἀπολύτῳ τοῦ Θεοῦ προορισμῷ ὑπόκειται, ἄλλως δὲ συμβαίνειν ἀδύνατον (κεφ. ιζ', 13: θ', 53). β'. Εἰδικῶς δὲ καὶ πᾶς ἄνθρωπος ἔχει τὴν ἑαυτοῦ ἀναπόδραστον καὶ ἄφυκτον τύχην (κεφ. ιζ', 13)· ἑκάστῳ προορίζεται τρόπος τις βίου καὶ πράξεως ἀγαθῆς εἴτε κακῆς· ὑπὸ τούτου δὲ σαφῶς ἀνατρέπεται πᾶσα ἐλευθερία καὶ ἠθική, καὶ ὁ Θεὸς αἴτιος τοῦ κακοῦ καθίσταται· γ'. ὁ Θεὸς πολλοὺς ἔπλασεν ἀνθρώπους διὰ τὴν γέενναν, καὶ διὰ τοῦτο δεσπότης, ἐν στενωτέρᾳ σημασίᾳ, ἐστὶ (κεφ. ζ', 180· λζ', 163· γ', 189)· δ'. ἡ κοινὴ κατὰ τὸ τέλος τοῦ κόσμου κρίσις 5,000 ἐτῶν διαρκέσει· ε'. ἡ αἰωνία ἐν τῷ παραδείσῳ μακαριότης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν δικαίων λίαν βάναυσοι αἰσθητικαὶ ἡδοναὶ ἔσονται (κεφ. β', 25; λζ', 41. νε', 45) κτλ.

Ἐν δὲ τῷ πρακτικῷ ἡ μωαμεθανικὴ θρησκεία α', συνεχῶς λέγει περὶ ἀγάπης πρὸς τὸν Θεόν· ἀλλ' αὕτη ἀναγκαίως εἰς δουλικὸν μεταβάλλεται φόβον καὶ τυφλὴν τῇ τύχῃ ἀφοσίωσιν· β'. καὶ περὶ ἀγάπης πρὸς τοὺς πλησίον· ἀλλὰ τούτους περιορίζει εἰς μόνους τοὺς ὀρθοδόξους, τ. ε. μωαμεθανούς, ὅθεν καὶ φίλους· γ'. τοὺς ἑτεροθρήσκους καταδιώκειν καὶ φονεύειν ἐντέλλεται διὰ τὸ μὴ συγκατατίθεσθαι τὸν μωαμεθανισμὸν προσλαβεῖν (κεφ. μζ', 4)· δ'. ἐκδίκησιν καὶ δὴ καὶ φόνον τῶν ἐχθρῶν καὶ ὑβριστῶν (κεφ. μβ', 38)· ε'. ἐπιτρέπει τὴν πολυγαμίαν καὶ παλλακίαν (κεφ. δ', 3. β', 224. λς', 50)· ς'. ἀπαγορεύει πᾶσαν περὶ θρησκείας ἔρευναν τῷ φόβῳ θανατικῆς ποινῆς· ζ'. ἐπιτάττει τὴν θρησκείαν ξίφει καὶ βίᾳ διαδίδοναι (κεφ. η', 4· θ', 13)· η'. παραγγέλλων πολυαρίθμους τελετικὰς διατάξεις, οἷον· νηστείας, λούσεις, διαφόρους προσευχάς, πορείαν εἰς Μέκκαν, ἀποχὴν τινων ἐδεσμάτων καὶ ποτῶν κτλ., δίδωσι τούτοις τοσαύτην ἀξίαν, ὥστε ἀπ' αὐτῶν οἱονεὶ ἐντελῶς ἐξαρτᾶται ἡ αἰωνία τοῦ ἀνθρώπου σωτηρία. Ἀναπόδραστος δὲ καρπὸς ἐκ τῆς διδασκαλίας ταύτης ἐξάγεται, ὅτι πᾶσα ἡ ἠθικὴ τοῦ Μωαμεθανοῦ τῇ αὐστηρᾷ περιορίζεται ἐκπληρώσει τῶν ἐξωτερικῶν διατάξεων μόνον, περὶ τῆς ἐπανορθώσεως ὅμως τῆς καρδίας οὐδεὶς λόγος.

§. 30. *Γενικὰ πορίσματα καὶ στοχασμοί.*

Οὕτω καὶ σύντομος θεωρία περὶ τῆς ἠθικῆς καταστάσεως ἀνθρώπων, μὴ τῷ φωτὶ τῆς θείας ἀποκαλύψεως φωτισθέντων, πείθει ἡμᾶς, ὅτι ἡ πρωτόγονος θρησκεία ἐν τῷ ἀνθρωπίνῳ γένει ἤδη διεφθαρμένη διατελεῖ· οὔτε γὰρ παρὰ τοῖς Ἰουδαίοις οὔτε τοῖς Μωαμεθανοῖς ἀπαντῶμεν ὀρθὴν περὶ Θεοῦ γνῶσιν καὶ ὀρθὴν λατρείαν. Μετὰ δὲ ταῦτα φυσικώτατόν ἐστιν, εἰ τοιαύτη θρησκεία οὐ προσάγει τοὺς ἀνθρώπους καὶ πρὸς τοὺς ὑψηλοὺς σκοποὺς εἴτε ἀποτελέσματα, πρὸς ἃ ὤφειλε προσάγειν. Τὸ μὲν πρῶτον τέλος καὶ συμπέρασμα τῆς θρησκείας, ὥσπερ εἴρηται, ἡ μυστηριώδης ἐστὶν ἕνωσις τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν, δυνατὴ οὖσα ἀπὸ τοῦ ἀνθρώπου ὑπὸ τὸν ὅρον τῆς ἀληθοῦς εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν Θεὸν πίστεως, ἀληθοῦς ἀγάπης καὶ ἀληθοῦς ἐλπίδος, ἐκφραζομένων ἐν τῇ ἀξίᾳ ἐξωτερικῇ λατρείᾳ καὶ τῷ εὐσεβεῖ βίῳ. Παρὰ τοῖς ἐθνικοῖς ὅμως, τοῖς νέοις Ιουδαίοις καὶ Μωαμεθανοῖς οὐδὲν τούτων ἐστί, καὶ ἀδύνατον κατ' αὐτὴν τὴν οὐσίαν τῆς αὐτῶν διδασκαλίας καὶ πάσης τῆς διατάξεως ὑπάρξαι. Τίς δὲ καὶ ἡ πρὸς τὸν Θεὸν κοινωνία δύναται παρὰ τούτοις εἶναι; *τίς κοινωνία φωτὶ πρὸς σκότος* (β'. Κορ. ϛ', 14); Τὸ δὲ δεύτερόν ἐστιν ἡ τοῦ Θεοῦ ἐν τοῖς ἀνθρώποις δόξα· ἀλλ' ὁ Θεὸς δοξάζεσθαι ἐν αὐτοῖς δύναται μόνῃ τῇ ὀρθῇ εἰς αὐτὸν πίστει, τῇ ὀρθῇ λατρείᾳ, μάλιστα δὲ τῷ εὐσεβεῖ βίῳ· καὶ ταῦτα οὐχ οἷοί εἰσιν οἱ ἐθνικοὶ ἐκτελέσαι, οὔτε οἱ νέοι Ἰουδαῖοι, οὔτε οἱ Μωαμεθανοί. Τίς δὲ ὑποστηρίξει, ὅτι δύναται ἐν αὐτοῖς καὶ τὸ θεῖον ὄνομα δοξασθῆναι; Τὸ δὲ τρίτον ἡ εὐτυχία ἐστὶ καὶ μακαριότης τοῦ ἀνθρώπου· ἀλλὰ πότε καὶ ποῦ εὐτυχὴς ἦν ὁ ἄνθρωπος, ἐννοεῖται, μὴ τῷ φωτὶ τῆς θείας ἀποκαλύψεως φωτισθείς; Τίνα δὲ χρόνον καὶ ἐν τίνι χώρᾳ οὐκ ἐμεμψιμοίρησεν, οὐκ ᾐσθάνετο ἐν ἑαυτῷ, τοὐλάχιστον ἔν τινι χρόνῳ, τοῦ πικροῦ καμάτου τοῦ πνεύματος, τῆς καταπονηθείσης μάχης τῶν δυνάμεων καὶ παθῶν, οὐ πεῖραν ἔλαβε τῶν ἀθλιοτήτων καὶ θλίψεων παρὰ τῶν ἑαυτοῦ πλησίον, οὐχ ὑπέκυψε πολυαρίθμοις δυστυχίαις ἐξ αὐτῆς τῆς ἐξωτερικῆς φύσεως; Ἡ ἱστορία προσώπων τινῶν, ἡ ἱστορία ὅλων βασιλείων καὶ λαῶν, ἡ ἱστορία ἅπαντος τοῦ ἀνθρωπίνου γένους ὅμοιαί εἰσι τῇ ὑπὸ τοῦ προφήτου Ἰεζεκιὴλ ὁραθείσῃ κεφαλίδι βιβλίου, *ἐν ᾗ ἐγέγραπτο θρῆνος καὶ μέλος καὶ οὐαί* (Ἰεζ. β', 10). Αὐτὴν δ' ἀναγινώσκων, ἄκων αἰσθάνῃ, ὅτι οἱονεὶ βάσανός τις οὐρανία, φοβερά, ἄφυκτος ἐπὶ τὸν δυστυχῆ ἄνθρωπον ἐπέρχεται.

Τί δὲ δηλοῖ ἡ οἰκτρὰ αὕτη τῆς θρησκείας καὶ αὐτοῦ τοῦ ἀνθρώπου κατάστασις ἐν τῷ ἀνθρωπίνῳ γένει; Πόθεν αὕτη; Ὁ παντέλειος, πανάγιος καὶ πανάγαθος ἀδιστάκτως οὐκ ἠδύνατο τὸν ἄνθρωπον πλάσαι τοσούτῳ ἀτελῆ, ὡσανεὶ διὰ μόνας δυστυχίας καὶ πάθη· ὁ ἀληθὴς καὶ πιστὸς οὐκ ἠδύνατο αὐτὸς τὴν διαθήκην ἀρνήσασθαι, εἰς ἣν ηὐδόκησεν ἐν ἀρχῇ τὸν ἄνθρωπον καλέσαι. Εἰ ἡ διαθήκη παρεβιάσθη, ὑπὸ τοῦ ἀνθρώπου παρεβιάσθη, ὅστις, ὥσπερ ὢν ἐλεύθερον καὶ πεπερασμένον, τηρῆσαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἠδύνατο αὐτὴν καὶ παραβῆναι, οὗ ἕνεκα ἀναποδράστως εἰς τὴν ἐνεστῶσαν ἐλθεῖν τύχην. Ἡ δὲ ἱερὰ ἱστορία (Γεν. κεφ. γ′) καὶ πάντων τῶν ἐθνῶν αἱ παραδόσεις[82] ὄντως καὶ μαρτυροῦσιν, ὅτι ὁ ἄνθρωπος αὐτὸς παρέβη τὴν θείαν διαθήκην ἔτι ἐν ἀρχῇ, παρώργισε τὸν ἑαυτοῦ Δημιουργὸν καὶ δυστυχὴς ἐγένετο.

Ἤδη δὲ ἡμῖν δεῖ τὸ ὀρθὸν δεῖξαι τῆς δευτέρας ἡμῶν θέσεως, ἣν παντοίως προθυμοῦνται οἱ φυσισταὶ ἀνασκευάσαι, τῆς δε.

## Β′.

## Οὐδεμία ἀνθρωπίνη σοφία οἵα ἐστὶ τοὺς ἀνθρώπους ἐκ τῆς οἰκτρᾶς καταστάσεως τῆς θρησκείας ἐξαγαγεῖν ἐκτὸς τῆς ὑπερφυσικῆς θείας ἀρωγῆς.

§. 31. *Τί πρὸς τοῦτο ἀναγκαῖον;*

Ἀπαιτεῖται α′. φωτίσαι τὸ ἀνθρώπινον γένος τῷ φωτὶ τῆς ἀληθοῦς διδασκαλίας τῆς θρησκείας· ἐνταῦθα ἀρχή ἐστι πρὸς τὴν σωτηριώδη μεταβολήν· β′. καταλλάξαι τοὺς ἀνθρώπους τῷ Θεῷ, ὃν ἀπείρως παρεπίκραναν τῇ ἑαυτῶν πτώσει ἀπὸ τῆς πρωτογόνου διαθήκης, καὶ οὕτως ἀποκαταστῆσαι τὴν διαθήκην ταύτην· ᾧδε τὸ κέντρον ἐστὶ τῆς σωτηριώδους μεταβολῆς· γ′. ἐπανορθῶσαι τὴν ἀνθρωπίνην ἠθικήν, καὶ ἐκ πονηρῶν καὶ διεφθαρμένων ποιῆσαι ἀνθρώπους ἀγαθοὺς καὶ ἁγίους· ἐνταῦθα δὲ τὸ πέρας τῆς σωτηριώδους μεταβολῆς. Μετὰ δὲ τὴν ἐκπλήρωσιν τῶν τριῶν τούτων ὅρων ἐκ νέου ὁ ἄνθρωπος εἰσελεύσεται εἰς τὴν μυστηριώδη ἕνωσιν καὶ κοινωνίαν τῷ Θεῷ πρὸς θείαν δόξαν καὶ ἰδίαν μακαριότητα. Ἀλλὰ τοῦτο δὴ καὶ οὐχ οἷος ὁ ἄνθρωπος ἰδίαις ποιῆσαι δυνάμεσιν.

§. 32. *Οὐχ οἵα ἐστὶν ἡ ἀνθρωπίνη σοφία φωτίσαι τοὺς ἀνθρώπους τῷ φωτὶ τῆς ἀληθοῦς διδασκαλίας τῆς θρησκείας.*

α′. Διότι αὕτη οὐδέποτε ἐντελῶς ἔγνω, καὶ ἐντελῶς

[82] Moeurs et institutions des peuples de l'Inde par Dubois, tom. II, c. 12; tom. III, c. 6. Vues des Cordillières etc. par M. de Humboldt, tom. 1, p. 235; Memoires, concernant les Chinois, tom. I, p. 106, 107; Zendavesta, edita a Kleukero, tom. I, p. 25. III, p. 84. *Κατὰ δὲ τὴν ὁμολογίαν αὐτοῦ τοῦ Βολταίρου ἡ τοῦ ἀνθρώπου πτῶσις βάσις ἐστὶ τῆς θεολογίας πάντων σχεδὸν τῶν ἀρχαίων ἐθνῶν* (Vid. Philos. de l'histoire c. 17.).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γνῶναί ποτε οἷα ἐστὶ τὴν διδασκαλίαν ταύτην, ἧς κύριαι ὑποθέσεις ὁ Θεός, ὁ προορισμὸς τοῦ ἀνθρώπου, ἡ τῆς ψυχῆς ἀθανασία, ἡ ἀρχὴ τοῦ ἠθικοῦ κακοῦ κτλ., ὑποθέσεις τῆς πείρας ὑπέρτεραι καὶ ἐν τῇ ἐνεστώσῃ ἡμῶν καταστάσει ἀμέσως ἀπρόσιτοι τῷ ἡμῶν νῷ, καὶ ὁρώμεναι ὑφ' ἡμῶν μόνον ἐκ μέρους δι' ἐσόπτρου ἐν αἰνίγματι (α'. Κορ. ιγ', 12)· διὸ ἀλάνθαστοι καὶ ἀναντίῤῥητοι γνώσεις οὐ δύνανται τῷ ἀνθρώπῳ εἶναι, καί τοι οὐδαμῶς ἀρνούμεθα, στεῤῥῶς τοῦ θείου ἐχόμενοι λόγου (Πράξ. ιδ', 17· Ῥωμ. α'. 20) καὶ τῆς παγκοίνου πείρας, ὅτι κατά τι δύναται ὁ ἄνθρωπος ἐπιγνῶναι καὶ τὰς ὑψίστας ταύτας ὑποθέσεις. Διὸ πάντες καὶ οἱ κρείττονες φιλόσοφοι, ἀρχαῖοί τε καὶ νέοι οὐκ ἦσαν ἀλλότριοι πλανῶν περὶ τῶν ἀληθειῶν τῆς θρησκείας, καὶ πλανῶν οὐ σπανίως λίαν ἀγροίκων καὶ κινδυνωδῶν[83]. Τινὲς δὲ τούτων τῶν σοφῶν ὡμολόγουν τὴν ἀσθένειαν τοῦ ἀν-

[83] Nihil tam absurde dici potest, λέγει ὁ Κικέρων, quod non dicatur, ab aliquo Philosophorum (de Divin. II, 58). Εἰδικῶς δέ, π. χ. ὁ Σωκράτης καὶ Πλάτων, εἰς ἕνα ὑπέρτατον Θεὸν πιστεύοντες, ἀπεδέχοντο καὶ κατωτέρους θεούς, ἐδίδασκον ἁγίως τοὺς πατρίους τιμᾶν θεοὺς καὶ μὴ τὴν τοῦ λαοῦ θρησκείαν ἀλλοιοῦν. Καὶ ἐκεῖνος μὲν ἐδίσταζεν εἰς τὴν ἀθανασίαν τῆς ψυχῆς, οὗτος δὲ διέφθειρε τὴν σοβαρὰν ταύτην ἀλήθειαν τῇ διδασκαλίᾳ περὶ μετεμψυχώσεως· τὸ δὲ κακὸν ἐκ τῆς ὕλης παρήγαγε κτλ. Καὶ ὁ Ἀριστοτέλης ἀσαφῶς περὶ Θεοῦ λέγει, ὥστε πολλοὶ ἄθεον αὐτὸν ἐνόμισαν· ἀπεδέχετο δὲ τὴν αἰωνιότητα τῆς ὕλης, τὴν πρόνοιαν τοῦ Θεοῦ περιώριζεν εἰς μόνους τοὺς οὐρανούς, ἐδίσταζεν εἰς τὴν ἀθανασίαν τῆς ψυχῆς κτλ. Ὁ δὲ Ζήνων ὑπέβαλλε τὸν Θεὸν καὶ τὸν ἄνθρωπον τῇ μοίρᾳ· ὁ Κικέρων ἀπεδέχετο πολλοὺς θεούς, ἀμφεταλαντεύετο περὶ τῆς ἀθανασίας τῆς ψυχῆς, καὶ σὺν τῷ Ἐπικτήτῳ ἀναγκαῖον ὡμολόγει τοὺς πατρίους σέβεσθαι θεούς. Ἐν δὲ τοῖς νέοις φιλοσόφοις ἀπαντῶμεν καὶ ὑλιστάς, καὶ ἀθεϊστάς, καὶ πανθεϊστάς, καὶ σκεπτικούς, ἅπαντας, καί τοι ἀνομοίως, ὑποσκάπτοντας αὐτὰς τῆς θρησκείας τὰς βάσεις. Οὐκ ἀναγκαῖον ὅμως θεωροῦμεν τῶν ὀνομάτων αὐτῶν μνησθῆναι καὶ ἀκριβῶς τὰς αὐτῶν πλάνας δεῖξαι· καὶ τοῖς μὲν εἰδήμοσι τῆς ἱστορίας τῆς φιλοσοφίας τοῦτο ἐντελῶς γνωστόν, τοὺς δὲ ἀδαεῖς ἔξεστι προτρέψαι ἱστορίαν τινὰ τῆς φιλοσοφίας ἀναγνῶναι, καὶ πεισθήσονται, μέχρι τίνος οἱ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν (Ῥωμ. α' 22). Σημειωτέον δέ, ὅτι καὶ οἱ ἐθνικοὶ φιλόσοφοι, τοὺς πρώτους τοῦ χριστιανισμοῦ αἰῶνας ἀκμάσαντες, τὰ κάλλιστα τῶν ἐν τοῖς ἑαυτῶν συστήμασι κυρίως ἐκ τῶν Χριστιανῶν ἠρύσαντο (v. dissert. de studio Ethnicorum Christianos imitandi, a Mosheim. Helmstad. 1729). Καὶ οἱ νέοι Χριστιανοὶ σκεπτικοί, κατὰ τὴν ἰδίαν τινῶν αὐτῶν μαρτυρίαν (Λεϊβνιτίου, Βολφίου κτλ.), τῇ ἁγίᾳ Γραφῇ τὰς κρείττους αὐτῶν ἰδέας ὀφείλουσιν.

θρωπίνου νοῦ πρὸς ὑποθέσεις θείας καὶ δὴ καὶ τὴν ἀνάγκην οὐρανίας ἀρωγῆς.

β΄. Διότι, ἕνεκα τοῦ ἀπροσίτου καὶ ἀκαταλήπτου τῷ νῷ τῶν κυρίων τῆς θρησκείας ὑποθέσεων, αὐτοὶ οἱ φιλόσοφοι οὐκ ἠδύναντο, οὔτε δύνανται εἰς τὴν ἀλήθειαν τῶν ἐννοιῶν ἑαυτῶν περὶ αὐτῆς πεισθῆναι ἀδιστάκτως, καί τοι αὗται ἔστιν ὅτε ὄντως ἀληθεῖς ἦσαν[84]· ἄνευ δὲ τῆς πεποιθήσεως εἰς τοὺς λογισμοὺς αὐτῶν τί δυνατόν ἐστι ποιῆσαι πρὸς αὐτῶν διάδοσιν;

γ΄. Διότι οἱ φιλόσοφοι οὐχ ὑπέμενον διὰ τοῦτο τὸ προσῆκον τόλμημα καὶ τὸ αὐταπάρνητον, εἰ καὶ πεπεισμένοι εἰς τὰς ἑαυτῶν πεποιθήσεις ἦσαν. Κηρύξαι γὰρ πρὸς τοὺς ἀνθρώπους νέαν θρησκείαν καὶ ἐξαναγκάσαι τὰς δυσειδαιμονίας τῶν προπατόρων ἀρνήσασθαι ἀνάγκη μεγίστους πόνους καὶ θυσίας τολμῆσαι, ἴσως καὶ θυσίας αὐτῆς τῆς ζωῆς, ὥσπερ καὶ ἀπέδειξεν ἡ ἱστορία τῆς διαδόσεως τῆς χριστιανικῆς θρησκείας· καὶ πρὸς ταῦτα τίς ἱκανός (β΄. Κορ. β΄. 16); Οὐδένα δὲ τῶν ἀρχαίων σοφῶν γινώσκομεν, οἵ τινες ἐν τῇ ἠρεμίᾳ τοῦ ἑαυτῶν οἰκήματος θρασέως κατεγέλων τὰς δεισιδαιμονίας τοῦ ὄχλου, καὶ περὶ Θεοῦ ἔλεγον· προκειμένου ὅμως τὴν ἑαυτῶν γνώμην κοινῇ ἀποφήνασθαι, προσποιηταῖς πεποιθήσεσιν ὡμίλουν περὶ θεῶν, καὶ ἐκήρυσσον, ὅτι δεῖ τὰ ἄψυχα προσκυνεῖν εἴδωλα, θυσίας αὐτοῖς προσφέρειν, ἁγίως πάσας τὰς περὶ θρησκείας παραδόσεις τῶν προπατόρων τηρεῖν[85].

---

[84] Οἷον. Μέλισσος ὁ Σάμιος (παρα Διογ. Λαερτ. δ΄, §. 21). Σωκράτης (Ξενοφ. ἀπομνημ. βιβλ. δ΄, καὶ Πλάτ. διάλ. "Ἀλκιβιάδης"), Πλάτων (ἐν Ἐπιμενίδῃ), Κικέρων, ὃς λέγει. (Quaest. Tuscul. bib. III.). Ex philosophis nonne optimus et gravissimus quisque confitetur, multa se ignorare. Ὁ δὲ Ἰάμβλιχος (in vita Pythagorae cap. 28). Quae Deo grata sunt, scire difficile est, nisi quis vel Deum ipsum, vel eum, qui Deum audit, audinerit, et cet.

[85] Τοῦτο ὡμολόγουν καί τινες τῶν φιλοσόφων. Harum sententiarum quae vera sit, ἔλεγεν ὁ Κικέρων, ποικίλας ἐπεξελθὼν γνώμας τῶν σκεπτικῶν περὶ τῆς ἀνθρωπίνης ψυχῆς, deus aliquis siderit, quae veriosimillima, magna quaestio est (Tuscul. Quaest. I., §. 23); ταὐτὸ λέγει καὶ περὶ τῶν γνώσεων ἡμῶν περὶ Θεοῦ (lib. I., de nat. deor.) καὶ περὶ ἀθανασίας ψυχῆς (Tuscul. Quaert. 1, C. 11), περὶ οὗ ἀκριβῶς καὶ Σενέκας λέγει (Epist. 102.).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πυθαγόρας[86] καὶ Πλάτων[87], ὁ νεωτεριστὴς Κόττας[88] καὶ Κικέρων[89], Ἐπίκτητος[90] καὶ Μάρκος Ἀντωνῖνος[91] ἐναργέστατα ἀπεφαίνοντο τὴν ἐσχάτην ταύτην δόξαν, καὶ προεθυμοῦντο αὐτὴν ἀποδεῖξαι· ὁ δὲ Κικέρων διϊσχυρίζετο μάλιστα, ὅτι οὕτω πράττειν αὐτὴ διατάσσει ἡ σοφία[92].

δ'. Ἕνεκα τῆς μεγάλης διαφωνίας τῶν φιλοσόφων καὶ τῶν φιλοσοφικῶν σχολῶν, ὥσπερ ἐν πᾶσιν, οὕτως ἰδίᾳ καὶ ἐν ταῖς περὶ θρησκείας διδασκαλίαις αὐτῶν. Ὁ τὴν ἱστορίαν τῆς φιλοσοφίας εἰδὼς γινώσκει, ὅτι αἱ διαφωνίαι αὗται οὐδέποτε ἔπαυσαν ἀπὸ τοῦ πρώτου φιλοσόφου τῆς ἀρχαιότητος μέχρι τῶν χρόνων ἡμῶν, καὶ συχνάκις καὶ τοὺς ἀρχαιοτέρους καὶ τοὺς νεωτέρους χρόνους τὸ παρὰ μόνων τῶν σκεπτικῶν προσλαμβανόμενον ὡς ἀδίστακτος ἀλήθεια παρ' ἄλλοις ἐντελῶς ψεῦδος ἐνομίζετο[93]. Προσθετέον δέ, ὅτι οὐδέποτε ταῖς διαφωνίαις ταύταις τέλος ἔσται α'. τὸ μὲν ἕνεκα τῆς ἰδιότητος τοῦ ἀνθρωπίνου νοῦ· οὗτος γὰρ καὶ ἑκάστου εἰδικῶς ἀνθρώπου κατὰ τὰς διαφόρους βαθμίδας καὶ περιστάσεις τῆς ἑαυτοῦ ἀναπτύξεως, συνεχέστατα τοὺς διαλογισμοὺς περὶ τῶν αὐτῶν ὑποθέσεων μεταβάλλει, καὶ ἑαυτῷ

---

[86] Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται, τίμα· λέγει ὁ πρῶτος στίχος τῶν καλουμένων χρυσῶν ἐπῶν τοῦ Πυθαγόρου.

[87] Πλάτων. ἅπαντ. σελ. 700-702. ἐκδ. Ficis. Lugdun. 1590.

[88] Ego vero, λέγει, eas (τὰς πεποιθήσεις τῶν προπατόρων) semper defendam semperque defendi: nec me ex ea opinione, quam a majoribus accepi, de cultu deorum immortalium ullius unquam oratio, aut docti aut indocti movebit. παρὰ Κικέρ. de nat. Deor. III., c. 2, pag. 266.

[89] Cicero, de Legib. 11, cap. 8, pag. 100.

[90] Ἐπικτήτου Ἐγχειρίδιον Κεφ. 31.

[91] Ammian Marcell. XXV, pag. 427, Paris, 1681.

[92] Majorum instituta tueri sacris caeremoniisque retinendis sapientis est. Cicero, de Divinat. II, cap. 72.

[93] Κάλλιστα περὶ τούτου ἀπεφήνατο καὶ Λακτάντιος (Divin. Instit. lib. 7.). Facile est docere, pene universam veritatem per philosophos et sectas esse divisam ..., nullamqua sectam fuisse tum deviam, nec philosophorum quemquam tam inanem, qui non viderit aliquid ex vero. Sed dum contradicendi studio insaniunt, dum sua etiam falsa defendunt, aliorum etiam vera subvertunt non tantum elapsa illis veritas est, quam se quaerere simulabant, sed ipsi etiam potissimum suo vitio perdiderunt.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἀντιλέγει· τοσούτῳ δὲ μᾶλλον ἀναπόδραστον τοῦτο ἐν τοῖς νόοις διαφόρων προσώπων πρὸς ἀλλήλους καὶ κατὰ τὰς διαφόρους ἰδιότητας, τὴν ἀνατροφὴν καὶ ἄλλας περιστάσεις· β΄. καὶ μᾶλλον διότι ἐν τῇ φιλοσοφίᾳ οὐδέν ἐστι κριτήριον, ἐν ᾧ τελειωτικῶς ἂν δύνωνται αἱ τῶν σκεπτικῶν ἔριδες λύεσθαι, καὶ οὗ ἂν τὴν ἀπόφασιν πάντες σέβωνται, ὥσπερ ἀναντιῤῥήτως ἀληθῆ καὶ ἀμετάβλητον· γ΄. ἕνεκα τῆς ἰδιότητος τῆς ἀνθρωπίνης φιλαυτίας, καὶ μάλιστα τῆς τῶν λογίων, ἰσχυρωτάτης καὶ ἐρεθιστικωτάτης πάντων τῶν εἰδῶν τῆς φιλαυτίας οὔσης. Τούτων δ' οὕτως ἐχόντων, τί δύνανται οἱ φιλόσοφοί ποιῆσαι, εἰ καὶ ἁπάσας ἀνεδέχοντο τὰς θυσίας πρὸς μετάδοσιν τῆς φιλοσοφικῆς αὐτῶν θρησκείας τῷ ἀνθρωπίνῳ γένει; Ὅ τι οἱ μὲν κτίζοιεν, οἱ δὲ τοῦτο ἀνατρέποιεν· καὶ μηδεὶς ἂν γνώσκοι τίνι αὐτῶν ἀκολουθῆσαι· θεωρήσας δὲ τὰς διαφωνίας αὐτῶν οὐδενὶ δήπου ἀκολουθήσειε. Καὶ μόνον τὸ κώλυμα τοῦτο, ἐξαιρέσει πάντων τῶν ἄλλων, ἀδύνατον ἂν ποιήσειε πᾶσαν ἐπίδοσιν εἰς τὸ ἐπιχείρημα τῶν σοφῶν.*

*Ἡ ἐσχάτη τέλος αἰτία τῆς φανερᾶς ματαιότητος τοιαύτης ἀποπείρας ἐστὶ τοῖς φιλοσόφοις ἡ ἔλλειψις κύρους πρὸς μετάδοσιν τοῖς ἀνθρώποις τῶν ἐννοιῶν αὐτῶν περὶ θρησκείας· ἀφελεῖν δὲ ἀπὸ τῶν λαῶν τὰς προτέρας πατρίους ἀρχαίας δόξας, ἃς θεωρεῖν εἰώθεσαν, ὥσπερ γεγονότα ὑπ' αὐτοῦ τοῦ Θεοῦ, καὶ εἰς τοὺς νόας καὶ τὰς καρδίας αὐτῶν ἐνθεῖναι νέας πεποιθήσεις, ἃς αὐτοῖς ἁπλοῦς ἐμβάλλει ἄνθρωπος, ἐν πᾶσιν ὅμοιος αὐτοῖς, ἐντελῶς ἀδύνατον.* „Nihil ponderis, *λέγει ὁ Λακτάντιος*, habent ista praecepta, quia sunt humana, et auctoritate majore, id est, divina, illa carent. Nemo igitur credit, quia tam se hominem putat esse, qui audit, quam est ille, qui praecipit"[94].

*Ὅθεν, εἰ αὐτοὶ οἱ φιλόσοφοι τὴν ἀληθῆ περὶ Θεοῦ διδασκαλίαν ἐγίνωσκον, καὶ ἐνδομύχως εἰς αὐτὴν πεποιθότες, μεταδοῦναι ἠβούλοντο ἄλλοις τὰς ἑαυτῶν γνώσεις, καὶ εἰ ὁμοθυμαδὸν ἐνήργουν, μηδαμῶς ἂν ἐπεδόδεσαν εἰς τὸ ἑαυτῶν ἐπιχείρημα.*

[94] Lactant. Divin. Instit. III., cap. 27. *Ὁπόσον δὲ κῦρος ἐν τῷ λαῷ εἶχον οἱ ἀρχαῖοι φιλόσοφοι, σαφῶς λέγει ὁ Κικέρων.* Tuscul. Quaest. 1, cap. 1. V, cap. 2.

§. 33. *Οὐχ οἵα ἐστὶν ἡ ἀνθρωπίνη σοφία τοὺς ἀνθρώπους τῷ Θεῷ καταλλάξαι.*

Οὐχ οἵα ἦν καὶ οὐκ ἔστιν ἀνθρωπίνη σοφία ἀληθὲς μέσον ἐπινοῆσαι πρὸς ἐξιλέωσιν τῆς θείας δικαιοσύνης διὰ τὰς ἁμαρτίας ἡμῶν, πρὸς καταλλαγὴν τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν, πρὸς ἀνακαίνισιν τῆς μεταξὺ αὐτῶν διαθήκης. Ἄλογος δ' ὄντως ἦν ἡ γνώμη τινῶν, οἰομένων ἑαυτοὺς ἐνώπιον τοῦ Θεοῦ ἀποκαθᾶραι τῶν ἁμαρτωλῶν μολυσμῶν ταῖς σαρκικαῖς λούσεσιν[95], ὅπερ καὶ αὐτοὶ κατεγέλων οἱ ἐθνικοί[96]. Ἄλογος ἦν καὶ ἡ πάγκοινος τῶν ἐθνικῶν πίστις, ὅτι δῆθεν ἡ θεότης, ἐκ τῶν ἀνθρωπίνων ἐρεθισθεῖσα ἁμαρτιῶν, ταῖς προσφοραῖς ἐξιλάσκεται καὶ δὴ τοῖς θυσιαζομένοις ζώοις· ἀλλ' οὐ πολλοῦ δεῖ τὴν ὀρθότητα τούτων τῶν λόγων τοῦ ἁγίου Ἀποστόλου ἐπιγνῶναι· *ἀδύνατον αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας* (Ἑβρ. ι', 4), ὡς καὶ οἱ εὖ φρονοῦντες τῶν ἐθνικῶν ᾐσθάνοντο[97]. Εἰ δὲ αἱ τῶν Ἑβραίων θυσίαι τὴν ἑαυτῶν δύναμιν καὶ σημασίαν εἶχον, εἶχον ταύτας, διότι αὗται προεικόνισμα ἦσαν τῆς παγκοσμίου Θυσίας, τῆς ἐπὶ τοῦ Γολγοθᾶ προσενεχθείσης (Ἑβρ. θ', 13, 14· ι', 1· ιβ', 24). Ἀβάσιμός ἐστι τέλος καὶ ἡ τῶν φυσιστῶν διδασκαλία[98], διϊσχυριζομένων, ὅτι πρὸς ἐξιλέωσιν τοῦ ἀνθρώπου τῷ Θεῷ ἡ ἀληθὴς τοῦ ἀνθρώπου μετάνοια καὶ ἡ τοῦ βίου ἐπανόρθωσις ἄνευ παντὸς ἀλλοτρίου βοηθήματος ἐπαρκοῦσιν. Ἀλλ' ἡ μὲν μετάνοια οὐδέποτε ἐξαλείψει τὰς ἤδη ὑφ' ἡμῶν πεπραγμένας ἁμαρτίας καὶ τὰ ἀπομείναντα ἐν τῇ φύσει ἡμῶν ἀποτελέσματα· διὸ κατὰ τὸ ἀρχαῖον ἐμμένομεν *τέκνα φύσει ὀργῆς θείας* (Ἐφ. β', 3)· ἡ ἁμαρτία ἀεὶ καὶ ἐν πᾶσιν ἐναντία ἐστὶ καὶ ὑβριστικὴ τῷ ἁγιωτάτῳ Ὄντι· Ἡ δὲ τοῦ βίου ἐπανόρθωσις καὶ τὰ καλὰ ἡμῶν ἔργα οὐ δύνανται ἀνταλλαγὴ εἶναι καὶ ἀνταπόδοσις ἀντὶ τῶν προτέρων ἡμῶν ἁμαρτημάτων, ἐνώπιον τοῦ κριτηρίου τῆς αἰωνίας Ἀληθείας· τὰ γὰρ καλὰ ἔργα, ἃ πράττειν, ὑποθέσωμεν, ἠρξάμεθα ἔκ τινος χρόνου, ὀφείλουσιν ὑπὲρ ἑαυτῶν ἐγγυᾶσθαι·

---

[95] *Παρὰ Σοφοκλ. Αἴας μαστιγοφ. στίχ.* 665.

[96] *Εὐριπίδ. παρὰ Στοβαίῳ λόγ.* 4. Ovid. fast. 245.

[97] Cicer. de Legib. II., cap. 9.

[98] *Καντίου καὶ ἄλλων.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτο γὰρ καθῆκον ἡμῶν ἐστιν, αἱ δὲ πρότεραι ἡμῶν ἐνοχαὶ μένουσιν ἐνοχαί[99]. Ἀλλ' ἆράγε δυνατὴ ἡ ἐπανόρθωσις τοῦ βίου, ὃ κυριώτατον, ἡ ἠθικὴ αὕτη ἀναγέννησις, τῷ πεπτωκότι ἀνθρώπῳ μόναις ταῖς ἰδίαις δυνάμεσιν;

§. 34. *Οὐχ οἵα ἡ ἀνθρωπίνη σοφία τὴν ἀνθρωπίνην ἐπανορθῶσαι ἠθικήν.*

Εἰ ἡ ἀνθρωπίνη σοφία οὐκ ἠδυνήθη, καὶ οὔτε δύναται τοὺς ἀνθρώπους φωτίσαι τῷ φωτὶ τῆς ἀληθοῦς θεογνωσίας, οὐδὲ μέσα ἐπινοῆσαι εἰς καταλλαγὴν τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν, οὐχ ἧττον ἀδυνατεῖ τὴν ἠθικὴν τοῦ ἀνθρώπου κατάστασιν ἐπανορθῶσαι.

Καὶ πρῶτος μὲν ὅρος τῆς ἐπανορθώσεως ἀδιστάκτως ἐστὶ τὸν ἠθικὸν ἐπιγνῶναι νόμον, καὶ ὀρθῶς αὐτὸν ἑρμηνεῦσαι, ὅρος κατὰ τὸ φαινόμενον οὐ πολὺ δυσχερής· ὁ γὰρ ἠθικὸς νόμος βαθέως ἐγκεχάρακται ἐν τῇ συνειδήσει ἡμῶν καὶ τοσούτῳ ἐγγύς ἐστι τῇ καρδίᾳ ἡμῶν, ὥστε καταληπτός ἐστι τῷ ὑγιαίνοντι νῷ. Ὅμως κατὰ τὴν μαρτυρίαν πειρῶν τινων ἐν τῇ ἑρμηνείᾳ τοῦ νόμου τούτου καὶ τῇ ἐφαρμογῇ αὐτοῦ πρὸς εἰδικὰς τοῦ βίου περιστάσεις καὶ οἱ διασημότεροι σκεπτικοὶ ὑπέπιπτον εἰς μεγάλα ἁμαρτήματα. Πόσον συχνῶς ἀπαντᾷ τις μετὰ τῶν ἀρίστων ἠθικῶν κανόνων, φεγγόντων καὶ ἐν ταῖς ἀρχαίαις καὶ δὴ ταῖς νέαις φιλοσοφικαῖς ἠθικαῖς διδασκαλίαις, κανόνας ψευδεστάτους καὶ τῇ ἠθικῇ ἐπικινδυνωδεστάτους![100]

Δεύτερος δὲ σὺν τῷ νόμῳ δοῦναι καὶ ἐπαρκεῖς παρορμήσεις πρὸς ἐκπλήρωσιν αὐτοῦ, αἵτινες ἂν ἐξαγάγωσι τὸν ἄνθρωπον ἐκ τῶν προτέρων ἁμαρτημάτων, κωλύσωσιν αὐτὸν νέων καὶ ἀναγκάσωσιν αὐτὸν τὴν ἀρετὴν ἀγαπᾶν. Τοιαύτας ὅμως παρορμήσεις

---

[99] Βλ. ἄρθ. Κριτικὴ τῆς τοῦ Καντίου θρησκείας ἐν τοῖς ὁρίοις τοῦ καθαροῦ λογικοῦ, καταχωρ. ἐν τῷ περιοδ. συγγράμματι τοῦ Ὑπουρ. τῆς παιδείας (ἐν Ῥωσσίᾳ).

[100] Ἀντὶ τοῦ ἀκριβῶς ἀπαριθμῆσαι τὰ πλημμελήματα τῶν διαφόρων φιλοσοφικῶν ἠθικῶν μνησθῶμεν τὴν λόγου ἀξίαν περὶ αὐτῶν ἀπόφανσιν τοῦ Καντίου, ὅς, αὐτὰς αὐτῶν τὰς ἀρχὰς παρατηρήσας ἐν τῇ κριτικῇ τοῦ πρακτικοῦ λόγου, ἐκάλεσεν αὐτὰς τὰς ἀρχὰς τῆς ἠθικῆς (αὐτὰς τὰς ἀρχάς!) ἀηθεῖς.

οὐ τοῦ νοῦ ἡμῶν, εἰς μόνους τοὺς ἰδίους λογισμοὺς ἀφεθέντος, ἐπινοῆσαι· τί γὰρ διὰ τοῦτο οἷός ἐστιν ὁ νοῦς ἡμῖν δεῖξαι τὴν ὑψηλὴν τοῦ ἠθικοῦ καθήκοντος ἐπίγνωσιν, τὴν ὑπεροχὴν τῆς ἀρετῆς καὶ τὴν ταπεινότητα τοῦ ἁμαρτήματος, τὴν φωνὴν τῆς συνειδήσεως, ἀμοιβούσης ἀντὶ τῆς ἀρετῆς καὶ κολαζούσης διὰ παρανομίαν; Αἱ εὐγενέσταται δ᾽ αὗται παρορμήσεις οὐδεμίαν σχεδὸν ἐπίῤῥοιαν ἔχειν δύνανται ἐπὶ πολλούς, εἰς τὴν ἡδυπάθειαν βεβυθισμένους καὶ ὑπὸ τῶν παθῶν φερομένους, πρὸ τῆς αὐτῶν ἐπανορθώσεως· Ἢ δείξει, ὅτι ἡ μὲν ἀρετὴ πιστοτάτη ὁδὸς πρὸς τὴν εὐτυχίαν ἐστίν, ἡ δὲ ἁμαρτία πρὸς ὀλέθρια προσάγει ἀποτελέσματα; Ἀλλὰ τῇ ἀφιλονείκῳ ταύτῃ ἀληθείᾳ οὐ συνεχῶς ἀντιλέγει ἡ τῶν ἀνθρωπίνων τάξις; Οὐχ ὁρῶμεν ἐν τῇ πείρᾳ, ὅτι ἀθῶοι μὲν καὶ ἀγαθοὶ πάσχουσι, κακοὶ δὲ θριαμβεύουσι καὶ εὐδαιμονοῦσιν; Ἡ ἀποκάλυψις ἐδήλωσε τοῖς χριστιανοῖς τὸ αἴνιγμα τοῦτο τῆς ὑπάρξεως ἡμῶν, καὶ ἡμεῖς οὐκ ἐκπλησσόμεθα ὑπ᾽ αὐτοῦ· τί δ᾽ ἂν εἴποι κατὰ τούτου ὁ νοῦς καὶ ὑπὲρ τῆς ὑπ᾽ αὐτοῦ κηρυσσομένης ἀρετῆς;

Τέλος δὲ μνηστέον, ὅτι πρὸς ἐπανόρθωσιν τοῦ ἀνθρώπου οὐκ ἀρκεῖ μόνον αὐτῷ τὰς ἠθικὰς σαφηνίσαι ἐντολάς, καὶ ἱκανὰς δεῖξαι παρορμήσεις πρὸς τὴν ἀρετήν, ἀλλὰ καὶ δοῦναι αὐτῷ δεῖ δυνάμεις, ὧν ἐν τῇ παρούσῃ ἐφθαρμένῃ καταστάσει τῆς φύσεως αὐτοῦ στερεῖται (Ῥωμ. ζ', 14). Ὅμως οὐχ ἡμεῖς αὐτοὶ εἰσφέρομεν εἰς ἑαυτοὺς τὴν ἁμαρτίαν, ἀλλὰ γεννώμεθα ἤδη ἐν ἁμαρτίαις καὶ τῇ πρὸς αὐτὰς κλίσει, κατὰ τὸν θεῖον Λόγον (Ψαλμ. ν', 7) καὶ κατὰ τὴν ἐπίγνωσιν τῶν νουνεχεστέρων ἐθνικῶν[101]. Καὶ αὕτη ἡ κλίσις ἀναπτύσσεται ἐν ἡμῖν πρὶν ἀφικέσθαι εἰς

---

[101] Ὁ Πλάτ. (*περὶ νόμ. βιβλ. θ'*,) λέγει· *ὦ θαυμάσιε, οὐκ ἀνθρώπινόν σε κακὸν οὐδὲ θεῖον κινεῖ τονῦν ἐπὶ τὴν ἱεροσυλίαν προτρέπον ἰέναι· οἶστρος δέ ἐστί τις ἐμφυόμενος ἐκ παλαιῶν καὶ ἀκαθάρτων τοῖς ἀνθρώποις ἀδικημάτων περιφερόμενος ἀλιτηριώδης*". Σενέκας δὲ (I. cap. 6, de elementia)· peccavimus omnes, alii gravia, alii leviora; alii ex destinato, alii forte impulsi, aut aliena malitia ablati; alii in bonis consiliis parum fortiter stetimus, et innocentiam inviti ac renitentes perdidimus. Nec delinquimus tantum, sed usque ad extremum aevi delinquimus. Etiamsi quis tam bene purgavit animum, ut nihil abturbare eum amplius possit ac fallere, ad innocentiam tamen peccando pervenit, κτλ.

πλήρη χρῆσιν τῆς ἡμῶν ἐλευθερίας, εἶτα ἐνισχύεται καὶ αὐξάνει ἑκάστῃ ἑκουσίᾳ ἡμῶν ἁμαρτωλῷ ἐνεργείᾳ. Ἐμπεφυκυῖα δὲ τῇ πεπτωκυίᾳ ἡμῶν φύσει, καὶ ἐνισχυθεῖσα ὑπὸ τῶν ἁμαρτιῶν καὶ ἕξις καταστᾶσα, προσάγει ἡμᾶς εἰς τὸ μὴ οἵους εἶναι ἑαυτῶν ἄρχειν· οὐδὲ ἦν ποτε ἐν ἀνθρώποις σοφός, ὃς ἂν ἐντελὴς κύριος ἑαυτοῦ φανείη, καὶ ὄντως τοὺς σοφοὺς ἑαυτοῦ κανόνας ἐκπληρώσειεν· οὔτε φιλόσοφος, οὗ ἂν ὁ βίος μὴ δειχθείη ἔστιν ὅτε ἐν μεγάλῃ ἀσυμφωνίᾳ τοῖς οἰκείοις χείλεσι καὶ τῇ καρδίᾳ [102]. Αὕτη ἡ κλίσις, κατὰ τὸν ἀπόστολον Παῦλον, ἐστὶ νόμος ἐν τοῖς μέλεσιν ἡμῶν ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς ἡμῶν καὶ αἰχμαλωτίζων ἡμᾶς τῷ νόμῳ τῆς ἁμαρτίας (Ῥωμ. ζ', 23), καὶ αἰτία, ὥστε καὶ αὐτὸς ὁ θεῖος νόμος, τὸ φάρμακον τῆς ἁμαρτίας ὤν, ἀφορμὴ πρὸς ἁμαρτίαν καθίσταται (Ῥωμ. ζ', 7-10). Οὔτ' αὐτὸς ὁ ἄνθρωπος ἀφ' ἑαυτοῦ ἀποσπᾶσαι δύναται τὴν ἠθικὴν ταύτην διαφθοράν [103]· πρὸς τοῦτο γὰρ ἔδει αὐτῷ, οὕτως εἰπεῖν, τὴν ἰδίαν μεταπλάσαι φύσιν, ἥτις πᾶσα τῷ ἰῷ τῆς ἁμαρτίας κατείληπται. (Ἐκκλ. α'. 15· Ἱερεμ. ιγ', 23.)

Τὸ ἐκ τῶν εἰρημένων περὶ τοῦ ἀνεπαρκοῦς τῆς φυσικῆς θρησκείας ἀληθὲς συμπέρασμα πασιφανές ἐστιν· Ἐὰν γὰρ ἡ θρησκεία αὕτη ἐν οἰκτροτάτῃ μορφῇ φαίνηται ἐν τοῖς τὴν θείαν ἀποκάλυψιν ἀγνοοῦσιν, ἐὰν μηδεὶς οἷος ᾖ τὴν πεπλανημένην ἀνθρωπότητα τῷ φωτὶ τῆς ἀληθοῦς θεογνωσίας φωτίσαι, τοὺς ἁμαρτωλοὺς τῷ θεῷ καταλλάξαι, καὶ τὴν ἠθικὴν αὐτῶν ἐπανορθῶσαι, ἔσχατον λείπεται μέσον, τῆς ὑπερφυσικῆς θείας ἀρωγῆς ἐπιθυμεῖν καὶ προσδοκᾶν· Καὶ ταύτης ἐπεθύμει,

---

[102] Ἡ τοῦ Κικέρωνος ἀπόφανσις περὶ τῶν ἀρχαίων φιλοσόφων αὕτη ἐστίν· Quotus enim quisque philosophorum invenitur, qui sit ita moratus, ita animo et vita constitutus, ut ratio postulat? Qui disciplinam suam non ostentationem scientiae, sed legem vitae putet? Qui obtemperet ipse sibi, et decretis suis pareat? Videre licet alios tanta levitate et jactatione, ut iis fuerit non didicisse melius, alios pecuniae cupidos, gloriae nonnullos, multos bibidinum servos, ut cum eorum vita mirabiliter pugnet oratio, — quod quidem mihi videtur esse turpissimam. Quest. Tuscul. II, cap. 4.

[103] Διὸ δὴ καὶ ὁ ἐθνικὸς Ἀντωνῖνος (libr. V. de se iqso) βεβαιοῖ· fieri non posse, ut homines tales efficias, quales habere cupis ....

ταύτην προσεδόκα ἀεὶ τὸ πεπτωκὸς ἀνθρώπινον γένος, ἧς ἴχνη ἀπαντῶσι παρὰ τοῖς ἀρχαίοις Αἰγυπτίοις, Χαλδαίοις, Πέρσαις, Ἰνδοῖς, Ἕλλησι, Ῥωμαίοις, Καρχηδονίοις, Σκύθαις, Σκανδιναβοῖς, Γερμανοῖς, Γάλλοις, Ἀμερικανοῖς κλπ.[104]. Ὄντως δὲ αὕτη καὶ δέδοται ὑμῖν ὑπὸ τοῦ πανελεήμονος Κυρίου ἐν τῇ χριστιανικῇ ἀποκαλύψει.

## Γ'.

## Χαρακτηριστικὰ τῆς ἀποκαλύψεως.

§. 35. *Τὸ ἀναγκαῖον αὐτῶν, ὁρισμὸς καὶ διαίρεσις.*

*Ὡς ἄνευ γνωρισμάτων καὶ χαρακτηριστικῶν ἰδιοτήτων οὐδὲν ἐν τῷ κόσμῳ ὑπάρχειν δύναται ὥς τι ὡρισμένον, οὕτως οὔτε ὑφ' ἡμῶν δύναται πάντων τῶν ἄλλων διακριθῆναι καὶ ἐπιγνωσθῆναι· τοιοῦτος γὰρ ὁ τῆς ὑπάρξεως καὶ τῆς ἐπιγνώσεως ἡμῶν νόμος. Ἄρα καὶ ἡ ὑπερφυσικὴ ἀποκάλυψις, εἰ τοῖς ἀνθρώποις δέδοται, ὀφείλει ἔχειν τὰ οὐσιώδη αὐτῆς χαρακτηριστικά, ὧν ἂν ἕνεκα δύνηται ἐν τῷ κόσμῳ ὑπάρχειν, ὥσπερ τι ὡρισμένον, ὑφ' ἡμῶν ἐπιγνωσθῆναι καὶ τῶν ἄλλων ψευδῶν ἀποκαλύψεων διακριθῆναι.*

*Κρίνειν δὲ περὶ τῶν χαρακτηριστικῶν τῆς ὑπερφυσικῆς ἀποκαλύψεως δύο τινὰ ἔχομεν, τὸ μὲν τὴν περὶ τῆς οὐσίας τῆς ἀποκαλύψεως ἔννοιαν, ἤδη ὑφ' ἡμῶν τεθεῖσαν· γνωστῆς γὰρ τῆς οὐσίας πράγματός τινος, ῥᾴδιον εἰκάσαι καὶ περὶ τῶν οὐσιωδῶν αὐτοῦ χαρακτήρων· τὸ δὲ τὸν τύπον τῆς ὄντως ὑπαρχούσης ἀποκαλύψεως, τ. ε. τῆς χριστιανικῆς, ἐπεσφραγισμένης παρ' αὐτοῦ τοῦ Θεοῦ πᾶσι τοῖς διακριτικοῖς τῆς ἀληθοῦς ἀποκαλύψεως σημείοις, ὥστε ἡμῖν ἀρύσασθαι μόνον λείπεται αὐτὰ ἐκ τοῦ χριστιανισμοῦ, γενικεῦσαι καὶ θεωρῆσαι, ὥσπερ τι χωριστόν.*

---

[104] *Βλ. α'. Χριστιαν. ἀναγν.* 1839, III. *ἄρθρ. ἦν ἄρα παρὰ τοῖς ἐθνικοῖς ἡ τοῦ Σωτῆρος προσδοκία, καὶ πόθεν ἐπήγαζε; β'.* Rédemption du genre humain, annoncée par les tratitions et les croyances, relegieuses, figurées par les sacrifices des tous les peuples, trad. de l'allemand de B. J. Schmid par M. B. A. Henrion. Paris 1827. *τοῦτο κατεχωρίσθη καὶ ἐν τῷ* XIII. tom. Démonstr. Evangeliques. Paris. 1843.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Ἀμφοτέρων δὲ τούτων ἕνεκα πάντες οἱ τῆς θείας ἀποκαλύψεως χαρακτῆρες ὡς τὰ πολλὰ καὶ λίαν ὀρθῶς εἰς ἐσωτερικοὺς καὶ ἐξωτερικοὺς διαιροῦνται.*

## Α'.

## Ἐσωτερικοὶ τῆς ἀποκαλύψεως χαρακτῆρες.

### §. 36. *Ὑποδιαίρεσις αὐτῶν.*

*Οἱ ἐσωτερικοὶ χαρακτῆρες, ἐξ αὐτοῦ τοῦ περιεχομένου τῆς ἀποκαλύψεως λαμβανόμενοι, ὑποδιαιροῦνται εἰς ἀποφατικούς, δεικνύντας, τί οὐ δύναται ἡ ἀληθὴς ἀποκάλυψις περιέχειν, καὶ καταφατικούς, ὁρίζοντας τοὐναντίον, τί δεῖ, ἢ τοὐλάχιστον, τὶ δύναται ἡ ἀποκάλυψις αὕτη περιέχειν.*

### §. 37. *Ἀποφατικοὶ χαρακτῆρες.*

*Ἐκ τῆς περὶ ἀποκαλύψεως ἐννοίας γινώσκομεν, ὅτι αὐτὴ ὑπ' αὐτοῦ μεταδίδοται τοῦ θεοῦ, μεταδίδοται τῷ ἀνθρώπῳ συνεπιλαμβάνεσθαι αὐτῷ εἰς τὰ περὶ τὴν θρησκείαν. Ἄρα ἀδύνατον*

*α'. τὴν ἀληθῆ ἀποκάλυψιν περιέχειν ἐννοίας τινὰς ἀλόγους καὶ ἀτόπους, ἀντιλεγούσας τῇ ὑγιαινούσῃ ἀνθρωπίνῃ συνέσει· ὁ μὲν γὰρ θεὸς οὐ δύναται τοιαύτας δοῦναι ἐννοίας, οὐ παύων θεὸς εἶναι· ὁ δ' ἄνθρωπος ἀποδέξασθαι, οὐ παύων ἄνθρωπος εἶναι. Εἰδικῶς δὲ ἀδύνατον* 1, *τὴν ἀληθῆ ἀποκάλυψιν δόγματά τινα κηρύσσειν τῆς θρησκείας, οἷα, π. χ. περὶ θεοῦ, τῆς αὐτοῦ κοινωνίας τῷ κόσμῳ, τὰς οὐσιώδεις ἀνατρέποντα τοῦ νοὸς ἀληθείας, ὑπ' αὐτῆς τῆς φύσεως, τ. ε. ὑπ' αὐτοῦ τοῦ Δημιουργοῦ, ἐν αὐτῷ ἐντεθείσας·* 2, *νόμους τινὰς τῆς ἠθικῆς διδάσκειν ὀλεθρίους τῇ ἠθικῇ.* 3, *διατάξεις ἐπιτάσσειν ἢ αἰσθήματα ἐμπνέειν, ἀνάρμοστα τῇ ἀληθεῖ τοῦ ἀνθρώπου καὶ πασῶν τῶν κοινωνιῶν εὐτυχίᾳ· τοιαύτη δ' ἀποκάλυψις οὐ μόνον οὐκ ἂν εἴη ἡμῖν ἀρωγὴ εἰς τὴν θρησκείαν, ἀλλ' οὔτε συνεργοῖ τῇ ἡμῶν ἐπιδόσει εἰς τὴν ἀληθῆ πίστιν, ἐλπίδα καὶ ἀγάπην, καὶ οὔτε προσεγγίζοι ἡμᾶς τῷ λίαν ποθητῷ τέλει τοῦ πρὸς τὸν Θεὸν συνδέσμου· τοὐναντίον δὲ καὶ κωλύοι ἡμᾶς μᾶλλον πρὸς τοῦτο τὸ τέλος τείνειν, καὶ ἀπ' αὐτοῦ ἀπολαύνοι. Καὶ κατὰ τὸν χαρακτῆρα μόνον τοῦτον ῥᾴδιον κρίνειν, π. χ. ὅτι οὔτε ὁ ἐθνισμός, οὔτε ὁ νεοϊουδαϊσμός,*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔτε ὁ μωαμεθανισμὸς ἀληθῶς ἀποκαλυπτικαί εἰσι θρησκεῖαι, ὅτε γινώσκομεν, ὅτι ὁ μὲν ἄλογον ὁμολογεῖ διδασκαλίαν περὶ πολλῶν θεῶν, τῷ ἑαυτοῦ πνεύματι, συνεχῶς δὲ καὶ σαφέσιν ἐμπνεύσεσιν, ὑποσκάπτει τὴν καθαρὰν ἠθικήν, καὶ ἀνέχεται προσφορὰν ἀνθρώπων εἰς θυσίαν· οὐκ ἔστι δὲ ξένος ἀλόγου περὶ Θεοῦ διδασκαλίας, πᾶσαν τὴν ἠθικὴν οἴεται μόναις ταῖς τελεταῖς ἀνταλλάξαι, καὶ ἐμπνέει καταφρόνησίν τινα πρὸς τὰ λοιπὰ ἔθνη. 4, ὁ δὲ μεστός ἐστι τῶν ἀλόγων διδασκαλιῶν περὶ τυφλοῦ πεπρωμένου, πολυγαμίας, παλλακείας, αἰσθητικῶν ἡδονῶν μετὰ θάνατον, διὰ τούτου δὲ ἀναποδράστως ὑπερέχειν τοῦ πνεύματος τῇ σαρκὶ δίδοται, καὶ ἡ καθαρὰ ἠθικὴ ὑποσκάπτεται, πρὸς δὲ πλήθει τυφλοῦ φανατισμοῦ, ὀλεθριωτάτου ἅπασι τοῖς ἀλλοθρήσκοις.

β΄. Ἀδύνατον τὴν ἀληθῆ ἀποκάλυψιν ἐν τῇ ἑαυτῆς ἐκθέσει ἀμφίλογον καὶ αἰνιγματώδη εἶναι, καὶ καθόλου εἰπεῖν, ὡς οἷοί εἰσιν ἡ πανουργία καὶ ὁ δόλος λέγειν, οὐχὶ δὲ ἡ ἀλήθεια. Τότε γὰρ αὕτη οὐκ ἐκ Θεοῦ ἄρχεσθαι δύναται, οὔτε ὑπὸ τοῦ ἀνθρώπου προσληφθήσεσθαι καὶ προσοικειωθήσεσθαι, οὔτε τῷ σκοπῷ τῆς ἀποκαλύψεως προσήκειν. Ὅθεν, θεωροῦντες τὰς ῥήσεις τῶν ἀρχαίων ἐθνικῶν μαντείων, ἀμφιλόγους καὶ αἰνιγματώδεις οὔσας εἴτε πάντως ἀορίστους, ἄκοντες ὁμολογοῦμεν ψευδεῖς εἶναι καὶ οὐ δύνασθαι ἐκ Θεοῦ ἄρχεσθαι.

§. 38. *Καταφατικοὶ χαρακτῆρες.*

Τοὐναντίον δὲ φυσικόν ἐστι προσδοκᾶν, ὅτι α΄. ἡ ἀληθὴς θεία ἀποκάλυψις, κατὰ τὴν ἑαυτῆς οὐσίαν καὶ τὸν σκοπόν, περιλήψεται καθαρωτάτας καὶ τελειοτάτας μόνον ἀληθείας, τῇ θρησκείᾳ ἀναγομένας· β΄. αἱ μὲν αὐτῶν, τοῖς ἀνθρώποις πρότερον γνωσταὶ οὖσαι, ἐν λαμπροτέρῳ φαίνονται φωτί, αἱ δὲ πρὶν ἄγνωστοι, νεωστὶ ἀποκαλυφθήσονται· γ΄. τῶν δὲ νεωστὶ ἀποκαλυφθεισῶν ἀληθειῶν αἱ μὲν καταληπταὶ ἔσονται τῷ ἀνθρωπίνῳ λογικῷ, καίτοι πρὸ τῆς ἀποκαλύψεως ἄγνωστοι αὐτῷ ἦσαν, αἱ δὲ ἀκατάληπτοι μένουσι καὶ μετὰ τὴν ἀποκάλυψιν, καὶ δεῖ αὐτὰς προσοικειώσασθαι τῇ πίστει· τοιοῦτο γάρ, ὥσπερ εἴρηται, τὸ ὑποκείμενον τῆς θρησκείας καὶ τῆς ἀποκαλύψεως, ἐν αἷς τὰ μυστήρια οὐ μόνον δυνατά εἰσιν, ἀλλὰ καὶ λίαν ἀναπόδραστα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰδικῶς δὲ φυσικόν ἐστι προσδέχεσθαι, ὅτι α΄. τὰ τῆς πίστεως δόγματα ἐν τῇ ἀληθεῖ ἀποκαλύψει διακριθήσονται ἐκ τῆς ἰδίας βαθυνοίας καὶ σωστικότητος· β΄. αἱ τῆς ἐλπίδος ἐπαγγελίαι ἐκ τοῦ ἰδίου ὕψους καὶ τῆς ἱερότητος· γ΄. οἱ τῆς ἀγάπης νόμοι ἐκ τῆς ἰδίας καθαριότητος· δ΄. πᾶσα διδασκαλία, οἱωνδήποτ᾽ ἂν ὑποθέσεων ἅψηται, ὑψηλαφητὴν ἕξει ὑπεροχὴν τῆς συνήθους ἀνθρωπίνης διδασκαλίας.

Ἐκ δὲ τοῦ τρόπου τῆς ἐκθέσεως τῶν ἀληθειῶν φυσικόν ἐστι προσδοκᾶν, ὅτι ἐν τῇ ἀποκαλύψει ἐκτεθήσονται πάντα α΄. σαφηνείᾳ τοιαύτῃ, οἵα μόνον δυνατή ἐστι κατὰ τὴν ἰδιότητα τῶν ἀποκαλυπτομένων ὑποθέσεων· καὶ τοῦτο ἀπαιτεῖ ἡ πανσοφία τοῦ Θεοῦ, αἰτίου τῆς ἀποκαλύψεως ὄντος· β΄. τοιαύτῃ προσαρμογῇ πρὸς τὰς ἀνθρωπίνους ἐννοίας, οἵα μόνον δύναται ἐπιτραπῆναι, ἄνευ μειώσεως τῆς ἀληθείας· καὶ τοῦτο ἀναγκαῖον τῷ τῆς ἀποκαλύψεως σκοπῷ· γ΄. τοιούτῳ τόνῳ, ἐξ οὗ ἂν εὐθὺς φανῇ, ὅτι ὧδε ὁ Θεός, καὶ οὐκ ἄνθρωπος λέγει· κτλ.

Μνηστέον δέ, ὅτι ἀκριβέστατα καὶ λεπτομερέστατα ὁρίσαι, τί δεῖ τὴν ἀποκάλυψιν περιέχειν, καὶ τί οὔ, ἀδιστάκτως ἀδύνατον· τοῦτο γὰρ ἐκ τῆς θείας ἐξαρτᾶται θελήσεως. Διὸ ἡμεῖς μόνα τὰ οὐσιωδέστερα σημεῖα τῆς ἀποκαλύψεως καὶ τοὺς καθόλου χαρακτῆρας, ἀμέσως πασιδήλους ἐκ μόνης τῆς περὶ αὐτῆς ἐννοίας, ἐνδεῖξαι προεθυμήθημεν.

§. 39. *Ἀξία καὶ σημασία τῶν ἐσωτερικῶν χαρακτήρων.*

Περὶ τῆς ἀξίας καὶ σημασίας τούτων τῶν χαρακτήρων δίκαιον εἰπεῖν, ὅτι καί τοι λίαν εἰσὶν ἀναπόδραστοι ἐν τῇ ἀποκαλύψει, ἀλλὰ μόνοι καὶ ἀνεπαρκεῖς εἰσι τῷ σκοπῷ, τ. ε. τῇ στεῤῥᾷ πεποιθήσει ἡμῶν εἰς τὴν θειότητα τῆς ἀρχῆς τῆς ἀποκαλύψεως. Εἰσὶ δ᾽ ἀναπόδραστοι μέν, διότι ἡ ἀπουσία αὐτῶν ἔν τινι θρησκείᾳ, ἀποκαλύψει εἶναι ἐπαγγελλομένῃ, ἀδίστακτος ἂν εἴη μαρτυρία, ὅτι αὕτη ἡ ἀποκάλυψις ψευδής, ὥσπερ ἤδη εἴπομεν, αὐτοὺς τούτους τοὺς χαρακτῆρας χωρὶς θεωροῦντες. Ἀνεπαρκεῖς δὲ τῷ σκοπῷ· ἡ γὰρ αὐτῶν ὕπαρξις ἔν τινι θρησκείᾳ πιθανὸν ἴσως ἐποίει θεῖαν αὐτὴν εἶναι ἀποκάλυψιν, ἀλλὰ μὴ ὅλως ἀξιόπιστον· ἴσως ἀνεδέχετο, ὅτι ἡ θρησκεία αὕτη, ὡς λίαν τῷ Θεῷ ἀξία, οἵα ἐξ Αὐτοῦ ἄρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*χεσθαι, ἀλλ' οὐκ ἀπεδείκνυεν, ὅτι καὶ ὄντως ἐξ αὐτοῦ ἤρξατο· Ὅσῳ δὲ καὶ ἂν εἴη ἄριστος ἡ διδασκαλία θρησκείας τινὸς ἐν πᾶσι, κατὰ τοὺς ὑφ' ἡμῶν δειχθέντας χαρακτῆρας, ὅμως ἐπὶ τῇ αὐτῆς ἐρεύνῃ ἀεὶ διαμενεῖ ἡ ἐρώτησις· διὰ τί τὴν ἀρίστην ταύτην διδασκαλίαν θείαν δεῖ πάντως ἀποκάλυψιν νομίζειν, οὐχὶ δὲ ἀποτέλεσμα ἐξόχου τινὸς ἀνθρωπίνου νοός, δυναμένου δὴ κατανοῆσαι καὶ περὶ πολλοῦ αὐτὴν ποιήσασθαι; Ἠδύνατο μὲν ἐκ Θεοῦ ἄρχεσθαι, οὐχ ἧττον δὲ καὶ ἐκ τοῦ ἀνθρώπου· τὸ πρῶτον ἴσως πιθανώτερον, καὶ οὐδὲν πλέον. Ἄρα οἱ ἐσωτερικοὶ χαρακτῆρες τῆς ἀποκαλύψεως δύνανται ἀποφατικῶς μὲν τὴν δύναμιν τοῦ ἀναντιῤῥήτου ἔχειν· κατ' αὐτοὺς δυνατὸν ἀεί ἐστιν ἐπιγνῶναι τὰς ψευδεῖς ἀποκαλύψεις· καταφατικῶς δὲ μόνον δύναμιν πιθανότητος· κατὰ τούτους δυνατὸν μόνον περὶ τῆς ἀληθοῦς ἀποκαλύψεως εἰκάζειν, πάντως δὲ ἐπιγνῶναι αὐτὴν ἔτι ἀδύνατον.*

*Πρὸς δὲ ἡ ἔλλειψις μόνων τῶν ἐξωτερικῶν χαρακτήρων καὶ τὸ ἀναπόδραστον ἄλλων ἀποκαλύπτεται καὶ ἐκ τούτων τῶν διασκέψεων· α'. ἡ ἀποκάλυψις πᾶσι δίδοται τοῖς ἀνθρώποις, ἄρα πάντες αὐτὴν ἀποδέξασθαι ὀφείλουσιν· ἀλλὰ τὸ πλεῖστον τοῦ ἀνθρωπίνου γένους ἕνεκα ἐλλείψεως παιδείας ἀνικανώτατον κρίνειν περὶ τῆς ἀξίας τῆς ἐξ ἀποκαλύψεως διδασκαλίας, ἵνα πεισθῇ εις τὴν θειότητα αὐ τῆς β'. αὐτοὶ οἱ πεπαιδευμένοι, διάφοροι τῇ ἑαυτῶν παιδεύσει ὄντες, ὑπὸ διαφόρων ὁδηγούμενοι ἀρχῶν, καὶ οὐκ ἀεὶ ἀλλότριοι προλήψεών τινων, οὐ πάντες δύνανται κατανοῆσαι καὶ περὶ πολλοῦ ποιήσασθαι τὴν ὑπεροχὴν τῆς ἐξ ἀποκαλύψεως διδασκαλίας, καὶ ἀφύκτως ἀλλήλοις διαφωνήσουσιν, ἀμφιγνοήσουσι, διαπορήσουσι, τοῦ δυνατοῦ στερούμενοι εἰπεῖν περὶ αὐτῆς ἀναντίῤῥητόν τι· γ'. μὴ ἐπιλαθώμεθα, ὅτι ἡ ἀποκάλυψις, κατὰ τὴν οὐσίαν τῆς ἑαυτῆς ὑποθέσεως, δύναται περιέχειν μυστήρια, τ. ε. ἀληθείας ἀκαταλήπτους ὅλως τῷ ἀνθρωπίνῳ νοΐ, ἀναγκαίας ὅμως τῇ ἐξ ἀποκαλύψεως θρησκείᾳ, πῶς οὖν κρινεῖ περὶ τῆς θείας ἀρχῆς τοιούτων ἀληθειῶν κατὰ τὴν ἐσωτερικὴν αὐτῶν ἀξίαν;*

*Ἀλλὰ τὴν ἔλλειψιν τῶν ἐσωτερικῶν τῆς ἀποκαλύψεως χαρακτήρων ἀναπληροῦσιν οἱ ἐξωτερικοί.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Β'.

## Ἐξωτερικοὶ τῆς ἀποκαλύψεως χαρακτῆρες.

§. 40. *Ὑποδιαίρεσις αὐτῶν.*

*Οἱ ἐξωτερικοὶ τῆς ἀποκαλύψεως χαρακτῆρες λαμβάνονται α'. ἐκ τοῦ χαρακτῆρος τῶν ἐπαγγελλομένων τῆς ἀληθοῦς εἶναι ἀποκαλύψεως κηρύκων, ὑπ' αὐτοῦ τοῦ Θεοῦ πεμφθέντων, καὶ ἐκ τοῦ τρόπου τῆς διαδόσεως τῆς ὑπ' αὐτῶν κηρυσσομένης θρησκείας· β'. ἔκ τινων ἰδίων ὑπερφυσικῶν γεγονότων, παρακολουθούντων τῇ ἐμφανίσει ἢ καὶ πάσῃ τῇ τῆς ἀποκαλύψεως ὑπάρξει· καὶ οἱ μὲν πρῶτοι χαρακτῆρες ἐν συγκρίσει τοῖς ἐσχάτοις φυσικοὶ ἂν ὀνομασθεῖεν, οἱ δὲ ὑπερφυσικοί.*

§. 41. *Φυσικοὶ χαρακτῆρες.*

*Ἐν τοῖς ἐπαγγελλομένοις κήρυξιν εἶναι τῆς δῆθεν παρὰ τοῦ Θεοῦ ἀμέσως παραληφθείσης ὑπ' αὐτῶν ἀποκαλύψεως τοιαῦτα ἀπαιτεῖν σημεῖα εἰκός ἐστιν, ἃ ἀναφαίρετοι εἶναι ὀφείλουσιν ἰδιότητες παντὸς τῆς ἀληθείας μάρτυρος· οὗτος γὰρ ὄντως φαίνεται ἡμῖν μόνον μάρτυς οὗπερ μεταδίδωσιν ἡμῖν. Διὸ πρὸ πάντων παρατηρητέον, μὴ ἐξαπατᾶται αὐτὸς οὗτος, μὴ θέλῃ ἐσκεμμένως ἄλλους ἀπατῆσαι· καὶ ἐὰν δειχθῇ, ὅτι, α'. αὐτὸς ἐν καταστάσει αὐταπάτης διάγει, ὑπὸ τῶν φασμάτων τῆς ἑαυτοῦ ἐξημμένης καὶ οἰστρώδους φαντασίας παρασύρεται, φανατισμοῦ πνέει ἢ καὶ δεικνύει σημεῖα παραφροσύνης, οὐδεμιᾶς ἐστι πίστεως ἄξιος· β'. οἱ ἑαυτοὺς ἀποστόλους τοῦ Θεοῦ καλοῦντες ἐν ταῖς ἑαυτῶν ἐνεργείαις ὑπ' ἀκαθάρτων ἄγονται ὁρμῶν, καὶ κατὰ τὸ φαινόμενον περὶ τὴν ἐπανόρθωσιν τῆς θρησκείας ἀσχολούμενοι, τείνουσι κομιδῇ οὐ πρὸς ἠθικὰ τέλη, ἀλλὰ γήϊνα, τ. ε. πολιτικά, καὶ οὐ περὶ τὴν σωτηρίαν τοῦ πλησίον φροντίζουσιν, ἀλλὰ μόνον περὶ μόνην τὴν ἑαυτῶν κερδοσκοπίαν, δύναμιν, δόξαν καὶ λοιπὰς ἡδονάς, οὐδεμίαν πίστιν εἰς αὐτοὺς ἔχειν δυνάμεθα. Ἐκ μόνου δὲ τοῦ χαρακτηριστικοῦ τούτου δικαίως ἀποδέχονται τὸν μὲν Μωάμεθ ἀπατεῶνα, τὴν δὲ διδασκαλίαν αὐτοῦ ψευδῆ ἀποκάλυψιν. Ἐὰν δὲ τοὐναντίον γ'. οἱ διδασκαλίαν τινὰ θείαν ἀποκάλυψιν κηρύσσοντες ἀλλότριοι ὦσι πάσης ἀπάτης, καὶ ἐν πᾶσιν ὑγειᾶ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεικνῦσι νοῦν καὶ λάμπον κριτικόν, καὶ οὔτε κρυφίως οὔτε φανερῶς τείνωσι πρὸς φιλοκερδεῖς τινας σκοπούς, τοὐναντίον δὲ διακρίνωνται τῇ μεγίστῃ τῶν ἰδίων συμφερόντων ὀλιγωρίᾳ, καὶ πνέωσι μόνην τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην, ἑαυτῶν ἐπιλανθανόμενοι, ἄκουσα ἀνεγείρεται ἐν τῇ ψυχῇ ἡ γνώμη, ὅτι ἐνεργοῦσιν ὄντως οὐ τινες ἀπατεῶνες, καὶ πιθανώτατον καθίσταται ἀποστόλους τοῦ Θεοῦ εἶναι καὶ ἀξίους ἀμέσως παρὰ τοῦ κυρίου ἀκοῦσαι τὸ ἅγιον αὐτοῦ θέλημα καὶ ὄργανα γενέσθαι τῆς ἀποκαλύψεως· Ἡ δὲ πιθανότης αὕτη ὅσῳ μᾶλλον ἐνισχύεται, τοσούτῳ καθαρώτερος καὶ ἁγιώτερος παρίσταται ὁ ἠθικὸς αὐτῶν χαρακτήρ, καὶ τοσούτῳ μᾶλλον δείκνυται ἠθικῶς ἀδύνατος ἀπ᾽ αὐτῶν ἀπάτη τις.

Ἐκ δὲ τοῦ τρόπου τῆς διαδόσεως τῆς θείας ἀποκαλύψεως εἰκός ἐστι προσδοκᾶν πάμπαν ἀξίαν τὴν ἀποκάλυψιν εἶναι τοῦ Θεοῦ, τὸ ἑαυτοῦ ἀποκαλύπτοντος θέλημα, τοῦ ἀνθρώπου, ᾧ αὐτὴ δίδοται, καὶ αὐτῆς ταύτης· Διὸ α΄. ἀδύνατον συμφωνῆσαι, ὅτι ἐν τῇ διαδόσει τῆς ἀληθοῦς ἀποκαλύψεως ἐν χρήσει ἦσαν δολιότης, ἀπάτη κτλ., ὅτι ἠδύναντο ἐνεργεῖν χρυσός, ἄργυρος, δωροδοκία, ἢ ἐπετρέποντο μάχαιρα, βία, σφαγαὶ κτλ. Διὰ τοῦτο ὁ Μωαμεθανισμός, π. χ., τῷδε τῷ τρόπῳ διαδοθείς, οὐκ ἄξιος τοῦ ὀνόματος τῆς ἀποκαλύψεως. Τοὐναντίον δὲ β΄., ὅτε βλέπομεν, ὅτι οἱ διδάσκαλοι θρησκείας τινός, ἀποκαλύψεως ὑπ᾽ αὐτῶν καλουμένης, οὐδενὶ ἄλλῳ χρῶνται μέσῳ, ἐκτὸς μόνου τοῦ κηρύγματος, προθυμοῦνται φωτίσαι μόνον τοὺς νόας καὶ τὰς καρδίας τῶν ἀκροατῶν τῷ λόγῳ τῆς ἀληθείας, ἑκάστῳ τὴν ἐκλογὴν παρέχοντες πιστεῦσαι τῷ κηρύγματι, ἢ μή· καὶ ὅτι, καὶ ἐν τῇ ἐλλείψει παντὸς ἄλλου μέσου, μόνον τοῦτο τὸ κήρυγμα χιλιάδας ἐπισύρει ἀνθρώπων, καὶ πανταχοῦ διαδίδοται μετ᾽ ἐκπληκτικῆς ταχύτητος· οὐκ ἐρεῖ ἄρα τότε ἡμῖν ἡ συνείδησις, ὅτι οὐχ ἁπλοῖ ἐνεργοῦσιν ἄνθρωποι, ὅτι ὁ αὐτῶν τρόπος τῆς πράξεως ὀνομασθῆναι δύναται ἄξιος καὶ αὐτοῦ τοῦ Θεοῦ;

Περὶ τῆς ἰσχύος τοῦ ἀποδεικτικοῦ τῶν ἐξωτερικῶν τούτων χαρακτήρων τῆς θείας ἀποκαλύψεως, οὓς φυσικοὺς ἐκαλέσαμεν, ἐπαναλαβεῖν δεῖ ὅπερ περὶ τῶν ἐσωτερικῶν εἴρηται, τ. ε., ὅτι ἀποφατικῶς τὴν δύναμιν ἔχουσι τοῦ ἀναντιῤῥήτου· κατ᾽ αὐτοὺς

γὰρ ἀεὶ δυνάμεθα τὴν ψευδῆ γνῶναι ἀποκάλυψιν· καταφατικῶς δὲ μόνην τὴν τῆς πιθανότητος· καὶ γὰρ καὶ κατ' αὐτοὺς δυνάμεθα μόνον εἰκάζειν, πιθανὸν νομίζειν, ὅτι ἀποκάλυψίς τίς ἐστιν ἀληθής. Ὅμως οἱ ἐξωτερικοὶ οὗτοι χαρακτῆρες, τοῖς ἐσωτερικοῖς ἡνωμένοι, ἀνυψοῦσι τὸν βαθμὸν τῆς αὐτῶν ἀποδείξεως, ἐνισχύουσι καὶ ὑποστηρίζουσιν αὐτούς, καὶ πιθανωτέραν ποιοῦσι τὴν θείαν ἀρχὴν θρησκείας τινός, ἢ μόνοι οἱ ἐσωτερικοί.

Σταθεραὶ δὲ καὶ ἀναντίῤῥητοι ἀποδείξεις τῆς θειότητος διδασκαλίας τινὸς φαίνονται οἱ οὕτως ὑφ' ἡμῶν ὑπερφυσικοὶ τῆς ἀποκαλύψεως χαρακτῆρες κληθέντες.

### §. 42. Ὑπερφυσικοὶ χαρακτῆρες.

Ἐνταῦθα νοοῦμεν διττὰ ἴδια σημεῖα, οἷς ὁ Θεὸς ἀεὶ ηὐδόκησε τὴν ἀληθῆ αὐτοῦ περιβαλεῖν ἀποκάλυψιν, τ. ε. τὰ θαύματα καὶ τὰς προφητείας·

### §. 43. α'. Θαύματα· τὸ δυνατόν, ἡ ἀνάγκη ἐν τῇ ἀποκαλύψει καὶ τὸ ἀξιόπιστον αὐτῶν.

I. Θαύματά εἰσιν ὑπερφυσικὰ γεγονότα ἐν τῇ φύσει, τ. ε. ὑπερβαίνοντα τὰς δυνάμεις καὶ τοὺς νόμους αὐτῆς τῆς φύσεως, δυνάμενα ὅμως ἐν αὐτῇ γίνεσθαι ὑπὸ μόνης τῆς ὑψίστης θείας δυνάμεως [105].

II. Τὸ δυνατὸν τῶν θαυμάτων ἀμφιβάλλειν οὐδ' ἐλαχίστη λογικὴ βάσις ἐστί. Τὰ γὰρ θαύματα εἴησαν ἂν ἀδύνατα μόνον ἐν τρισὶ περιστάσεσιν· ὅτε ὑπάρχοιεν ἄφυκτα κωλύματα πρὸς τὸ δυνατὸν τοῦτο ἤτοι ἐξ αὐτῶν τῶν θαυμάτων (τ. ε. ἐν αὐτῇ τῇ περὶ αὐτῶν ἐννοίᾳ), ἢ ἐκ τῆς φύσεως, ἐν ᾗ ἐκτελεσθῆναι δεῖ, ἢ ἐκ τοῦ μόνου αὐτῶν αἰτίου, τοῦ Θεοῦ.

Ἀλλ' ἐξ αὐτῶν μὲν τῶν θαυμάτων οὐδὲν τοιοῦτό ἐστι κώλυμα· ἐν γὰρ τῷ περὶ τῶν θαυμάτων δοθέντι ὑφ' ἡμῶν ὁρισμῷ ἀδύνατον δεῖξαι ἐλαχίστην ἐσωτερικὴν ἀντιλογίαν καὶ ἀνάρμοστόν τι. Οὔτε γὰρ λέγομεν, ὅτι τὰ θαύματα ἐνέργειαί εἰσιν

---

[105] Χρυσοστ. εἰς Γέν. Ὁμιλ. λθ'. ἀρ. 1. Θεοδ. Ἡρακλ. εἰς Ἰωαν. ια', 40 (in Corder. Caten. in Joan.); Arnob. adv. gent. 1, 47.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



ὑπερφυσικαί, τὰς δυνάμεις καὶ τοὺς νόμους τῆς φύσεως ὑπερβαίνουσαι, καὶ ὅμως γινόμεναι ὑπ' αὐτῶν τούτων τῶν δυνάμεων καὶ κατ' αὐτοὺς τούτους τοὺς κανόνας· τότε δ' ἂν εἴη σαφὴς ἀντιλογία τῷ ὁρισμῷ, καὶ τὸ θαῦμα εἴη κατὰ τὴν ἑαυτοῦ οὐσίαν ἀδύνατον· ἀλλὰ λέγομεν, ὅτι γεγονότα εἰσὶν ὑπερφυσικά, γινόμενα ὑπὸ ὑπερφυσικῆς δυνάμεως· ὅπερ δηλοῖ, ἐν ταῖς ἐνεργείαις ἐῶμεν οὐ πλεῖον τοῦ ὅτι ἐν τῇ αἰτίᾳ ὑπάρχει, καὶ διϊσχυριζόμεθα πάμπαν πρᾶγμα δυνατὸν φυσικῶς τε καὶ λογικῶς.

Ἐκ δὲ τῆς φύσεως ὁμοίως οὐκ εἰσὶ κωλύματα· αὕτη γὰρ ἐξ αὐτοῦ ἐξαρτᾶται τοῦ Θεοῦ ἀπολύτως, παρ' αὐτοῦ δυνάμεις παρέλαβε καὶ νόμους, ἠδύνατο ὅμως καὶ ἄλλα παραλαβεῖν, εἰ τῷ δημιουργῷ ἐδέδοκτο αὐτῇ αὐτὰ παρασχεῖν, παρ' αὐτοῦ τάσιν καὶ ῥοπὴν πάσης τῆς ἑαυτῆς ζωῆς καὶ τρόπον ἐκτελέσεως τῶν ἑαυτῆς δυνάμεων καὶ νόμων· τῷ θελήματι αὐτοῦ ἐᾶσαι ἑαυτῇ δύναται καὶ πᾶσαν ἀλλοίωσιν, πρὸς ὅ, ἔστιν εἰπεῖν, πάμπαν ἐστὶν ἀδιάφορος. Νῦν, π. χ. ὁ ἥλιος καὶ πάντα τὰ οὐράνια σώματα, κατὰ τὰς δοθείσας αὐτοῖς ὑπὸ τοῦ Θεοῦ δυνάμεις καὶ νόμους, κινοῦνται ἐν ταῖς οὐρανίαις ἐκτάσεσιν, ἀλλὰ δύνανται καὶ στῆναι, ἐὰν ὁ Θεὸς θελήσῃ στῆσαι αὐτὰ τῇ ὑψίστῃ αὐτοῦ δυνάμει, ὥσπερ ἀπολύτως αὐτῷ αὐτὰ ὑποκείμενα· τοῦτο δὲ καὶ θαῦμά ἐστιν. Ὅμοιον παράδειγμα, καίτοι ἐν ἥττονι ἐκτάσει, συνεχῶς συμβαίνει πρὸ τῶν ὀφθαλμῶν ἡμῶν, οἵτινες βλέπομεν ἀδιαλείπτως, ὅτι μηχανή τις, ἐν τῇ πλήρει τοῦ μηχανικοῦ διαθέσει εὑρισκομένη, μετὰ ταχύτητος κινεῖται τῇ δυνάμει τῶν ἀτμῶν καὶ τοῖς νόμοις τῆς μηχανικῆς· ἀλλ' αὕτη καὶ στῆναι δύναται, ἅμα ὁ μηχανικὸς θελήσῃ, καὶ τῷ θελήματι αὐτοῦ δύναται αὖθις τῆς ἑαυτῆς ἄρξασθαι κινήσεως, καὶ οὕτως ἐφεξῆς. Μάτην δὲ δεικνῦσι τοὺς μὲν τῆς φύσεως νόμους ἀμεταβλήτους καὶ ἀναλλοιώτους εἶναι, τὰ δὲ θαύματα, ὅτι μεταβάλλουσι καὶ ἀνατρέπουσι τοὺς νόμους αὐτούς· ἀλλὰ τοῦτο οὐκ ὀρθόν. Τὰ γὰρ θαύματα οὔτε μεταβάλλουσιν οὔτε παραβαίνουσι τοὺς νόμους τῆς φύσεως, μόνον δὲ ἐπὶ τινα χρόνον ἱστᾶσι τὸν ῥοῦν αὐτῶν ἐν ἰδίᾳ περιστάσει καὶ τόπῳ, ὑπερφυσικόν τι ἐκεῖ παρεισάγοντα· μὴ δὲ ἡ πρόσκαιρος τῆς μηχανῆς στάσις τῇ χειρὶ τοῦ μηχανικοῦ μεταβάλλῃ τι καὶ παραβαίνῃ τοὺς νόμους τῆς μηχανικῆς, καθ' οὓς ἡ μηχανὴ μέχρι τοῦδε ἐκινεῖτο; Ὥσπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ πρὸ θαυματικῆς τινος περιστάσεως, οὕτω καὶ μετ' αὐτήν, οἱ τῆς φύσεως νόμοι οἱ αὐτοὶ διαμένουσι, καὶ τὸν φυσικὸν αὐτῶν τελοῦσι δρόμον· καὶ τότε μάλιστα, ὅτε ἐν περιστάσει τινὶ καὶ τόπῳ ἵστανται, ἐν πᾶσι τοῖς ἄλλοις τόποις διατελοῦσιν ἐνεργοῦσαι κατὰ τὸ σύνηθες· ὅτε, π. χ. ἔν τινι τόπῳ κατὰ θεῖον θέλημα, τὸ πῦρ οὐ καίει, τὸ ὕδωρ οὐ ζέει κτλ., ἐν πάσῃ τῇ λοιπῇ ἐκτενεστάτῃ τῆς ὑπάρξεως χώρᾳ τὰ στοιχεῖα ταῦτα ἐνεργοῦσι κατὰ τὰς φυσικὰς αὐτῶν ἰδιότητας. Μάτην δ' ὡσαύτως διϊσχυρίζονται, ὅτι τὰ θαύματα ἐν τῇ φύσει ἀνάρμοστα τῇ τελειότητι αὐτῆς, ὅτε ἐνδοῦναι βιάζονται ἀνεπαρκεῖς τὰς φυσικὰς αὐτῆς δυνάμεις καὶ τοὺς νόμους εἶναι πρὸς τὰ τέλη αὐτῆς, καὶ ὑπερφυσικῆς δεῖσθαι ἀρωγῆς· ἀλλὰ τὰ θαύματα ἀναγκαῖα ὑποτίθενται οὐ τῶν τελῶν τῆς φύσεως ἕνεκα, δυναμένης ἀεὶ ὄντως αὐτῶν τυχεῖν διὰ τῶν ὑπὸ τοῦ Θεοῦ δοθέντων φυσικῶν αὐτῆς μέσων, ἰδίᾳ δὲ ἕνεκα τῶν τελῶν τοῦ ἀνθρώπου καὶ μάλιστα τῶν ὑψίστων καὶ ὑπερφυσικῶν· διὰ τοῦτο, ὅπως ἤδη ὁ ἄνθρωπος, ὅτε τὸν πρῶτον παραβὰς σύνδεσμον τῷ Θεῷ, διάγει ἐν οὐ φυσικῇ καταστάσει, καὶ ἄκρως ὑπερφυσικῆς δεῖται ἀποκαλύψεως, δύνηται ἐκ τῶν θαυμάτων ἀεὶ τὴν ἀληθῆ ἐπιγνῶναι ἀποκάλυψιν καὶ πεισθῆναι, ὅτι ἀναντιῤῥήτως ἐνεργεῖ ὧδε ὁ Θεός.

Ἀδύνατον δέ ἐστι κωλύματά τινα πρὸς τὸ δυνατὸν τῶν θαυμάτων καὶ ἐκ τοῦ Θεοῦ, ὅς ἐν τῇ φύσει ἐνεργεῖν οἷός ἐστιν, καί τοι ἐδωρήσατο αὐτῇ χωριστὴν ὕπαρξιν, ὥσπερ καὶ ἐνεργεῖ, τῇ ἀενάῳ αὐτοῦ προνοίᾳ· τ. ε. ὑπερφυσικῶς οἷός τε ἐνεργεῖν καὶ ἀπεργάζεσθαι ἐν αὐτῇ ἔργα, τὰς δυνάμεις καὶ τοὺς νόμους τῆς φύσεως αὐτῆς ὑπερβαίνοντα· παντοδύναμος γάρ. Καὶ τοῦτο μὲν οὐκ ἀπείργει ἡ αὐτοῦ πανσοφία· τὰ γὰρ θαύματα ἀναγκαῖα δείκνυνται τοῖς ὑψίστοις τῆς θρησκείας τέλεσιν· οὔτε ἡ ἄπειρος ἀγαθότης· τὰ γὰρ θαύματα ἀναγκαῖα φαίνονται τῷ δυστυχοῦντι ἀνθρώπῳ, πεπτωκότι καὶ οὐχ οἵῳ ἀνεγερθῆναι. Συνελόντι δὲ φάναι, τὰ θαύματα ἢ αἱ ὑπερφυσικαὶ τοῦ Θεοῦ ἐνέργειαι ἐν

---

[106] Ἐπειδὴ γὰρ κύριός ἐστι τῆς φύσεως καὶ δημιουργός, δυνατὸν αὐτῷ καὶ τὰ ὑπὲρ τὴν φύσιν δωρήσασθαι. Χρυσοστ. εἰς Γέν. Ὁμιλ. κθ', ἀρ. 1.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ κόσμῳ ὄντως καὶ δυναταὶ καθόλου εἰσίν, εἰδικῶς δὲ δυνατὴ καὶ ἡ ὑπερφυσικὴ ἀποκάλυψις.

III. Ὅτι δὲ τὰ θαύματα ἀναγκαῖα τῇ ἐξ ἀποκαλύψεως θρησκείᾳ [107], ὥσπερ εἷς διακριτικώτατος χαρακτὴρ τῆς θείας αὐτῆς ἀρχῆς, πασιφανὲς ἐκ πρώτης ἐστὶν ὄψεως. Τὸ θαῦμα, ἐπαναλαμβάνομεν, ἐνέργειά ἐστιν ὑπερφυσικὴ ἐ λλῇ φύσει, ὅ οἷός ἐστι μόνος ὁ Θεὸς πρᾶξαι· τοῦτο δὲ δηλοῖ, ὅτι ὁ ἄνθρωπος καὶ τὰ λοιπὰ πλασθέντα ὄντα οἷά εἰσι θαύματα ποιῆσαι μόνῃ τῇ παρὰ τοῦ Θεοῦ δοθείσῃ δυνάμει. Ἄρα, ὅτε βλέπομεν, ὅτι ἄνθρωπος ἢ ἄγγελοι, ἀναγγέλλοντες ἡμῖν διδασκαλίαν τινά, καλοῦσιν αὐτὴν θείαν ἀποκάλυψιν, καὶ εἰς ἔνδειξιν θαύματα ποιοῦσιν, οὐ σαφὲς ἄρα σημεῖον, ὅτι ὁ Θεὸς αὐτὸς ὑποστηρίζει τοὺς λόγους τούτους; Οὔτε γὰρ ἄνθρωπος οὔτε ἄγγελος δύνανται ἀφ' ἑαυτῶν ἀληθῆ ποιῆσαι θαύματα, ἀλλ' ὁ Θεός, ἡ αὐταγιότης καὶ αὐταλήθεια, οὐ δύναται δοῦναι δυνάμεις θαυματοποιΐας ἀπατεῶσί τισι πρὸς ἀπάτην τοῦ ἀνθρώπου. Ἄρα ἐπὶ τῶν εἰς ἔνδειξιν τῆς θειότητος διδασλαλίας τινὸς γινομένων ἀληθῶν θαυμάτων οὐδεὶς λείπεται χῶρος δισταγμῶν καὶ ἀμφιβολιῶν, ἀλλὰ χῶρός ἐστι μόνῃ τῇ ἀναντιῤῥήτῳ πεποιθήσει, ἐὰν μόνον ἡμεῖς, ἐννοεῖται, μὴ δειξώμεθα ἐσκεμμένως ἐμμένοντες τῇ ἀπιστίᾳ. Καὶ ἰδοὺ διὰ τί ἅπαντες οἱ λαοί, πεπαιδευμένοι τε καὶ οὔ, ἀεὶ περὶ πολλοῦ ἐποιοῦντο τὴν σημασίαν τῶν θαυμάτων ἐν τῇ θρησκείᾳ, ἀεὶ αὐτῶν ἐπεθύμουν πρὸς πλήρη αὐτῶν πεποίθησιν ἐν αὐτῇ, ἢ ἄλλους αὐτοῖς πεῖσαι ἐν τῇ ἀξίᾳ τῆς πίστεως αὐτῶν προεθυμοῦντο. Ἰδοὺ διὰ τί καὶ αὐτὸς ὁ Σωτὴρ ἀπεδίδου τοῖς αὐτοῦ θαύμασιν ὑπεροχὴν πασῶν τῶν ἄλλων ἀποδείξεων τῆς θείας αὐτοῦ ἀποστολῆς· *Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ ...*, ἔλεγε πρὸς τοὺς Ἰουδαίους τῇ αὐτοῦ διδασκαλίᾳ ἀπιστοῦντας· *ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα, ἃ ἔδωκέ μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ*

---

[107] Βλ. ἄρθρ. περὶ τῆς ἀνάγκης τῶν θαυμάτων ἐν τῇ ἐξ ἀποκαλύψεως θρησκείᾳ, ἐν χριστιαν. ἀναγν. (Ῥωσσικ. περιοδ. συγγράμμ.) 1830, τόμ. μ', 212.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πατήρ με ἀπέσταλκεν (Ἰωάν. ε', 33, 36). Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατὴρ κἀγὼ ἐν αὐτῷ (Ἰωάν. ι', 37, 38). Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον (Ἰωάν. ιε', 24· παράβ. Ματθ. ια', 5, 6· Ἰωάν. ιδ', 11).

Ἐκτὸς δὲ ταύτης τῆς κυριωτάτης τῶν θαυμάτων ὑπεροχῆς ἀπὸ πάντων τῶν ἄλλων τῆς ἀποκαλύψεως χαρακτήρων, τῶν μέχρι τοῦδε θεωρηθέντων, τ. ε. ἐκτὸς ὅτι τὰ θαύματα ἐντελῶς πείθουσιν ἐν τῇ θειότητι διδασκαλίας τινός, τῶν χαρακτήρων ἐκείνων δυναμένων μόνον πρὸς τὴν πιθανότητα προσενεγκεῖν, εἰσὶ τοῖς θαύμασι καὶ ἄλλαι οὐ μικροῦ λόγου ἄξιαι ὑπεροχαὶ ἀπ' αὐτῶν. Αὗται δέ εἰσι α', τὸ εὐκατάληπτον πᾶσι καὶ τὸ πασιφανὲς τῶν θαυμάτων, ὥσπερ ἀποδείξεως δι' ἅπαντας τοὺς ἀνθρώπους, σπουδαίους τε καὶ οὔ· ἐνταῦθα γὰρ οὐκ ἀναγκαῖαί εἰσιν ἔρευναι, διαλογισμοί, ἀφηρημέναι σκέψεις, πρὸς ἃ ἱκανοί εἰσιν ὀλίγιστοι, ὥσπερ ταῦτα ἀναγκαῖά εἰσιν ἐν τῇ κρίσει τῶν ἐσωτερικῶν τῆς ἀποκαλύψεως χαρακτήρων καὶ δὴ καὶ τῶν ἐξωτερικῶν, τ. ε. τῶν φυσικῶν· ἀλλ' ἀνάγκη μόνον ὑγειοῦς ὀφθαλμοῦ βλέπειν, καὶ ὑγιαίνοντος νοὸς κατανοῆσαι τὰς ἐντυπώσεις καὶ πεισθῆναι, ὅτι ἐνώπιον ἡμῶν ὄντως ἡ θεία ἐνεργεῖ δύναμις· β', ἡ κοινὴ τῶν θαυμάτων φύσις ὡς ἀποδείξεως πρὸς πάντα τὰ δυνάμενα μόνον ἐν τῇ ἀποκαλύψει περιλαμβάνεσθαι· ἐπὶ γὰρ τῶν ὑπὸ τῶν ἀποστόλων τοῦ Θεοῦ εἰς στήριξιν τῆς κηρυσσομένης διδασκαλίας τελουμένων θαυμάτων ὁμοίως ἀποδέξασθαι δυνάμεθα καὶ ἀληθείας τῷ νοῒ ἡμῶν καταληπτὰς καὶ ἀκαταλήπτους, δυνάμενοι κατὰ τοὺς ἐσωτερικοὺς καὶ ἐξωτερικοὺς εἴτε φυσικοὺς χαρακτῆρας τῆς ἀποκαλύψεως μόνον τῇ τῶν καταληπτῶν ἀξίᾳ πεισθῆναι, τὰ δὲ θαύματα ἐκτιμῆσαι καὶ λογικῶς ἀποδέξασθαι οὐδέποτε.

IV. Ἀλλ' ἀποδιδόντες τοιαύτην ἀξίαν τοῖς θαύμασιν, ὥσπερ χαρακτῆρσι τῆς θείας ἀποκαλύψεως, νοοῦμεν μόνα τὰ ἀληθῆ, τὰ ἀξιόπιστα θαύματα. Δισσὸν δέ ἐστι τὸ τῶν θαυμάτων ἀξιόπιστον· ἐπειδὴ πᾶν θαῦμα γεγονός τί ἐστιν ὑπερφυσικόν, αναγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καῖόν ἐστι τὸ ἀξιόπιστον, ὃ ἂν ὑποστηρίξῃ, ὅτι τὸ γεγονὸς τοῦτο α΄. ὄντως συνέβη ἐν τῇ φύσει, β΄. ἀληθῶς ὑπερφυσικόν ἐστιν.

Καὶ τῷ μὲν πρώτῳ τούτων ἀνάγκη α΄. εἰ ἡμεῖς αὐτοὶ μάρτυρές ἐσμεν θαυματικοῦ γεγονότος, ὑγιᾶ ἔχειν αἰσθητήρια καὶ ἱκανὴν προσοχήν, ἵνα ὀρθῶς τὴν ἐκ τοῦ γεγονότος ἐντύπωσιν ἀποδεξώμεθα· β΄. ἐὰν ἀκούσωμεν περὶ θαύματος παρ' ἄλλων μαρτύρων, κρῖναι τὰς αὐτῶν μαρτυρίας κατὰ τοὺς κανόνας τῆς ἱστορικῆς κριτικῆς· εἰ δ' αὗται αἱ μαρτυρίαι μόνον ἐν γραφαῖς διεσώθησαν, ὁρίσαι πρὶν τὸ γνήσιον καὶ ἀβλαβὲς αὐτῶν. Πᾶσαι δὲ αἱ ἀξιώσεις αὗται πασιφανῶς εἰσι δικαιόταται, καὶ θαύματα, οὐχ ὁμοίαν φέροντα ἔρευναν, ἀναποδράστως ψευδῆ, φάντασμα, ἀπάτην ἢ μεταγενεστέραν ἐπινόησιν ὁμολογῆσαι δεῖ. Ἐπὶ ταύτης δὲ μόνης τῆς ἀρχῆς δικαίως ἀποβάλλονται, π. χ. ἅπαντα τὰ τῶν ἐθνικῶν θαύματα, ὡς οὐ πλήρη ἔχοντα ἱστορικὴν ἀξιοπιστίαν· τοιαῦτα δέ εἰσι α΄. τὰ τοῦ Πυθαγόρου, περὶ ὧν διηγοῦνται οὐκ αὐτόπται ἢ σύγχρονοι, ἀλλ' ὁ Ἰάμβλιχος καὶ Πορφύριος, μετά τινας ἀκμάσαντες αἰῶνας, καὶ ἐσκεμμένως διηγοῦνται, ὅπως ἀντιτάξωσιν αὐτὰ τοῖς τοῦ Χριστοῦ· β΄. τὰ τῶν ῥωμαίων αὐτοκρατόρων Οὐεσπεσιανοῦ καὶ Ἀδριανοῦ, ὧν ὁ μέν, κατὰ Τάκιτον, ἀπέδωκε τυφλῷ τὴν ὅρασιν μόνῃ τῇ ἐπαφῇ, ὁ δέ, κατὰ Σπαρτιανόν, ἐποίει οὐχ ἅπαξ ὁμοίας δὴ ἰάσεις· καὶ γὰρ περὶ τοῦ θαύματος τοῦ Οὐεσπεσιανοῦ αὐτὸς ὁ Τάκιτος διηγεῖται, ὡσεὶ περὶ προεσκεμμένης παιδιᾶς[108], ὁμοίως καὶ περὶ τῶν ἰάσεων τοῦ Ἀδριανοῦ αὐτὸς δὴ ὁ Σπαρτιανὸς σημειοῖ, ὅτι ὁ ἐξ οὗ ἠρύσατο τὰς περὶ αὐτῶν διηγήσεις ἱστορικὸς μνημονεύει τούτων ὥσπερ πεπλασμένων γεγονότων[109]· γ΄. τὰ δὲ τοῦ Ἀπολλωνίου, περὶ ὧν πάμπαν οἱ σύγχρονοι σιγῶσι, πρῶτος ὁ Φιλόστρατος μαρτυρεῖ μετὰ δύο αἰῶνας, ὃς διηγεῖται ὁμοίως τῷ Ἰαμβλίχῳ καὶ Πορφυρίῳ, σαφεῖ καὶ προεσκεμμένῳ σκοπῷ ἀντιτάξαι τὰ τοῦ ἑαυτοῦ ἥρωος θαύματα τοῖς εὐαγγελικοῖς, πρὸς δὲ καὶ ἐν συγ-

---

[108] Histor. lib. IV, n. 81· παράβ. Aug. Reumann. Dissert. de miraculis Vespasiani ... tom. II, lib. 2, pag. 427.

[109] In histor. Aug. in Hadriano, n. 25. Maximus haec per simulationem facta commemorat ...

γραφῇ, πολλὰ καὶ ἄλλα ἴχνη ἐπινοήσεως καὶ ἀπάτης φερούσῃ[110]· δ'. καθόλου δὲ ἅπαντα τὰ λοιπὰ τῆς μυθικῆς ἀρχαιότητος θαύματα, ἃ ἀπέβαλλον καὶ κατελέγχον συνεχῶς καὶ αὐτοὶ οἱ ἐθνικοὶ συγγραφεῖς[111].

Πρὸς ἀξιοπιστίαν δὲ τοῦ δευτέρου ἀνάγκη αὐστηρὰν ἐπιστῆσαι προσοχήν· α'. ἐπὶ τόδε, ὄντως γεγονός τι οὐκ ἠδύνατο γενέσθαι κατὰ τὰς δυνάμεις καὶ τοὺς νόμους τῆς φύσεως· πρὸς τοῦτο οὐ πάντως χρὴ πάσας τῆς φύσεως τὰς δυνάμεις καὶ τοὺς νόμους γιγνώσκειν, ὥσπερ τινὲς διϊσχυρίζονται, ἀρκεῖ δὲ μόνον ἰδεῖν καὶ νοῆσαι ἐκεῖνο, ἠδύνατο ἐκείνη ἡ δύναμις ἢ καθόλου ἡ αἰτία, ἐξ ἧς παρήχθη τὸ θαυματικὸν γεγονός, καθ' ἑαυτὴν αὐτὸ παραγαγεῖν· ἠδύνατο, π. χ. εἷς λόγος ἀνθρώπου στιγμιαίως καταπαῦσαι τρικυμίαν καὶ νεκρὸν ἀναστῆσαι μόνῃ τῇ ἐπαφῇ, στιγμιαίως ἀσθενείας θεραπεύειν· κτλ. β'. ἐπὶ τὸ ὑποκείμενον τοῦ θαύματος· τὸ θαῦμα, ὥσπερ ἄμεσος ἐνέργεια τῆς δυνάμεως τοῦ Θεοῦ, ἀεὶ ἄξιον τοῦ Θεοῦ δεῖ εἶναι· διὸ φύσει οὐδαμῶς πιστεῦσαι δυνάμεθα ταῖς περὶ ἀλόγων ἢ γελοίων θαυμάτων διηγήσεσιν, οἷα ἡ τῶν Ἀράβων συγγραφέων περὶ τῆς Σελήνης, κατελθούσης εἰς τὴν τοῦ Μωάμεθ χειροκτίδα (muff)· γ'. ἐπὶ τὸν σκοπὸν τοῦ θαύματος, ὀφείλοντα ἀεὶ πάντως ἄξιον τοῦ Θεοῦ εἶναι, καί, ὥσπερ σκοπὸς τῆς τοῦ Θεοῦ ἰδίας ὑπερφυσικῆς ἐνεργείας, ὀφείλει ἴδιός τις καὶ ὕψιστος εἶναι· οἷα κατ' ἐξοχὴν παρίσταται μόνη ἡ „σύμπραξις τῷ πεσόντι ἀνθρωπίνῳ γένει καὶ ἑκάστῳ ἰδίᾳ εἰς τὴν θρησκείαν καὶ ἠθικήν", πρὸς ἣν τὰ φυσικὰ τοῦ ἀνθρώπου μέσα ἐν τῇ παρούσῃ αὐτοῦ διεφθαρμένῃ καταστάσει, ἀνεπαρκῆ φαίνονται· καὶ κατὰ τοῦτο ἀεὶ οἷόν ἐστι τὸ ἀληθὲς θαῦμα διακρίνειν θαυματικῶν τινῶν ἀπατῶν ἀπὸ τῶν πονηρῶν πνευμάτων, ὧν ὁ σκοπὸς ἀεὶ ἄλλος, ἀντίθετος· δ'. ἐπὶ τὰς τοῦ θαύματος περιστάσεις, τὸν τόπον, τὸν χρόνον, τὸν τρόπον τῆς ἐκτελέσεως κτλ., ὅπου πάντα δεῖ σύμφωνα εἶναι τῇ ἐννοίᾳ περὶ τῆς

---

110 Apud Huetium, Démonstr. Evangel. proposit. IX. et Dissert. de Du-Pin sur l'histoire d'Appollonius, convaincue de fausseté...

111 Βλ. π. χ. Cicer. de Divinat. II, cap. 38· Λουκιανὸν εἰς διάλογον. Ζεὺς ἐλεγχόμενος καὶ Ζεὺς Τραγῳδός. Valex. Max. 1, cap. 8, n. 6.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπερφυσικῆς ἐνεργείας τοῦ Θεοῦ· διό, ἐὰν παρατηρήσωμεν, ὅτι ψευδοθαυματικαί τινες ἐνέργειαι ἀνήκουσιν ὡρισμένῳ τινὶ χρόνῳ καὶ τόπῳ, διαπραχθῆναι δύνανται μόνον παρασκευαῖς τισιν, ἢ διαπράσσονται παραδόξως πως καὶ γελοίως, οἷά εἰσι διάφοροι γοητεῖαι· δίκαιοί ἐσμὲν εἰπεῖν, ὅτι ταῦτα οὐκ εἰσὶ θαύματα, ἀλλ' ἐνέργειαι ἢ τεχνάσματα ἢ γνώσεις κεκρυμμένων τινῶν τῆς φύσεως δυνάμεων ἢ καὶ ἀπάτης, καίτοι μὴ οἷοι εἴημεν ἑρμηνεῦσαι αὐτὰ φυσικῶς καὶ τὴν ὑπονοουμένην ἐλέγξαι ἀπάτην.

Κατὰ τὰ ῥηθέντα ἀεὶ ὁρίσαι δυνατόν, ὄντως θαῦμά τι ἀληθές ἐστιν ἢ ψευδές· δειχθησομένου δέ, ὅτι θαύματα, εἰς ἔνδειξιν τῆς θείας ἀρχῆς θρησκείας τινὸς γενόμενα, ἐντελῶς ἀξιόπιστά εἰσι καὶ ὥσπερ γεγονότα, καὶ δὴ καὶ ὑπερφυσικά, λείπεται μόνον ὁμολογῆσαι τὴν θρησκείαν ταύτην ἀληθῆ τοῦ Θεοῦ ἀποκάλυψιν, καὶ ὁλοτελῶς τῇ ὁδηγίᾳ αὐτῆς παραδοθῆναι.

### §. 44. β'. Προφητεῖαι· τὸ δυνατόν, ἡ ἀξία ἐν τῇ ἀποκαλύψει καὶ τὸ ἀξιόπιστον αὐτῶν.

I. Τὴν αὐτὴν δύναμιν τῆς ἀποδείξεως ἔχει καὶ ὁ ἕτερος ὑπερφυσικὸς χαρακτὴρ τῆς ἀποκαλύψεως, τ. ε. αἱ προφητεῖαι· εἰσὶ δὲ προφητεῖαι σαφεῖς καὶ ὡρισμέναι προῤῥήσεις περὶ μελλόντων ἐντελῶς τυχαίων, οὐ προσιτῶν εἶναι δυναμένων τοῖς διαλογισμοῖς πεπερασμένου νοός, γνωστῶν δὲ μόνῳ τῷ ἀπείρῳ Νοΐ· Ὅθεν δῆλον, ὅτι καὶ αἱ προφητεῖαι, ὑπὸ τοῦ ἀνθρώπου ἐκφραζόμεναι ἢ καθόλου ὑπὸ δεδημιουργημένου ὄντος, ὡς τὰς δυνάμεις καὶ τοὺς νόμους τῶν ὄντων τούτων ὑπερβαίνουσαι, ταὐτά εἰσι θαύματα ἐν τῇ κυρίᾳ σημασίᾳ ἢ ἴδιον εἶδος τῶν θαυμάτων.

II. Τὸ δυνατὸν τῶν προφητειῶν, τ. ε. τὸ ἀξιόπιστον τῆς ἀληθείας, ὅτι ὁ μὲν παγγνώστης καὶ παντοδύναμος Θεὸς οἷός ἐστι τῷ ἀνθρώπῳ μεταδοῦναι γνώσεις τινὰς περὶ μελλόντων, ὁ δ' ἄνθρωπος καθόλου ἱκανὸς πρὸς παραδοχὴν πάσης ἀλλοτρίας διδασκαλίας, οἷος παρὰ Θεοῦ προσλαβεῖν τοιαύτας γνώσεις καὶ αὐτὰς κηρύξαι ἐνώπιον ἄλλων· τοῦτο δὲ οὐ νέας ἀπαιτεῖ ἀποδείξεις μετὰ τὴν ἤδη ἀνάπτυξιν τοῦ δυνατοῦ τῆς ὑπερφυσικῆς καθόλου ἀποκαλύψεως· αἱ γὰρ προφητεῖαί εἰσι μόνον ἓν τῶν εἰδῶν τῆς θείας ἀποκαλύψεως περὶ μελλόντων.

III. Ἡ ἀξία τῶν προφητειῶν, ὥσπερ χαρακτῆρος τῆς ἀποκαλύψεως, φανερά ἐστιν ἐκ τοῦ αὐτῶν ὁρισμοῦ· εἰσὶ γάρ, ὥσπερ εἴρηται, σαφεῖς προῤῥήσεις περὶ μελλόντων, ἐντελῶς τυχαίων· τυχαῖα δὲ καλοῦνται τὰ δυνάμενα εἶναι καὶ μὴ εἶναι, συμβῆναι οὕτως εἴτε ἄλλως, καὶ ὧν καὶ ἡ ἀρχὴ καὶ τὸ ἔμβρυον νῦν ἄγνωστα, καὶ γενέσθαι ἐκ ποικιλωτάτων καὶ λίαν ἀπροσδοκήτων τοῦ φυσικοῦ κόσμου περιστάσεων, ἐκ τῶν ἀστάτων καὶ σιναμώρων ἐπιθυμιῶν τῆς ἀνθρωπίνης θελήσεως, καὶ ἅτινα ἀεὶ τελοῦνται πάντως ὑπὸ τὴν διάταξιν, ἢ τοὐλάχιστον παραχωρήσει τῆς τοῦ Θεοῦ Προνοίας. Ἄρα ἀκριβῶς εἰπεῖν τι τυχαῖον εἶναι, προειδέναι δεῖ πάντας τοὺς δυνατοὺς συνδυασμοὺς τῶν αἰτίων καὶ περιστάσεων, ἐξ ὧν δύναται τοῦτο παραχθῆναι, εἰσελθεῖν εἰς τὰ κρυφιώτατα βάθη τῆς ἀνθρωπίνης καρδίας καὶ προορίσαι τὰς ἐν αὐτῇ μελλούσσας ἐπιθυμίας, εἰς τὰ σχέδια καὶ τοὺς σκοποὺς αὐτῆς τῆς Προνοίας, πάντα τὰ ἐν τῷ κόσμῳ διοικούσης· ἀλλὰ ταῦτα τοιαῦτά εἰσιν, ἅτινα ἀφιλονείκως οὐδεὶς πεπερασμένος νοῦς ἀνθρώπινός τε καὶ αὐτῶν ἔτι τῶν Σεραφείμ οἷός ἐστιν ἐκτελέσαι. Ἄρα, ὅτε βλέπομεν, ὅτι ὁ διδασκαλίαν τινὰ κηρύσσων εἰς ἔνδειξιν τῆς θειότητος αὐτῆς ἐκφράζει προφητείας, εἶτα, ὄντως ἐκτελουμένας, ἀναμφιβόλως αὐτὰς οὗτος παρέλαβε κατ' ἔμπνευσιν ἄνωθεν, καὶ αὗταί εἰσιν ἀναντίῤῥητος αὐτοῦ τοῦ ἀληθινοῦ καὶ παναγίου Θεοῦ μαρτυρία περὶ τῆς ἀξιοπιστίας τῶν λόγων τοῦ ἀποστόλου αὐτοῦ, καὶ πασιφανὴς ἀνεξάλειπτος τοῦ Θεοῦ σφραγίς, τὴν ἀληθῆ ἐνισχύουσα ἀποκάλυψιν. Καὶ τὴν ἀλήθειαν ταύτην ὁμολόγουν ὁλοκλήρως αὐτοὶ οἱ ἐθνικοὶ φιλόσοφοι, ἀεὶ ἐξαιρετικῶς ἀποδιδόντες μόνῳ τῷ Θεῷ τὴν πρόγνωσιν τοῦ τυχαίου μέλλοντος, καὶ τοὺς προφήτας θεωροῦντες ὥσπερ κήρυκας τοῦ θελήματος αὐτοῦ[112]. Ὁ δὲ νομοθέτης τῆς παλαιᾶς διαθήκης Μωϋσῆς ἐδεί-

---

[112] Οὕτω λέγει ὁ Ἰάμβλιχος· „πρόγνωσις δὲ οὐκ ἔστιν ἓν τῶν ἐν τῷ γίγνεσθαι, οὐδ' οἷον φυσική τις ἀπεργάζεται μεταβολή, οὐ δέ τι τέχνασμα ἐξεύρηται τοῦτο εἰς τὴν τοῦ βίου κατασκευὴν χρήσιμον μεμηχανημένον, οὐδ' ἀνθρωπικόν ἐστι τὸ ἔργον, θεῖον δὲ καὶ ὑπερφυές, ἄνωθέν τε ἀπὸ τοῦ οὐρανοῦ καταπεμπόμενον, ἀγέννητόν τε καὶ ἀΐδιον αὐτοφυῶς προηγεῖται. Ἰάμβλ. αἱρ. γ'. κεφ. α', παράβ. κεφ. 7 καὶ 8. Πολλὰς ἄλλας ὁμοίας μαρτυρίας βλ. apud. Dan. Huetium. Démonstr. Evangel. axiom. IV.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κνυε τὰς προφητείας, ὥσπερ γνώρισμα τῆς θειότητος διδασκαλίας τινὸς κυριώτατον. Ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ σου· πῶς γνωσόμεθα τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε κύριος; Ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματι κυρίου, καὶ μὴ γένηται τὸ ῥῆμα, καὶ μὴ συμβῇ τοῦτο τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε κύριος· ἐν ἀσεβείᾳ ἐλάλησεν αὐτὸ ὁ προφήτης (ἐκεῖνος), οὐκ ἀφέξεσθε ἀπ' αὐτοῦ (Δευτερ. ιη'. 21, 22). Ὁ δὲ προφήτης Ἡσαΐας, ἐλέγχων τὴν οὐδένειαν τῶν ἐθνικῶν θεῶν, ἔλεγεν· ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα, ὅτι θεοί ἐστέ (Ἡσα. α', 23), καὶ ἐκ προσώπου τοῦ ἀληθινοῦ Θεοῦ ἐμαρτύρει, λέγων· μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ, ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη (Ἡσ. μς', 9, 10)· ἀλλὰ καὶ ὁ Σωτὴρ εἰς ἔνδειξιν τῆς θείας αὐτοῦ ἀποστολῆς λέγει τοῖς Ἰουδαίοις· ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ (Ἰωάν. ε', 39)· τοῖς δὲ μαθηταῖς, ἀρξάμενος ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευσεν ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ αὐτοῦ (Λουκ. κδ', 27).

Ἰδίαν δὲ ἀποδείξεως δύναμιν προσκτῶνται αἱ προφητεῖαι α'. ὅταν ἔχωσιν ὑπόθεσιν μέλλοντα τυχαῖά τε καὶ θαυματικά, πάμπαν ἐκ μόνου τοῦ θελήματος τοῦ Θεοῦ ἀναρτώμενα, οἷαι αἱ τοῦ Μωϋσέως προφητεῖαι περὶ τῶν δέκα αἰγυπτίων πληγῶν, αἱ τοῦ Σωτῆρος περὶ τῆς αὐτοῦ ἀναστάσεως κτλ. β'. ὅταν σχηματίζωσι μίαν ἀδιάκοπον ἅλυσον προῤῥήσεων, ὅλους διαρκουσῶν αἰῶνας ὑπέρ τινος θρησκείας, ὥσπερ συνέβη τῇ χριστιανικῇ.

IV. Ἡ ἀξιοπιστία τῶν προφητειῶν, ὥσπερ καὶ ἡ τῶν θαυμάτων, δισσή ἐστιν, ἡ μὲν ὀφείλει δεῖξαι, ὅτι ἡ προφητεία ὄντως ἐρέθη καὶ ὄντως ἐξετελέσθη, ἡ δὲ λῦσαι, ἀληθῶς αὕτη ἐνέργειά ἐστιν ὑπερφυσική, καὶ οὐ δύναται φυσικῶς ἑρμηνευθῆναι.

Καὶ ἐν μὲν τῷ προσδιορισμῷ τῆς πρώτης τρία τινά εἰσι· α'. δυνάμεθα ἡμεῖς αὐτοὶ καὶ ἀκοῦσαι τῆς προῤῥήσεως ἐκ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χειλέων τοῦ προφήτου καὶ μετά τινα χρόνον τὴν ἐκπλήρωσιν αὐτῆς ἰδεῖν, ὥσπερ οὐχ ἅπαξ τοῖς Ἀποστόλοις συνέβη, ἀκούσασι καὶ πεπληρωμένας ἰδοῦσι πολλὰς τοῦ Χριστοῦ προφητείας· β'. οὐκ αὐτοὶ ἡμεῖς ἀκοῦσαι, ἀλλὰ μόνον ἰδεῖν τὴν ἐκπλήρωσιν, γνόντες τὴν προφητείαν ἐκ μαρτυρίας ἄλλων, ὥσπερ καθόλου συνέβη τοῖς τῷ Σωτῆρι συνακμάσασιν, ἐπ' αὐτοῦ ἰδοῦσι τὴν ἐκπλήρωσιν τῶν τῆς παλαιᾶς διαθήκης προφητειῶν· γ'. καὶ οὐκ αὐτοὶ ἀκοῦσαι τῆς προφητείας καὶ οὐκ ἰδεῖν τὴν ἐκπλήρωσιν, γνῶναι δὲ ἀμφότερα τῇ στοματικῇ μαρτυρίᾳ εἴτε τῇ γραπτῇ· οἷαι ὡς πρὸς ἡμᾶς αὐταὶ αἱ ἐπὶ τοῦ Χριστοῦ ἐκπληρωθεῖσαι προφητεῖαι τῆς παλαιᾶς διαθήκης. Καὶ ἐν μὲν τῷ α'. καὶ ἐν μέρει τῷ β'. πρὸς πεποίθησιν ἡμῶν ἐν τῇ ἱστορικῇ ἀξιοπιστίᾳ τῆς προφητείας ἀνάγκη μόνον ὑγειᾶς ἔχειν αἰσθήσεις καὶ προσήκουσαν προσοχήν· ἐν δὲ τῷ γ'. καὶ ἐν μέρει τῷ β'. ἀναπόδραστόν ἐστι παραβαλεῖν τὰς μαρτυρίας πρὸς τοὺς κανόνας τῆς ἱστορικῆς κριτικῆς· καὶ ἐὰν ταῦτα ἐκπληρωθῶσιν, ἡ ἱστορικὴ ἀξιοπιστία τῶν προφητειῶν ἀνωτέρα εἶναι ὀφείλει πάσης ἀμφιβολίας.

Ἐν δὲ τῷ τῆς δευτέρας προσχεῖν δεῖ τὸν νοῦν α'. ἐπὶ τῆς ὑποθέσεως αὐτῶν, καθ' ἥν, ὥσπερ γινώσκομεν ἐξ αὐτῆς τῆς ἐννοίας περὶ προφητείας, πάντως δεῖ τυχαῖα εἶναι γεγονότα· μόνῳ δὲ τούτῳ αἱ ὑπερφυσικαὶ προῤῥήσεις καὶ διακριθῆναι δύνανται πασῶν τῶν φυσικῶν, εἴτε ἀνθρωπίνων, ὑπόθεσιν ἐχουσῶν ἀναγκαῖα γεγονότα, οἷαι αἱ τῶν ἀστρονόμων προῤῥήσεις, τῶν πολιτικῶν, τῶν ἰατρῶν· β'. ἐπὶ τοῦ τρόπου τῆς προῤῥήσεως, ὃν κατ' αὐτὴν τὴν περὶ τῆς προφητείας ἔννοιαν πάμπαν δεῖ εἶναι, ὅσον οἷόν τε, σαφῆ καὶ ὡρισμένον· καὶ τῷ γνωρίσματι τούτῳ διακρίνονται αἱ προφητεῖαι τῶν ἀνθρωπίνων προαισθημάτων, ὡς τὰ πολλὰ σκοτεινῶν, τῶν ποικίλων εἰκασιῶν καὶ ὑποθέσεων περὶ τῶν μελλόντων, πασῶν τῶν ἐθνικῶν προῤῥήσεων, ἀεὶ ἀορίστων, σκοτεινῶν, ἀμφιλόγων οὐσῶν, ὥσπερ ἔργου δολιότητος καὶ ἀπάτης· διὸ δικαίως κατεγελῶντο ὑπ' αὐτῶν τῶν ἐθνικῶν συγγραφέων [113]. γ'. ἐπὶ τοῦ

---

[113] Π. χ. ὁ Κικέρων περὶ τῶν διασημοτάτων τοῦ Ἀπόλλωνος χρησμῶν λέγει· Sed jam ad te venio, sancte Apollo ..., tuis enim oraculis Chrysippus totum volumen implevit, partim falsis, ut ego opinor, partim casu veris, ut fit in omni oratione saepissime, partim flexiloquis et

σκοποῦ τῶν προφητειῶν, ὀφείλοντος, ὁμοίως τῷ τῶν θαυμάτων, ἐντελῶς ἀξίου τοῦ Θεοῦ εἶναι, πρὸς δέ, ἰδίου, ὑψίστου, ὃν κατ' ἐξοχὴν ἀποδέξασθαι δεῖ καὶ ᾧδε, σύμπραξιν τῷ πεπτωκότι ἀνθρώπῳ ἐν τῇ θρησκείᾳ καὶ τῇ ἠθικῇ ὄντα· δ'. ἐπὶ τῶν περιστάσεων τῶν προφητειῶν· αἱ γὰρ ἀληθεῖς προφητεῖαι, ὥςπερ ὑπὸ προφήτου ἀμέσως παρ' αὐτοῦ τοῦ Θεοῦ παραλαμβανόμεναι, οὐκ ἐκ τοῦ τόπου, χρόνου καὶ προπαρασκευῶν τινῶν ἐξαρτᾶσθαι δύνανται, ἐκ μόνου τοῦ θείου ἐξαρτώμεναι θελήματος. Ὅθεν παράδοξον ἂν εἴη προφητείας καλέσαι ψευδεῖς ἐθνικὰς προῤῥήσεις, ἀνηκούσας, οὕτως εἰπεῖν, ὡρισμένοις τόποις, ἐφ' ὧν ἵσταντο τὰ μαντεῖα, ὡρισμένοις χρόνοις (π. χ. ἐν Δελφοῖς ἡ Πυθία ἠδύνατο τὰς προῤῥήσεις ἅπαξ τοῦ ἔτους περὶ τὰς ἀρχὰς τοῦ ἔαρος διδόναι), καὶ ἐλέγοντο ὡς τὰ πολλὰ μετὰ διαφόρους παρασκευὰς (ἡ αὐτή, π. χ. Πυθία πρὸ τῆς ἐπὶ τὸν τρίποδα ἀναβάσεως τρεῖς ἐνήστευεν ἡμέρας, ἐλούετο ἐν τῇ πηγῇ Κασταλίᾳ, καὶ ἐξ αὐτῆς ἔπινε σταγόνας τινὰς ὕδατος, ἔτρωγε φύλλα δάφνια, παρὰ τῇ αὐτῇ συλλεγέντα πηγῇ, μετὰ δὲ ἐπὶ τὸν τρίποδα ἀνέβαινεν, ὡρισμένῳ εἰργασμένον τρόπῳ καὶ προεπιτεθέντα ἐφ' οὗ τόπου ἰδίᾳ δυνάμει ἐνεργεῖν ἠδύναντο αἱ ἐαριναὶ ἀναθυμιάσεις, ἐκ τῆς γῆς ἐξερχόμεναι κτλ.)· ε'. ἐπ' αὐτῆς τῆς ἐκτελέσεως τῆς προφητείας· προφητεία, οὐχ ὑπὸ συμβεβηκότος δικαιωθεῖσα, ἀναξία ἐστὶ καὶ τοῦ ὀνόματος, καὶ εἰ περιεῖχε πάντα τὰ ἀπαριθμηθέντα ἰδιώματα· ἀνάγκη δέ, ἵνα μὴ μεταξὺ τῆς προφητείας καὶ τοῦ γεγονότος φανῇ τυχαία τις λίαν ἄσημος ὁμοιότης, ἀλλ' ὁμοιότης οὐσιώδης καὶ πλήρης τοὐλάχιστον ἐν τοῖς κυριωτάτοις γνωρίσμασιν.

Ἐκ τῆς θεωρίας οὖν τῶν ἐσωτερικῶν καὶ ἐξωτερικῶν, φυσικῶν τε καὶ ὑπερφυσικῶν τῆς θείας ἀποκαλύψεως χαρακτήρων

---

obscuris, ut interpres egeat interprete, et sors ipsa referenda sit ad sortes, partim ambiguis et quae ad dialecticam deferenda sind... (De Divin. lib. II, cap. 56) Ὁμοίως καὶ Λουκιανός· recte quidem hoc dixisti, Apollo, quod eos laudasti, qui perspicue loquantur; quamquam id non admodum in oraculis tuis observare soles, quae tu obiqua et intricata reddis, et in mediam intercapedinem tuto projicis plerumque, ut ad eorum expositionem auditores alio egeant Pythio (in Jove tragoed.).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δηλοῦται, ὅτι οὗτοι λίαν ἐπαρκοῦσιν, ἵνα κατ' αὐτοὺς γνῶμεν τὴν ἀληθῆ ἀποκάλυψιν καὶ διακρῖναι αὐτὴν τῶν ψευδῶν. Ἀληθῶς, οἱ ἐσωτερικοὶ καὶ ἐξωτερικοὶ χαρακτῆρες ἐλέγξαι μόνον δύνανται τὴν ψευδῆ ἀποκάλυψιν, τὴν δὲ ἀληθῆ μόλις τῇ ἀληθείᾳ ὁμοίαν ποιῆσαι· ἀλλ' οἱ ὑπερφυσικοί, τ. ε. τὰ θαύματα καὶ αἱ προφητεῖαι, ἐὰν ὁλοκλήρως ἀξιόπιστοι φανῶσι, δύνανται ἤδη πάντως τὴν ἀληθῆ μαρτυρῆσαι ἀποκάλυψιν.*

---

## ΤΜΗΜΑ Β'.

### Περὶ τῆς χριστιανικῆς θρησκείας, ὥσπερ μόνης ἀληθοῦς ἀποκαλύψεως.

§. 45. *Περὶ τῶν ὑποθέσεων τοῦ τμήματος τούτου.*

*Μέχρι τοῦδε ἀνεπτύξαμεν πρῶτον μὲν γενικὰς περὶ θρησκείας γνώσεις, ἵνα βοηθείᾳ αὐτῶν κατανοήσωμεν εἰδικῶς, τί ἐστι χριστιανικὴ θρησκεία· εἶτα περὶ ἀποκαλύψεως, ἵνα ἐπὶ τῇ βάσει αὐτῶν δείξωμεν, ὅτι ἡ χριστιανικὴ θρησκεία ὄντως ἐστὶν ἡ μόνη ἀληθὴς ἀποκάλυψις. Ἤδη δὲ ὠφελεῖσθαι δεῖ τούτων τῶν γνώσεων καὶ ὄντως ἐφαρμόσαι τῷ χριστιανισμῷ 1, ὥσπερ θρησκείᾳ, 2, ὥσπερ ἐξ ἀποκαλύψεως θρησκείᾳ.*

*Σημειωτέον ὅμως, ὅτι ὁ τρόπος τῆς ἐφαρμογῆς τούτων οὐχ ἁπλοῦς· καὶ ἐκ τῶν μέν, ὥσπερ γενικῶν ἀρχῶν, ἐπαρκεῖ συμπεράσματα μόνον ἐξαγαγεῖν ὡς πρὸς τὸν χριστιανισμὸν ἄνευ πάσης νέας διασαφίσεως καὶ ἐνδείξεως· τὰς δὲ τοὐναντίον ἀναπόδραστόν ἐστι τῷ χριστιανισμῷ ἐφαρμόσαι ἐν πάσῃ τῇ ἐκτάσει μετὰ τῶν ποικίλων καὶ εἰδικωτέρων πρὸς αὐτὸν παρατηρήσεων. Καὶ λοιπὸν ἐν τῇ καθόλου διδασκαλίᾳ περὶ θρησκείας πρῶτον μὲν ἐστηρίξαμεν τὰς ἐφ' ὧν ἐπερείδεται πᾶσα θρησκεία ἀληθείας, καὶ ὧν ἄνευ ἀδύνατον ὑπάρξαι· οἷον· τὴν περὶ τῆς τοῦ Θεοῦ ὑπάρξεως, καὶ τὴν περὶ τῆς ὑπάρξεως καὶ ἀθανασίας τῆς ἀνθρωπίνης ψυχῆς· εἶτα δὲ ἐθεωρήσαμεν αὐτὴν τὴν τῆς θρησκείας οὐσίαν ἐκ τῶν ἀναφαιρέτων αὐτῆς ἰδιοτήτων καὶ τῶν αὐτῇ προσκειμένων· καὶ ἔπειτα τὴν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζωηρὰν ἐδείξαμεν κοινωνίαν τῆς θρησκείας τῇ Ἐκκλησίᾳ, καθ' ἣν αὗται συνιστᾶσιν ἕν τι ἀχώριστον ὅλον, οὗ ἄνευ οὐδεμία ἀρκούντως καταληπτὴ εἶναι δύναται. Τὰ τρία ταῦτα ὁμοίως ἀναγκαῖά εἰσι τῇ ἀκριβεῖ στηρίξει καὶ διασαφίσει τῆς ὀρθῆς περὶ τῆς χριστιανικῆς θρησκείας γνώσεως· ἀλλὰ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον οὐδαμῶς δέονται ᾧδε νέας τινὸς ἀναπτύξεως καὶ ἀκριβεστάτης τῷ χριστιανισμῷ ἐφαρμογῆς, ἀρκεῖ δὲ μόνον ἐπ' ἐκείνου μὲν συμπεράναι, ὅτι καὶ ἡ χριστιανικὴ θρησκεία, ὥσπερ τοιαύτη, ἐπὶ ἀκλονήτων ἐπερείδεται ἐρυμάτων, ἐπὶ τούτου δέ, ὅτι αὕτη ἀδιαλείπτως ἥνωται τῇ Ἐκκλησίᾳ. Μόνον δὲ τὸ δεύτερον πολλῆς δεῖται ἐφαρμογῆς τῷ χριστιανισμῷ καὶ εἰδικωτέρας ἀναπτύξεως· ἡ γὰρ χριστιανικὴ θρησκεία ἐκτὸς τῶν καθόλου ἰδιοτήτων καὶ ἰδίας ἔχει, καθ' ἃς πασῶν τῶν ἄλλων διακρίνεται, καὶ ὧν ἄνευ οὐδαμῶς καταληπτὴ εἶναι δύναται.

Ὁμοίως δὲ καὶ ἐν τῇ καθόλου διδασκαλίᾳ περὶ ἀποκαλύψεως κατ' ἀρχὰς μὲν ἐδείξαμεν τὸ δυνατὸν τῆς ὑπερφυσικῆς ἀποκαλύψεως, εἶτα δὲ τὴν ἀνάγκην αὐτῆς, καὶ τέλος τοὺς οὐσιώδεις χαρακτῆρας· ἄνευ γὰρ τούτων πάντων οὐδέποτ' ἂν οἷοι εἴημεν βασίμως τὴν περὶ τοῦ χριστιανισμοῦ, ὥσπερ ἀποκαλύψεως, ἀναπτύξαι γνῶσιν καὶ ἄλλας γνώσεις ἡμῖν οὐσιωδεστάτας καὶ ἀναγκαιοτάτας. Ἀλλ' ἡμῖν, ἤδη ταύτας ἔχουσι καὶ γινώσκουσιν, ὅτι ἡ ὑπερφυσικὴ ἀποκάλυψις καὶ δυνατὴ καὶ ἀναγκαῖα, καὶ τοιούτους καὶ οὐκ ἄλλους ὀφείλει ἔχειν χαρακτῆρας, λῦσαι λείπεται τὴν ἐρώτησιν μόνον, ὄντως ἡ χριστιανικὴ θρησκεία ἔχει πάντας τούτους τοὺς χαρακτῆρας. Καὶ ἐὰν ἴδωμεν, ὅτι ὄντως, ἀφ' ἑαυτὸ ἤδη τὸ συμπέρασμα ἕπεται, ὅτι αὕτη, ὥσπερ ἀποκάλυψις ὑπερφυσική, καὶ δυνατὴ καὶ ἀναγκαία, καὶ ὄντως ὑπ' αὐτοῦ τοῦ Θεοῦ δεδώρηται.

Ὁρίσαντες οὖν τὰς ὑποθέσεις τοῦ τμήματος τούτου, ἀρχόμεθα τῆς αὐτῶν θεωρίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

### Περὶ τοῦ χριστιανισμοῦ, ὥσπερ θρησκείας.

§. 46. *Περὶ τῆς χριστιανικῆς θρησκείας.*

*Ἡ χριστιανικὴ θρησκεία κατὰ τὴν ἑαυτῆς οὐσίαν οὐ μόνον διαθήκη ἐστὶ μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, ἀλλὰ καὶ διαθήκη νέα, ἀνακαινισθεῖσα μετὰ τὴν τοῦ ἀνθρώπου παράβασιν τῆς πρωτογόνου. Ἄλλως δ' εἰπεῖν, ἡ χριστιανικὴ θρησκεία καινή ἐστι διαθήκη τοῦ πεπτωκότος ἀνθρώπου πρὸς τὸν τρισυπόστατον Θεὸν τῷ σταυρικῷ θανάτῳ τοῦ ἐνσαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ, δι' οὗ, κατὰ τὸν Ἀπόστολον, ἔχομεν τὴν προσαγωγὴν ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα* (Ἐβρ. β', 18). *Ἐν τούτοις τοῦ θεοπνεύστου Ἀποστόλου τοῖς ῥήμασιν οὐ μόνον ὁ διακριτικὸς τῆς χριστιανικῆς θρησκείας δείκνυται χαρακτήρ, καθ' ὃν αὕτη ἰδίως προσαγωγὴ τοῦ ἀνθρώπου, ἀπ' αὐτοῦ ἀφεστῶτος, πρὸς τὸν Θεόν ἐστιν, ἄρα ἐστὶν οὐ πρώτη αὐτοῦ τῷ Θεῷ διαθήκη ἀλλὰ καινή, ἀλλ' ὁρίζεται καὶ αὐτὴ ἡ μετοχὴ ἑκάστου τῶν προσώπων τῆς ὑπεραγίας Τριάδος ἐν τῇ προσαγωγῇ ταύτῃ καὶ τῇ καινῇ διαθήκῃ, ἡ τοῦ Υἱοῦ· ἐν αὐτῷ ἔχομεν τὴν προσαγωγὴν ... ἡ τοῦ ἁγίου Πνεύματος· προσαγωγὴν ἐν ἁγίῳ Πνεύματι ... καὶ ἡ τοῦ πατρός· προσαγωγὴν πρὸς τὸν πατέρα. Ἀκριβὴς δὲ ἀνάπτυξις τῆς τοιαύτης περὶ τῆς χριστιανικῆς θρησκείας γνώσεως, ἔστιν εἰπεῖν, πάντα τὰ Εὐαγγέλιά εἰσι καὶ πᾶσαι αἱ τῶν Ἀποστόλων ἐπιστολαί, ἐξ ὧν πρὸς παράδειγμα χωρία τινὰ μᾶλλον σαφῆ προσάγομεν. Καὶ τοιαῦτά εἰσι πρῶτον αἱ αὐτοῦ τοῦ Σωτῆρος ῥήσεις α'· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ* (Ἰωάν. ιδ', 6)· *β'· καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον* (Ἰωάν. γ', 14, 15)· *γ'. ἐὰν μή τις γεννηθῇ ἐξ ὕδα-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ (Ἰωάν. γ', 5)· δεύτερον δὲ αἱ τῶν ἁγίων Ἀποστόλων· α'. δικαιωθέντες ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν (Ῥωμ. ε', 1, 2)· β'. ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσωμεν (α'. Πέτρ. β', 24)· γ'. οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ (α'. Κορ. ιβ', 3).

Ἀλλ' ἵνα ἀκριβέστερον τὴν οὐσίαν τῆς καινῆς ταύτης διαθήκης παραστήσωμεν, θεωρήσωμεν καὶ αὐτὴν κατ' αὐτὰς τὰς οὐσιώδεις ἰδιότητας, καθ' ἃς ἤδη καὶ τὴν θρησκείαν καθόλου ἐθεωρήσαμεν.

### §. 47. Βάσις καὶ ἀρχὴ τῆς χριστιανικῆς θρησκείας.

Αἰτία πρὸς ἀνακαίνισιν τῆς μεταξὺ Θεοῦ καὶ ἀνθρώπου διαθήκης τῷ σταυρικῷ τοῦ Ἰησοῦ Χριστοῦ θανάτῳ ἦν ἡ τοῦ ἀνθρώπου πτῶσις ἢ ἡ αὐτοῦ ἀπιστία τῇ πρωτογόνῳ διαθήκῃ· ἄλλως γὰρ οὐκ ἂν εἴη ἀνάγκη νέας. Ὅμως μετὰ τὴν πτῶσιν οὐκ ἀπώλεσεν ὁ ἄνθρωπος ἐντελῶς τὴν τοῦ Θεοῦ εἰκόνα, οὐδ' ἐστερήθη τῆς ἐλευθέρας θελήσεως, οὐδέ, ὡς τὸ πεσὸν πνεῦμα, ἐσκληρύνθη· τοὐναντίον, ἔμεινε τῇ ἐπιγνώσει τῆς ἑαυτοῦ ἐνοχῆς ἐνώπιον τοῦ Θεοῦ, καὶ τῇ ἐπιθυμίᾳ καταλλαγῆναι τῷ ἑαυτοῦ Δημιουργῷ· ἄλλως δὲ ὁ ἄνθρωπος μὴ ἂν ἱκανὸς εἴη πρὸς καινὴν διαθήκην τῷ Θεῷ. Ἡ χριστιανικὴ πίστις στρέφει πρὸς τὸν ἄνθρωπον, ὥσπερ ὂν πεπτωκός, διεφθαρμένον, ἀσθενές, προτίθησιν αὐτῷ σωτήριον φάρμακον, καὶ παρ' αὐτοῦ μετανοῆσαι καὶ καταλιπεῖν τὸν πρῶτον ἁμαρτωλὸν βίον ἀπαιτεῖ· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν (Ματθ. δ', 17), οὕτως ἤρξατο τοῦ κηρύγματος ὁ Σωτήρ, εἰσελθὼν εἰς τὸ στάδιον τῆς κοινῆς διακονίας· μετανοεῖτε (Πρ. β', 28), ἔκραζον καὶ οἱ Ἀπόστολοι, ἀρχόμενοι τοῦ εὐαγγελικοῦ λόγου. Καθόλου δὲ τὸ περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου δόγμα τοσούτῳ οὐσιῶδές ἐστιν ἐν τῇ χριστιανικῇ θρησκείᾳ, ὥστε τῇ ἀποβολῇ αὐτοῦ ἀπόλλυσιν αὕτη πᾶσαν τὴν ἑαυτῆς σημασίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Ἀπὸ δὲ τοῦ Θεοῦ βάσις ταύτης τῆς καινῆς διαθήκης, ὥς ποτε τῆς πρωτοπλάστου, μόνη ἡ πανάγαθος αὐτοῦ θέλησις περὶ τοῦ ἀνθρώπου ἦν, καὶ δὴ ἡ ἄπειρος τοῦ Θεοῦ Πατρὸς ἀγάπη ἡμῖν τοῖς ἁμαρτωλοῖς, αὐτὸν τὸν μονογενῆ Υἱὸν δόντος, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον (Ἰωάν. γ', 16)· ἡ ἄπειρος πρὸς ἡμᾶς ἀγάπη τοῦ Θεοῦ Υἱοῦ, θέντος ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν (Ματθ. κ', 28)· ἡ ἄπειρος πρὸς ἡμᾶς ἀγάπη τοῦ Θεοῦ ἁγίου Πνεύματος, δαψιλεστάτου δοτῆρος πασῶν τῶν τῆς χάριτος δωρημάτων (α'. Κορ. ιβ', 7), καὶ ἐν ταῖς καρδίαις ἡμῶν ὑπὸ τῆς ἀγάπης ἐκκεχυμένου (Ῥωμ. α', 5).*

*Κατὰ τὴν ἄπειρον πρὸς ἡμᾶς ἀγαθότητα τοῦ Πλάστου ἡμῶν καὶ μετὰ τὴν πτῶσιν τοῦ ἀνθρώπου κρῖναι δυνάμεθα, πότε ἐτέθη ἡ ἀρχὴ τῆς καινῆς ταύτης διαθήκης τῆς χάριτος. Ὁ Πανάγαθος ἀπ' αἰῶνος προεῖδε τὴν ἡμῶν πτῶσιν, διὸ ἀπ' αἰῶνος προώρισεν ἀναστῆσαι ἡμᾶς διὰ τοῦ μονογενοῦς Υἱοῦ (Πράξ. β'. 24), καὶ ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ (Ἐφ. α'. 4, 5). Καὶ ἐν χρόνῳ ἡ ἐκπλήρωσις αὕτη τοῦ ὑπὲρ ἡμῶν προορισμοῦ τῆς ἀπείρου τοῦ Θεοῦ ἀγάπης ἤρξατο ἅμα τῇ πτώσει τοῦ ἀνθρώπου. Ἀποφαινόμενος οὖν ὁ οὐράνιος Κριτὴς τὴν δικαίαν κρίσιν κατὰ τῶν δυστυχῶν προπατόρων ἕνεκα τῆς παραβάσεως τῶν ὅρων τῆς πρωτογόνου διαθήκης, τότε καὶ ἐκάλεσεν αὐτοὺς εἰς νέαν διαθήκην πρὸς ἑαυτόν, δοὺς αὐτοῖς τὴν παραμυθητικὴν ἐπαγγελίαν περὶ τοῦ σπέρματος τῆς γυναικός, μέλλοντος τὴν τοῦ ὄφεως κεφαλὴν τηρῆσαι (Γεν. γ', 15). Καὶ ἔκτοτε ἡ εἰς Χριστὸν τὸν Σωτῆρα πίστις οὐδέποτε ἐπαύσατο ἐν τῷ ἀνθρωπίνῳ γένει (Ἑβρ. ια', 2—23· ιβ', 2), ὥσπερ καὶ οὐδέποτε παύσεται (Ματθ. ις', 18). Καὶ ἡ γῆ εἶδε τὸ ἅγιον σπέρμα τῶν ἀληθινῶν χριστιανῶν καὶ πρὸ τῆς τοῦ Μεσσίου ἐλεύσεως*[114]*, ὥσπερ εἶδε καὶ βλέπει αὐτοὺς ἀπὸ τῆς ἐλεύσεως αὐτοῦ.*

---

[114] *Περὶ τούτου Βλ. Εἰρηναῖον (κατὰ αἱρέσ. δ', κεφ. 22), Χρυσόστομον (ἀπάντ. τόμ. ια', σελ. 75. Βενετ. 1741), Εὐσέβειον (ἱστορ. α', 1, κεφ. 4),*

§. 48. *Τί ὁ Θεὸς ἐποίησεν ἐν τῇ χριστιανικῇ Θρησκείᾳ, καὶ τί παρὰ τοῦ ἀνθρώπου ἀπαιτεῖται.*

I. *Βουληθεὶς ὁ κύριος τὸν πεπτωκότα ἄνθρωπον ἐκ τῆς οἰκτρᾶς αὐτοῦ καταστάσεως ἐξαγαγεῖν εἰς νέαν τὴν τῆς χάριτος, ηὐδόκησεν ἐκπληρῶσαι πάντας τοὺς ἀναγκαίους πρὸς τοῦτο ὅρους, οὕς, ὥσπερ εἴρηται* (§. 31—34), *αὐτὸς ὁ ἄνθρωπος οὐδέποτε ταῖς ἰδίαις δυνάμεσιν ἐκπληρῶσαι ἠδύνατο. Τρισὶ δὲ χρήσασθαι εὐδόκησε τούτοις·*

1. *Φωτίσαι τὸν πεσόντα ἄνθρωπον τῷ φωτὶ τῆς ἀληθοῦς διδασκαλίας τῆς θρησκείας, τ. ε. τῇ ὑπερφυσικῇ ἀποκαλύψει· Τούτου δ' ἕνεκα καὶ πρὸ τῶν Πατριαρχῶν ἔτι τὸ μὲν ἐφαίνετο ὁ κύριος αὐτὸς αὐτοῖς, τὸ δὲ μετεδίδου τισὶν αὐτῶν τὸ δώρημα τῆς προφητείας, τὸ δὲ ἀνήγγελλεν αὐτοῖς τὸ ἑαυτοῦ θέλημα διὰ τῶν Ἀγγέλων, καὶ ἡ οὐρανία τῆς πίστεως διδασκαλία μετέβαινεν ἀπὸ γενεᾶς εἰς γενεὰν τῇ στοματικῇ παραδόσει. Εἶτα δὲ ἐν θριάμβῳ τοῖς Ἰσραϊλίταις ἐδωρήσατο γραπτὸν νόμον διὰ τοῦ Μωϋσέως, καὶ ἔπεμψε πρὸς αὐτοὺς ὁλόκληρον σειρὰν προφητῶν, οἵ τινες κατ' ἔμπνευσιν τοῦ ἁγίου Πνεύματος προφορικῶς τε καὶ γραπτῶς ἐξεφράζοντο τὸν λόγον τοῦ Κυρίου· καὶ τούτου ἕνεκα* (*Λουκ.* δ'. 43) *ἐφάνη τέλος ἐπὶ τῆς γῆς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς* (*Ἰωάν.* α', 18), *ἐκήρυξε τὸ εὐαγγέλιον τῆς βασιλείας* (*Ματθ.* θ', 35), *ἔπεμψε τοὺς ἁγίους Ἀποστόλους κηρύξαι, οἵτινες, ἄνωθεν δυνάμει περιβεβλημένοι, ἤγγειλαν στοματικῶς τε καὶ γραπτῶς παντὶ τῷ κόσμῳ τὴν*

---

*Γρηγόριον τὸν μέγαν* (*Ὁμιλ. ιδ', εἰς Εὐαγγέλ.*) *Καὶ μάλιστα τὸν μακάρ. Αὐγουστῖνον* (Serm. de Jacob et Esau 4, alias 44; Tract. 45 in Johan. in Psalm. 36 et 148; Serm. ccc. ἢ 1 in Solemn. Martyr. Machab: tom. VIII, p. 850; Retract. 1, cap. 13, in t. 1, opp. fol. 1, 9. ε). *Ἐν δὲ τῷ ἐσχάτῳ χωρίῳ ταῦτα λέγει ὁ μακαρ. Αὐγουστῖνος.* „Res ipsa, quae nunc christiana religion nuncupatur, erat ut apud antiquos, nec defuit ab initio generis humani, quousque ipse Christus veniret in carne, unde vera religio, quae jam erat, coepit appellari Christiana. Cum enim eum post ressurectionem ascensionemque in coelum coepissent Apostoli praedicare, et plurimi crederent primum apud Antiochiam, sicut scriptum est, appelati sunt discipuli Christiani. Propterea dixi: haec est nostris temporibus Christiana religio; non quia prioribus temporibus non fuit, sed quia posterioribus denominari coepit.“

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Χριστοῦ διδασκαλίαν· μετὰ τούτους δὲ ἔδωκε καὶ δίδωσι τῇ ἑαυτοῦ Ἐκκλησίᾳ τοὺς ὑπὸ τοῦ ἁγίου Πνεύματος τεθέντας ποιμένας καὶ διδασκάλους πρὸς τήρησιν καὶ κήρυξιν τῆς διδασκαλίας τοῦ αἰῶνος (Ἐφ. δ', 11, 14).

2. Καταλλάξαι ἑαυτῷ τὸν πεπτωκότα ἄνθρωπον· ὅπερ ἐν τούτῳ συνέστηκεν, ὅτι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐγένετο ἄνθρωπος, καί, ὅλως ἀναμάρτητος καὶ ἀθῷος, ἑκὼν ἀνέλαβεν ἐφ' ἑαυτοῦ τὰς ἁμαρτίας τοῦ κόσμου. Ἀλλ' ἀναποδράστων ὀψωνίων τῆς ἁμαρτίας τοῦ θανάτου ὄντος (Ῥωμ. ς', 23), διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ (Ἑβρ. θ', 14), εἰς ἐξιλεωτικὴν θυσίαν ὑπὲρ ἡμῶν ἀπέθανε δίκαιος ὑπὲρ ἀδίκων (α'. Πέτρ. γ', 18), καὶ οὕτως ἡμᾶς ἐξηγόρασεν οὐ τιμῇ χρυσοῦ ἢ ἀργύρου, ἀλλὰ τῷ τιμίῳ αὐτοῦ αἵματι ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα (Γαλ. γ', 13· παράβ. α'. Πέτρ. γ', 18), ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον ..., προσηλώσας αὐτὸ τῷ σταυρῷ (Κολ. β' 14), καὶ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ (Ῥωμ. ε', 10)· ὅτι ὁ Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν (β', Κορ. ε', 19). Διαπραξάμενος δὲ ἐπὶ τοῦ σταυροῦ τὴν ἀπολύτρωσιν παντὸς τοῦ ἀνθρωπίνου γένους, ὥσπερ αἰώνιος Ἀρχιερεύς, κατέστησεν ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ τὰ ἅγια μυστήρια (Ματθ. κη', 19· Λουκ. κβ', 19· α'. Κορ. ια', 24), δι' ὧν ἂν οἱ εἰς αὐτὸν πιστεύοντες, τὴν χάριν λαμβάνοντες, δύναιντο, τῆς θείας ταύτης δυνάμεως ἀρηγούσης, καθ' ἕκαστον, ἐξοικειώσασθαι τὸν σταυρικὸν αὐτοῦ μισθὸν εἰς καταλλαγὴν τῷ Θεῷ· καὶ διέταξεν οἰκονόμους μυστηρίων Θεοῦ (α'. Κορ, δ', 1), δοὺς αὐτοῖς ἐξαιρετικὸν δικαίωμα καὶ ἐξουσίαν τὰς ἱεροπραξίας τελεῖν τοῖς πιστεύουσιν (Ἑβρ. ε', 4· Ἐφ. δ', 11, 12).

3. Τὴν ἠθικὴν τοῦ πεπτωκότος ἀνθρωπίνου γένους ἐπανορθῶσαι καὶ εἰς τὴν εὐσέβειαν καὶ ἁγιότητα αὐτὸ ἐπιδοῦναι. Ἐνταῦθα ἀνάγονται ἥ τε θεία ἀποκάλυψις, ἐν ᾗ ἀνεπτυγμένοι εἰσὶν ἐναργῶς οἱ ἠθικοὶ νόμοι καὶ αἱ θεῖαι ἱερουργίαι τῶν ἁγ. μυστηρίων, δι' ὧν ἡμῖν καταπέμπονται αἱ ἀναγκαῖαι τῆς χάριτος δυνά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεις εἰς καθαρισμὸν ἀπὸ τῶν ἁμαρτιῶν καὶ ἐνίσχυσιν ἐν τῷ ἀγαθῷ· καὶ τούτων ἕνεκα ἐπὶ τῆς γῆς κατέστησε τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν (Πράξ. κ', 28· α'. Πέτρ. ε', 2), ἐξουσίαν αὐτῇ δοὺς λύειν καὶ δεσμεῖν τὰς ἡμῶν ἁμαρτίας (Ματθ. ις', 19· ιη', 18· Ἰωάν. κ', 22, 23), ἐφορᾶν τὴν ἠθικὴν ἡμῶν διαγωγήν, χειραγωγεῖν ἡμᾶς ἐπὶ τὴν ὁδὸν τῆς πνευματικῆς τελειότητος καὶ τῆς αἰωνίας σωτηρίας (α'. Τιμ. ε', 19, 20, 22· Ἐφ. δ', 11, 12).

II. Τὸ ὑπὸ τοῦ κυρίου γενόμενον εἰς ἀνέγερσιν τοῦ ἀνθρώπου ὁρίζει καὶ ὅ τι ὀφείλει ὁ ἄνθρωπος, τὸ ἐν αὐτῷ, ἐκπληρῶσαι, ὅπερ καθόλου τοῦτό ἐστιν· ἕκαστος ἀναντιῤῥήτως ὀφείλει ἀληθὴς γενέσθαι χριστιανός· εἰ γὰρ ἕκαστος ἡμῶν αὐτῇ τῇ φύσει κέκληται ἐν ἑνότητι τῷ Θεῷ εἶναι, εἰ μετὰ τὴν παράβασιν ταύτης εἰς ἀνόρθωσιν αὐτῆς αὐτὸς ὁ Θεὸς προτίθησιν ὑπερφυσικὰ βοηθήματα ἐν τῇ χριστιανικῇ θρησκείᾳ, μὴ ταῦτα ἀποδέξασθαι, ἢ μετὰ τὴν ἀποδοχὴν μὴ κατὰ τὸν σκοπὸν ἀπολαύειν αὐτῶν καὶ καταχρῆσθαι οὐδεὶς ἡμῶν δίκαιός ἐστιν· ὁ δ' οὕτω πράσσων ἀναγκαίως ἀναπολόγητος καθίσταται ἐν τῷ κριτηρίῳ τῆς αἰωνίας Δικαιοσύνης (Μάρκ. ις', 16· Ματθ. ι', 14, 15; ζ', 21). Εἰδικῶς δὲ πᾶς χριστιανὸς ὀφείλει

α'. Πᾶσαν τὴν θείαν ὑπερφυσικὴν ἀποδέξασθαι ἀποκάλυψιν καὶ τὰς ἐν αὐτῇ ἐκτεθειμένας ἀληθείας τῆς πίστεως, ἐλπίδος καὶ ἀγάπης οὕτως ἐξοικειώσασθαι, ὥσπερ ὑπὸ τῆς πληρεξουσίου αὐτοῦ τοῦ Σωτῆρος Ἐκκλησίας καὶ τῶν αὐτῆς διδασκάλων κηρύσσονται (Μάρκ. ις', 15· Ματθ. ιη', 17· Ῥωμ. ι', 15. Ἐφ, δ', 11, 14).

β'. Ἀπολαύειν τῶν ἀγ. μυστηρίων καὶ καθόλου τῶν ἱερουργιῶν τῆς Ἐκκλησίας, ὑπὸ τῶν κεκλημένων ὑπ' αὐτοῦ τοῦ Θεοῦ τελουμένων (Ἰωάν. γ', 5· ς', 53· Ἑβρ. ε', 4, 7)·

γ'. Πείθεσθαι τῇ πνευματικῇ τῆς Ἐκκλησίας διευθύνσει, καὶ ἑπομένους τῇ αὐτῆς χειραγωγίᾳ ἐπὶ μᾶλλον εἰς τὴν ἀρετὴν ἐπιδιδόναι (Ματθ. ζ', 21· ιθ', 17· Ἑβρ. ιγ', 17).

Πάντα οὖν ταῦτα τοῦ ἀνθρώπου ἐκτελοῦντος πρὸς ἀποκατάστασιν αὐτοῦ πρὸς τὸν Θεόν, ἐπιτυγχάνεται ὁ σκοπὸς τῆς χριστιανικῆς θρησκείας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 49. *Σκοπὸς τῆς χριστιανικῆς θρησκείας.*

Ὁ σκοπὸς αὐτῆς ἐστιν οἷος καὶ ὁ τῆς πρωτογόνου θρησκείας ἐκτός τινων ἰδιοτήτων, ἐκ τῆς οὐσίας τοῦ χριστιανισμοῦ πηγαζουσῶν, οἷαι

α΄. Ἡ τοῦ χριστιανοῦ τῷ Θεῷ ἕνωσις διὰ Χριστοῦ καὶ ἐν Χριστῷ· „ἵνα πάντες ἓν ὦσιν", ηὔξατο ἐπὶ τῆς γῆς πρὸς τὸν οὐράνιον Πατέρα ὑπὲρ πάντων τῶν πιστευόντων ὁ κύριος ἡμῶν· „καθὼς σύ, πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν (Ἰωάν ιζ΄, 21)". Συνάμα δὲ ἐνετείλατο αὐτοῖς· „μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδὲν (Ἰωάν ιε΄, 4-5)", καὶ τὸ μυστήριον τῆς μυστηριώδους ταύτης ἑνότητος τῶν ἀνθρώπων τῷ Θεῷ δι' ἑαυτοῦ ἀποκαλύπτων, ἔλεγεν· „ἐγὼ ἐν τῷ Πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν (Ἰωάν. ιδ΄, 20)". Τοὔθ' ἕνεκα καὶ οἱ ἅγ. Ἀπόστολοι ἐδίδασκον, ὅτι ὁ Θεός, καλέσας ἡμᾶς διὰ τοῦ χριστιανισμοῦ εἰς καινὴν διαθήκην ἑαυτῷ, καλεῖ κυρίως „εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν (α΄. Κορ· α΄, 9)"· ἐκάλουν τοὺς μὲν ἀληθεῖς χριστιανοὺς χριστὸν ἐνδεδυμένους (Γαλ. γ΄, 27), μετόχους τοῦ Χριστοῦ (Ἑβρ. γ΄, 14), τοὺς δὲ ἀσθενεῖς καὶ πεπτωκότας προέτρεπον Χριστὸν ἐνδύσασθαι (Ῥωμ. ιγ΄, 14), μορφοῦν ἐν αὐτοῖς Χριστὸν (Γαλ. δ΄, 19· ε΄, 4), προστιθέντες, ὅτι ἐσμὲν „κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ (Ῥωμ, η΄, 17)", καὶ ὅτι ὁ Θεὸς „συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ (Ἐφ. β΄, 6)." Καὶ περὶ τοῦ χριστιανοῦ δὲ μόνον μετὰ τὴν πτῶσιν τῶν προπατόρων ἔστιν εἰπεῖν ὅπερ εἴρηται (§. 14) περὶ τοῦ ἐν ἑνότητι τῷ Θεῷ διακειμένου ἀνθρώπου· οὗτος γὰρ σκεῦος τῆς χάριτος τοῦ Θεοῦ ἐστι, ναὸς τοῦ ἁγίου Πνεύματος, μονὴ τῆς ἁγίας Τριάδος· ὁ νοῦς αὐτοῦ νοῦς τοῦ Χριστοῦ (α΄ Κορ. β΄, 16), ἐν τῇ καρδίᾳ αὐτοῦ ὁ Χριστὸς (Ἐφ. γ΄, 17), αὐτὴ αὐτοῦ „ἡ ζωὴ κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ (Κολ. γ΄, 3), καὶ ὄντως „οὐκέτι αὐτὸς ζῇ, ζῇ δὲ ἐν αὐτῷ Χριστὸς (Γαλ. β΄, 20)".

β'. Ἡ τοῦ Θεοῦ δόξα· Διὸ καὶ λέγεται ἐν τῇ ἁγ. Γραφῇ, ὅτι αὐτὸς ὁ Σωτὴρ ἡμῶν „ὢν ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ Πατρὸς (Ἑβρ. α', 3)", ἐπὶ τῆς γῆς ἦλθε, τὴν δόξαν ταύτην ζητήσων (Ἰωάν. ζ', 18· ιζ', 4)· ὅτι ἡμεῖς διὰ τοῦτο καὶ ἐκλήθημεν εἰς τὴν τοῦ Χριστοῦ βασιλείαν τῆς χάριτος „εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης" τοῦ Τρισυποστάτου (Ἐφ. α', 6, 12, 14), πεπληρωμένους καρπὸν δικαιοσύνης τὸν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον Θεοῦ (Φιλ. α', 11). Ὅθεν καὶ ἐντέλλεται „ἡμῖν πᾶσιν ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου ἐν Χριστῷ κατοπρίζεσθαι (β'. Κορ. γ', 18) καὶ πάντα εἰς δόξαν Θεοῦ ποιεῖν (α'. Κορ. ι', 31)."

γ'· Ἡ αὐτοῦ τοῦ χριστιανοῦ μακαριότης· Αὕτη δὲ ἐν τῇ παρούσῃ ζωῇ συνέστηκε μάλιστα ἐν τῇ γεύσει τῆς ἡδονῆς αὐτῶν τῶν ἀρετῶν (Ματθ. ε', 3-12), ἐν τῷ κόσμῳ τοῦ Θεοῦ, „πάντα νοῦν ὑπερέχοντι (Φιλ. δ', ζ')", ἐν τῇ τῶν οὐρανίων ἀγαθῶν προγεύσει ἐπ' ἐλπίδι, ἐν τῇ τερπνῇ πνευματικῇ ἑνότητι Χριστῷ τῷ Θεῷ πάσης παρακλήσεως (β'· Κορ. α', 3), καὶ ἐν χαρᾷ Πνεύματι ἁγίῳ (Ῥωμ. ιδ', 17)· Πλήρης δὲ μακαριότης τοῖς χριστιανοῖς ἔσται ἐν τῇ αἰωνίᾳ ζωῇ, ἐν ᾗ ὄψονται τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον (α'. Κορ. ιγ', 12)", πάντοτε ἐλεύσονται εἰς κοινωνίαν τῷ Κυρίῳ (α'. Θεσσ. δ'. 17), ὥστε ἔσται „ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι (α'· Κορ. ιε', 28)".

### §. 50. Διαίρεσις τῆς χριστιανικῆς θρησκείας.

Ἡ χριστιανικὴ θρησκεία, ὁμοίως τῇ καθόλου, διαιρεῖται εἰς ὑπερκειμένην καὶ ὑποκειμένην, ἀποκάλυψιν καὶ λατρείαν, τῶν αὐτῶν αἰτίων ἕνεκεν (§. 15).

Καὶ ἡ μὲν ὑπερκειμένη ὑποδιαιρεῖται εἰς δύο, εἰς τὴν τῆς παλαιᾶς Διαθήκης ἀποκάλυψιν, ἐκ τῆς πατριαρχικῆς καὶ τῆς ὑπὸ νόμον θρησκείας συνεστηκυῖαν, καὶ εἰς τὴν τῆς καινῆς Διαθήκης, αἵτινες, καίτοι οὐσιωδῶς ὅμοιαι, διαφέρουσί τι.

α'· Ἔστι μὲν αὐτοῖς οὐσιώδης ὁμοιότης· καὶ γὰρ

1. Ἀμφότεραι μίαν ἔχουσιν ἀρχήν, αὐτὸν τὸν Θεόν, καὶ ἀποκαλύψεις εἰσὶν ὑπερφυσικαί· καὶ ὥσπερ „πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς" αὐτὸς „ἐλάλησε τοῖς πατράσιν ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τοῖς προφήταις“, οὕτως „ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ (Ἑβρ. α', 1)“, καὶ καθὼς ἐν τῇ παλαιᾷ, οὕτω καὶ ἐν τῇ καινῇ Διαθήκῃ, „οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι Θεοῦ ἄνθρωποι (β'. Πέτρ· α', 21)“. Εἰδικῶς δὲ τὸν αὐτὸν ἔχουσι συμπράσσοντα αἴτιον, αὐτὸν τὸν Σωτῆρα Χριστόν. Ἕνεκα τῆς ἀξίας αὐτοῦ, ὥσπερ „ἀρνίου ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου (Ἀποκ. ιγ', 8)“, αἱ ἀποκαλύψεις τοῖς πατριάρχαις ἐδίδοντο· αὐτὸς μόνος τὸν Πατέρα παρακαλέσαι ἠδύνατο, ἵνα τὸ Πνεῦμα τὸ ἅγιον κατέλθῃ ἐπὶ τῶν Προφητῶν, ὥσπερ εἶτα ἐπὶ τῶν Ἀποστόλων κατῆλθεν (Ἰωάν. ιδ', 16), οὗ ἕνεκα καὶ περὶ τῶν Προφητῶν λέγεται, αὐτοὺς ἐχειραγώγει τὸ „Πνεῦμα Χριστοῦ (α'. Πέτρ· ι', 10, 11)“. Τὴν ἔννοιαν ταύτην πολλάκις ἀνέπτυξαν οἱ ἅγ. τῆς Ἐκκλησίας Πατέρες, ὧν πολλοὶ ἐστήριζον, ὅτι πᾶσαι σχεδὸν αἱ τῆς παλαιᾶς Διαθήκης Θεοφανεῖαι τοῖς Πατριάρχαις, Μωϋσῇ, Προφήταις καὶ ἄλλοις δικαίοις, ἐμφανίσεις ἦσαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἢ τοὐλάχιστον ἕνεκα τῶν σταυρικῶν αὐτοῦ δικαίων. „Τοῦτον (τὸν Υἱὸν) λέγομεν, ἔγραφον οἱ ὀρθόδοξοι Ἐπίσκοποι τῆς ἐν Ἀντιοχείᾳ Συνόδου (περὶ τὸ 266 ἔτος π. χ.) Παύλῳ τῷ Σαμοσατεῖ, καταβάντα καὶ ὀφθέντα τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαυρῇ, εἷς τῶν τριῶν, ᾧ ὡς κυρίῳ καὶ κριτῇ ὁ πατριάρχης διελέγετο· ἅτε τὴν κρίσιν ἅπασαν εἰληφότος παρὰ τοῦ πατρὸς (Ἰωάν 5, 22) ... Τοῦτον εἶναι, ὃς ἐκπληρῶν τὴν πατριαρχικὴν βουλήν, τοῖς πατριάρχαις φαίνεται, καὶ διαλέγεται ἐν ταῖς αὐταῖς περικοπαῖς καὶ τοῖς αὐτοῖς κεφαλαίοις ποτὲ μὲν ὡς ἄγγελος, ποτὲ δὲ ὡς κύριος, ποτὲ δὲ Θεός ... Ἀλλὰ μὴν καὶ τὸν νόμον ὁμοίως Μωϋσῇ φαμεν δεδόσθαι, διακονοῦντος τοῦ υἱοῦ τοῦ Θεοῦ, ὡς ὁ Ἀπόστολος διδάσκει (Γαλ. γ', 19). Μεσίτην γὰρ ἄλλον οὐκ ἴσμεν Θεοῦ καὶ ἀνθρώπων (α'. Τιμ. ια', 5)“*[115].

[115] *Ἐπιστολὴ τῶν ὀρθοδόξων ἐπισκόπων τῆς πρώτης ἐν Ἀντιοχείᾳ Συνόδου Παύλῳ Σαμοσατεῖ. Συλλ. τῶν συνόδ. ἔκδ. Φλωρεντ. σελ.* 1036, 1037. *Ταὐτὸ καὶ παρὰ Ἰουστίνῳ τῷ μάρτυρι (Διάλ. Τρύφ. κεφ. ξ'.), Κλήμεντι τῷ Ἀλεξανδρείας (Παιδαγ. α', κεφ. ζ' · Παραιν. πρὸς τὰ ἔθν. κεφ. α'. Στρωματ. α', κεφ.* 26, 27, 28), *Τερτυλλιανῷ* (adv. Jud. cap. 1, 2, 9), *Ἀγ.*

2. Ἀμφότεραι αἱ ἀποκαλύψεις αὗται τὴν αὐτὴν ἔχουσι κυρίαν ὑπόθεσιν, τὴν τοῦ ἀνθρωπίνου γένους σωτηρίαν ἐν Χριστῷ Ἰησοῦ, περὶ οὗ ἐπαγγελίαι καὶ τοῖς προπάτορσιν ἅμα τῇ πτώσει ἐδόθησαν (Γεν. γ', 15)· περὶ αὐτοῦ ἔγραψε Μωϋσῆς (Ἰωάν ε', 46)· „τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας" προήγγειλαν οἱ Προφῆται (α'· Πέτρ. α', 11), καὶ μαρτυροῦσι πᾶσαι αἱ τῆς παλαιᾶς Διαθήκης Γραφαὶ (Ἰωάν. ε', 39)· „Χριστὸν ἐσταυρωμένον" κηρύσσει καὶ ἡ τῆς καινῆς Διαθήκης ἀποκάλυψις (α' Κορ. α', 23). Ὅθεν ἕνεκα τῆς κυρίας ταύτης ὑποθέσεως ἀμφοτέρων τῶν διαθηκῶν μεγάλη ἐστὶν ὁμοιότης καὶ ἐν παντὶ τῷ περιεχομένῳ, οἷον· ἐν τῇ διδασκαλίᾳ, ταῖς ἱερουργίαις, τῇ ἐκκλησιαστικῇ διοικήσει. Καὶ ἐν μὲν τῇ διδασκαλίᾳ τὰς αὐτὰς προτιθεῖσιν ἀμφότεραι ἀληθείας τῆς μὲν πίστεως, οἷον, περὶ ἑνὸς Θεοῦ ἐν τρισὶν Ὑποστάσεσι, τῶν ἰδιοτήτων, τῶν ἐν τῷ κόσμῳ ἐνεργειῶν αὐτοῦ, περὶ τῶν ἀγγέλων, τοῦ ἀνθρώπου, τῆς πτώσεως αὐτοῦ, τῆς ἀπολυτρώσεως διὰ Ἰησοῦ Χριστοῦ, τῆς μελλούσης ζωῆς, κτλ.· τῆς δὲ ἀγάπης ἐν τῷ δεκαλόγῳ καὶ ἐν ἄλλοις πολυαρίθμοις κανόσι· τῆς δὲ ἐλπίδος ἐν ταῖς ἐπαγγελίαις περὶ τῶν ἀγαθῶν τῆς παρούσης καὶ μελλούσης ζωῆς κτλ. Αἱ δὲ τῆς μὲν παλαιᾶς Διαθήκης ἱεροτελεστίαι (ἰδίως αἱ θυσίαι) τὴν μεγάλην ἐν Γολγοθᾷ προεικόνιζον θυσίαν, ἐν ᾗ καὶ πέρας ἔλαβον· αἱ δὲ τῆς καινῆς ἐξ αὐτῆς τῆς θυσίας τῆς ἀπολυτρώσεως ἤρξαντο, καὶ ἔχουσι καὶ ἀεὶ ἕξουσι τὴν σωτηριώδη αὐτῶν δύναμιν. Τέλος, καθὼς ἡ τῆς παλαιᾶς Διαθήκης ἱεραρχία, ἐν τῇ συνειδήσει καὶ τῇ εὐθύνῃ τὴν ἐκκλησιαστικὴν ἔχουσα διεύθυνσιν, ἐκ τριῶν συνεστήκει κυρίων βαθμῶν, ὧν ἕκαστος ἴδια εἶχε καθήκοντα, οὕτως οἱ αὐτοὶ βαθμοὶ καὶ ταὐτὰ σχεδὸν καθήκοντά εἰσι καὶ ἐν τῇ τῆς καινῆς. Ὅθεν

3. Ἀμφότεραι αἱ ὑπερφυσικαὶ ἀποκαλύψεις ἡ τῆς παλαιᾶς Διαθήκης ἐν ἀμφοτέροις τοῖς εἴδεσι καὶ ἡ τῆς καινῆς στενώτα-

---

*Εἰρηναίῳ* (*κατὰ αἱρέσ. δ'*, *κεφ.* 21, 22, 26), *Κυρίλλῳ τῷ Ἱεροσολύμων* (*κατηχ. διδ. ι'*,) *ἁγ. Βασιλείῳ τῷ μεγ.* (*κατὰ Εὐνομ. βιβλ. β'.*), *Χρυσοστόμῳ Ὁμιλ. νη'. εἰς Γέν. σελ.* 454), *ἁγ. Ἀμβροσίῳ* (de fide 4, c. 5), *ἁγ. Ἀθανασίῳ τῷ μεγ.* (*Λόγ. β', σελ.* 260, 261), *μακ. Αὐγουστίνῳ* (de moribus Eccles. 1, cap. 28) *καὶ ἄλλοις.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τον πρὸς ἀλλήλας καὶ ἀδιάσπαστον ἔχουσι σύνδεσμον, ὥστε μίαν ἀποτελοῦσι κυρίως ἀποκάλυψιν· Καὶ τοῦτό ἐστι τὸ μέγα σχέδιον τῆς θείας οἰκονομίας τῆς ἀνθρωπίνης σωτηρίας, ἐν ᾧ ἕκαστον μέρος τὸν ἴδιον κατέχει χῶρον, καὶ οὐδὲν τῶν ἄλλων ἀποχωρισθῆναι δύναται. Αὕτη ἐστὶν ἡ αὐτὴ μεγάλη ἡμέρα τῆς ἀληθοῦς θεογνωσίας· καὶ ἐν μὲν τῇ πατριαρχικῇ ἀποκαλύψει εἶδεν ἡ ἀνθρωπότης τὴν χαριεστάτην ἕω τῆς ἡμέρας τῆς χάριτος, ἐν δὲ τῇ ὑπὸ νόμον ἀρίστην πρωΐαν, ἐν δὲ τῇ χριστιανικῇ αὐτὴν τὴν μεσημβρίαν ὁρᾷ. Τοιαύτην ἀδιάσπαστον συνάφειαν τῶν ἀποκαλύψεων τούτων ἀπεικόνισαν ἐν ταῖς πρὸς τοὺς Ἰουδαίους ὁμιλίαις ὅ τε ἁγ· πρωτομάρτυς Στέφανος καὶ ὁ ἁγ· ἀπόστολος Παῦλος (Πράξ. κεφ. ζ', 13)[116].

β'. Πᾶσα δὲ ἡ διαφορὰ τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης εἰς ταῦτα συνέστηκεν·

1· Ὅτι ἡ μὲν παλαιὰ ἐν ἀμφοτέροις τοῖς εἴδεσι προπαρασκευὴ ἦν μόνον πρὸς τὴν καινήν· „ὁ νόμος παιδαγωγὸς γέγονεν εἰς Χριστὸν (Γαλ. γ', 24)". Ἐν ἐκείνῃ μὲν ἦν „σκιὰ τῶν μελλόντων ἀγαθῶν" ἐν ταύτῃ δέ, „αὐτὴ ἡ εἰκὼν τῶν πραγμάτων (Ἑβρ· ι', 1)"· τότε ἐπίστευον εἰς ἐλευσόμενον Μεσσίαν, καὶ ἑώρων αὐτὸν μόνον ἐν ἐπαγγελίαις, προφητείαις καὶ προεικονίσεσι, νῦν δὲ πιστεύομεν εἰς Μεσσίαν, ἐλθόντα ἤδη, καὶ πάσας τὰς ἀρχαίας προφητείας ἐφ' ἑαυτοῦ ἐκπληρώσαντα. Ἄρα

2· Ὅτι ἡ παλαιὰ διαθήκη ἐν ἥττονι βαθμῷ περιεῖχε πᾶν, ὅ τι ἡ καινὴ περιλαμβάνει[117]· οὐ γὰρ εἶχε τοσαύτην σαφήνειαν, τοσαύτην ἐντέλειαν, τοσοῦτον ὕψος α'. μὲν ἐν τῇ διδασκαλίᾳ. Καὶ γὰρ ἐν τῇ καινῇ σαφέστερον ἀπεκαλύφθησαν ἀλήθειαί τινες τῆς πίστεως, π· χ. περὶ τῆς ἁγ. Τριάδος, τῆς ἐνσαρκώσεως τοῦ

---

[116] Nos et causam differentiae Testamentorum et rursum unitatem et consonantiam ipsorum referemus (Εἰρην. contr. haer. III, 12, n. 12).

[117] Et tamen sic concedimus separationem istam (legis et evangelii) per reformationem, per amplitudinem, per profectum, sicut fructus separatur a semine, quum sit fructus ex semine, sic et Fvangelium separatur a lege, dum provehitur ex lege, aliud ab illa, sed non alienum, diversum, sed non contrarium (Tertull. contr. Marcion. IV, 11; παράβ. Εἰρην. contr. haeres. IV, 34, n. 2).

*Υἱοῦ τοῦ Θεοῦ, τοῦ σταυρικοῦ θανάτου αὐτοῦ, τοῦ τῆς Εὐχαριστίας μυστηρίου κτλ.· πληρέστερον καὶ ὑψηλότερον προτέθεινται ἀλήθειαί τινες τῆς ἀγάπης, μάλιστα ἐν τῇ ὀρεινῇ τοῦ Σωτῆρος ὁμιλίᾳ* (*Ματθ. κεφ. ε'—η'*), *καὶ διὰ τὴν ἐλπίδα ἐδείχθησαν ὑψηλότεραι καὶ καθαρώτεραι παραινέσεις* (*παράβ. Δευτερ. ιθ'*, 8, 28· *Ἐξ. α'*, 12, 20· *Ματθ. ε'*, 3, 22)[118]. *Ταὐτὸ δ' ἔστιν εἰπεῖν β'. καὶ περὶ τῶν ἱεροτελεστιῶν ἀμφοτέρων τῶν διαθηκῶν· αἱ μὲν γὰρ τῆς παλαιᾶς διαθήκης καθ' ἑαυτὰς οὐχ οἷαι ἦσαν τῷ ἀνθρώπῳ τὴν σωτηριώδη μεταδοῦναι χάριν καὶ αὐτὸν καθᾶραι τῶν ἁμαρτιῶν* (*Γαλ. γ'*, 11· *Ἑβρ. ι'*, 4), *ἀλλ' ἠδύναντο μόνον, ὡς προεικονίζουσαι τὴν τοῦ Χριστοῦ θυσίαν* (*παράβ. Ἑβρ. θ'*, 11-24· *Λευϊτ. ε'*, 5· *ς'*, 7· *Πράξ. ιε'*, 11), *τῶν τῆς καινῆς Διαθήκης ἱεροτελεστιῶν, μυστηρίων καλουμένων, αὐτῇ τῇ ἑαυτῶν οὐσίᾳ μεταδιδουσῶν τοῖς πιστεύουσι τὴν θείαν χάριν εἰς ἀναγέννησιν, ἁγιασμὸν καὶ ἐπίδοσιν εἰς τὴν εὐσέβειαν* (*Πράξ. β'*, 38· *Τιτ. γ'*, 5, 6 *κτλ.*), *καίπερ καὶ τὴν δύναμιν προσλαβουσῶν ἐκ τῆς αὐτῆς θυσίας τῆς ἀπολυτρώσεως*[119]· *γ'. καὶ περὶ τῆς ἐκκλησιαστικῆς διοικήσεως· τὸ μὲν πνεῦμα τῆς παλαιᾶς πνεῦμα ἦν μάλιστα αὐστηρότητος καὶ δουλικοῦ φόβου· καὶ τούτου ἕνεκα διετέλουν οἱ Ἰουδαῖοι, κατὰ τὸν Ἀπόστολον, ὑπὸ „ζυγὸν δουλείας* (*Γαλ. ε'*, 1)", *καὶ ἦσαν „παιδίσκης τέκνα* (— *δ'*, 31)", *τῶν χριστιανῶν „ἐλευθέρων" τέκνων ὄντων· καὶ ἐν μὲν τῇ Ἐκκλησίᾳ τῆς καινῆς διαθήκης τὸ πνεῦμα τῆς διοικήσεώς ἐστι πνεῦμα πρᾳότητος* (*β'. Τιμ. β'*, 24, 25· *Πράξ. κ'*, 19), *καὶ ἡ τῆς Ἐκκλησίας ἐξουσία ἐστὶ κατ' ἐξοχὴν πνευματικὴ* (*Ματθ. ιη'*, 18).

3. *Ὅτι ὁ μὲν τῆς παλαιᾶς Διαθήκης νόμος πρὸς καιρὸν*

---

[118] Deus, *λέγει ὁ μακ. Αὐγουστῖνος* (*ἐν Ψαλμ. ογ'*), se utriusque testamenti voluit esse auctor, ut et terrena promitteret in veteri, et coelestia in novo.

[119] Alia sunt, *λέγει ὁ αὐτὸς τῆς Ἐκκλησίας διδάσκαλος* (*αὐτόθι*), sacramenta, dantia salutem; allia promittentia Salvatorem: sacramenta novi Testamenti dant salutem; sacramenta veteris Testamenti promittebant Salvetorem .... Mutata sunt sacramenta; facta sunt faciliora, pauciora, salubriora, feliciora. *Ταὐτὸ δ' ἀπαντᾷ πολλάκις παρὰ τῷ αὐτῷ. Βλ.* de doctr. Christ. cap. 9; contra Faustum XIX, cap. 13. epist. 118 ad Januarium.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*μόνον ἐδόθη*[120], *καὶ ἔδει αὐτῷ ὑπὸ τελειοτέρου ἀνταλλαγῆναι* (*Λουκ. ιϛ'*, 16· *Γαλ. γ'*, 24, 25· *Ἑβρ. ζ'*, 12)· *ἡ δὲ τῆς καινῆς Διαθήκης ἀποκάλυψίς ἐστιν ἤδη τελειωτική, οὐκ ἀνταλλαγήσεται ὑπὸ καινῆς τινος, ἀλλὰ διαμενεῖ ἐν τῷ ἀνθρωπίνῳ γένει μέχρι τῆς συντελείας τοῦ αἰῶνος· ἡ γὰρ τοῦ Χριστοῦ Διαθήκη αἰώνιός ἐστιν* (*Ἑβρ. ιγ'*, 20)· *αὐτὸς „ὁ Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας* (*Ἑβρ. ιγ'*, 8), *τῆς αὐτοῦ Ἐκκλησίας καὶ πύλαι ᾅδου οὐ κατισχύσουσι* (*Ματθ. ιϛ'*, 18)", *καὶ „δεῖ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ* (*α' Κορ. ιε'*, 25)".

---

# ΚΕΦΑΛΑΙΟΝ Β'.

## Περὶ τοῦ χριστιανισμοῦ, ὥσπερ μόνης ἀληθοῦς ἀποκαλύψεως.

### §. 51. *Ἀξία τοῦ ὑποκειμένου καὶ διαίρεσις τοῦ κεφαλαίου.*

*Μεταβαίνομεν ἤδη εἰς ὑποκείμενον οὐσιωδέστατον τῶν τῆς χριστιανικῆς θεολογίας. Ὅτι ἡ ἁγία τοῦ Χριστοῦ πίστις ὄντως ἡ μόνη ἀληθὴς καὶ θεία ἐστὶν ἀποκάλυψις, καὶ ἡ μόνη πρὸς τοὺς ἀνθρώπους ἐν τῇ παρούσῃ διεφθαρμένῃ αὐτῶν καταστάσει σωστικὴ θρησκεία, ἐστὶν ἀλήθεια, ἐφ' ἧς στηρίζονται, παρ' ἧς παραλαμβάνουσι δύναμιν καὶ ἀξίαν πάντα τὰ ἄλλα τοῦ χριστιανισμοῦ δόγματα, πᾶσαι αἱ πεποιθήσεις καὶ αἱ τερπνόταται ἐλπίδες, πᾶς ὁ ἠθικὸς ἡμῶν βίος. Ἐκ τούτου οὖν δυνατὸν κρῖναι, πόσῳ πολύτιμον δεῖ εἶναι τῷ νῷ τοῦ Χριστιανοῦ καὶ ἐπιθυμητὸν τῇ καρδίᾳ γνῶναι, ὅσον οἷόν τε σαφέστερον καὶ εὐκρινέστερον, τὴν βάσιμον ταύτην τοῦ χριστιανισμοῦ ἀλήθειαν ἐν πάσῃ τῇ δυνάμει αὐτῆς καὶ τῷ ἀκλονήτῳ, καὶ πόσον δεῖ αὐτῇ ἐφ' ἑαυτῆς τὴν προσοχὴν ἡμῶν προσελκύσαι.*

*Καὶ εὐχαριστία τῷ ἀπείρως πανσόφῳ καὶ παναγάθῳ*

---

[120] *Ἐκτὸς πολλῶν τῆς πίστεως ἀληθειῶν, οἷαι περὶ Θεοῦ, τῶν ἰδιοτήτων, τῆς κοινωνίας αὐτοῦ πρὸς τὸν κόσμον κτλ. καὶ πασῶν τῶν τῆς ἀγάπης ἀληθειῶν, ἰσχυουσῶν καὶ ἐν τῇ καινῇ Διαθήκῃ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Κυρίῳ! ὅς, εὐδοκήσας τῷ ἀνθρώπῳ τὴν ὑπερφυσικὴν ἀποκάλυψιν πρῶτον μὲν τῆς παλαιᾶς Διαθήκης εἶτα τῆς καινῆς παρασχεῖν, ἐν ἀμφοτέραις „οὐκ ἀμαρτύρητον ἑαυτὸν ἀφῆκε (Πραξ. ιδ', 17)"· ἀλλὰ μετέδωκε α'· καὶ τῇ παλαιᾷ ἐν ἀμφοτέροις τοῖς εἴδεσι, τ. ε. 1. ἐν τῇ πατριαρχικῇ θρησκείᾳ, 2. ἐν τῇ ὑπὸ νόμον, καὶ β'. τῇ καινῇ Διαθήκῃ πάντας τοὺς χαρακτῆρας τούς τε ἐσωτερικοὺς καὶ ἐξωτερικούς, οὓς δεῖ τῇ ἀληθεῖ ἀποκαλύψει ἔχειν, καὶ καθ' οὓς ὁ ἄνθρωπος ῥᾳδίως πεισθῆναι ἐν τῇ θειότητι αὐτῆς καὶ πασῶν τῶν ψευδῶν διακρῖναι δύναται*[121].

## I

### Περὶ τῆς θείας ἀρχῆς τῆς ἀποκαλύψεως τῆς παλαιᾶς Διαθήκης· α'. τῆς πατριαρχικῆς θρησκείας.

§. 52. *Πηγαὶ τῆς θρησκείας ταύτης.*

*Μόνη πηγή, ἐξ ἧς ἀρύσασθαι δυνάμεθα ἀξιοπίστους μαρτυρίας περὶ τῆς πατριαρχικῆς θρησκείας, ἐν τοῖς κρείττοσι τῶν ἀνθρώπων περὶ τὰς 4,000 ἐτῶν ἐπικρατησάσης, παρίστησι τὸ ἀρχαιότατον πάντων τῶν ἐν τῷ κόσμῳ βιβλίον τῆς Γενέσεως, ᾧ προσθετέον καὶ τὸ μδ'. κεφ· τοῦ βιβλίου Ἰησοῦ, υἱοῦ Σιράχ, τὸ ζ'. κεφ. τῶν Πράξεων τῶν Ἀποστόλων, τὸ ια'· κεφ· τῆς ἐπιστολῆς τοῦ ἁγ. ἀποστόλου Παύλου πρὸς Ἑβραίους καὶ σύντομά τινα ἄλλων τῆς ἁγ· Γραφῆς βιβλίων χωρία, ἐν οἷς ἀπαντῶνται παρατηρήσεις περὶ τῶν πατριαρχῶν· Ἀλλὰ καὶ ἐκ τῆς σμικρᾶς ταύτης πηγῆς οἷόν ἐστιν ἐπαρκῶς κατανοῆσαι τήν τε ἐσωτερικὴν ἀξίαν τῆς διδασκαλίας, ἣν οἱ πατριάρχαι ὡμολόγουν, καὶ τὴν ἀναμφισβήτητον δύναμιν τῶν ἐξωτερικῶν σημείων, ἐγγύης ὄντων τῆς ἐκ τοῦ Θεοῦ ἀρχῆς αὐτῆς.*

---

[121] *Ἐνταῦθα προαποδεῖξαι ἔδει τὴν γνησιότητα καὶ τὸ ἀξιόπιστον τῶν βιβλίων τῆς ἁγ. Γραφῆς, ἐφ' ὧν μάλιστα ὀφείλομεν περὶ τῆς θειότητος τῆς Χριστιανικῆς θρησκείας ἐν ἀμφοτέροις τοῖς εἴδεσιν αὐτῆς κρῖναι· προτεθειμένου ὅμως περὶ τῶν πηγῶν τῆς ὀρθοδόξου θεολογίας ἐν ἰδίῳ μέρει τῆς παρούσης πραγματείας εἰπεῖν, ἐν ᾧ φύσει ῥηθήσεται καὶ περὶ τῆς γνησιότητος τῆς ἁγ. Γραφῆς, ὥσπερ πηγῆς, πρὸς ἀποφυγὴν ἐπαναλήψεων οὐκ ἐροῦμεν ἐνταῦθα περὶ αὐτῆς. Ἐπαναπαύομεν δ' ἑαυτοὺς ἐκείνῳ, ὅτι περὶ αὐτῆς ῥηθήσεται ἐν τούτω τῷ βιβλίῳ καὶ οὐχ ἑτέρῳ, καίτοι ὀλίγῳ ὕστερον.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Α'.

## Ἐσωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς πατριαρχικῆς θρησκείας.

### §. 53. *Μέρη τῆς ἐρεύνης.*

*Ὁ ἅγιος Γενεσιογράφος ἐσκεμμένως οὐκ ἐκτίθησιν ἐν τῇ ἑαυτοῦ βίβλῳ αὐτὸ τὸ περιεχόμενον τῆς τῶν Πατριαρχῶν θρησκείας, περιγράφει δὲ μόνον τὸν βίον καὶ τὰ ἔργα αὐτῶν, ἅτινα σαφῶς δεικνῦσι, τίνι οὗτοι ἐπίστευον, τίνας κανόνας ἐτήρουν ἐν τῇ ἠθικῇ αὐτῶν, καὶ ἐν τίνι συνεστήκει ἡ ἐξωτερικὴ λατρεία.*

### §. 54. *Περὶ τῆς διδασκαλίας τῆς πίστεως.*

*Ἐν ταύτῃ, ὥσπερ δῆλον ἐξ αὐτῆς τῆς ἐννοίας περὶ θρησκείας, τὰ κυριώτατα ἄρθρα ἐστὶν ἡ διδασκαλία α'. περὶ Θεοῦ, τῆς κοινωνίας αὐτοῦ πρὸς τὸν κόσμον καὶ μάλιστα πρὸς τὸν ἄνθρωπον· ἡ γὰρ θρησκεία διαθήκη ἐστὶ μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, β'· περὶ τοῦ ἀνθρώπου, τῆς ὑψηλῆς αὐτοῦ ἀξίας, τῆς ἐλευθερίας καὶ ἀθανασίας, ὧν ἕνεκα δείκνυται ἱκανὸς πρὸς τὴν ὑψηλὴν ταύτην διαθήκην, καὶ δι' αὐτῆς πρὸς τὴν αἰωνίαν ζωὴν ἐν τῷ Θεῷ, πρὸς τὴν αἰωνίαν μακαριότητα. Τούτοις δὲ καὶ τρίτον οὐσιῶδες ἄρθρον ἀναγκαίως προστίθεται ἐν τῇ ἀνακαινισθείσῃ θρησκείᾳ, γ'. ἡ περὶ τοῦ ἀνακαινιστοῦ τῆς θρησκείας διδασκαλία, Μεσσίτου μεταξὺ Θεοῦ καὶ τοῦ τὴν πρωτόγονον παραβάντος ἐντολὴν ἀνθρώπου· Καὶ ἐν τῇ πατριαρχικῇ περιόδῳ ἀπαντῶμεν ἀληθεστάτας γνώσεις περὶ τῶν τριῶν τούτων ἄρθρων τῆς πίστεως·*

*Ι. Τὸν μὲν Θεὸν παρίστασαν οἱ πατριάρχαι*

*1. τῇ μὲν οὐσίᾳ α'. „ἕνα Θεὸν (Γεν. ιδ', 19)“, φαινόμενον αὐτοῖς ἀεὶ τὸν αὐτόν· β'. πνευματικόν, ὅς, θεωρήσας τὴν πλεονάζουσαν τῶν ἀνθρώπων ἀσέβειαν, εἶπέ ποτε· „οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας (ς', 3)“· γ'. παντοδύναμον, ἄλλοτε τῷ Ἀβραὰμ εἰπόντα· „ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐναντίον ἐμοῦ (ζ', 1)· δ'.“ Πανάγαθον, πολλάκις τοῖς πατριάρχαις φανέντα, ὁμιλήσαντα, ὥσπερ Πατὴρ πρὸς τὰ τέκνα, παραμυθητικὰς αὐτοῖς*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δόντα ἐπαγγελίας, τὰ ἀγαθὰ καταπέμποντα (— ιε΄, ιζ΄, καὶ ἀλλ.)· ε΄. παγγνώστην καὶ πανταχοῦ παρόντα, ἅπαντα τὰ ἔργα αὐτῶν βλέποντα, τῶν προσευχῶν ἀκούοντα (ιβ΄, 8), καὶ τῶν θυσιῶν ὀσφραινόμενον (η΄, 21), προφητείας, ἐκπληρωθείσας πρὸ τῶν ὀφθαλμῶν αὐτῶν, ἐκφρασάμενον (ιη΄, 20 καὶ ἀλλ.)· ς΄. ἁγιώτατον καὶ λίαν δικαιοκρίτην, ἀφθόνως ἀνταμειβόμενον τὸ καλὸν καὶ αὐστηρῶς κολάζοντα τὴν παράβασιν (δ΄, 11 καὶ ἀλλ.)· ζ΄. ἀληθῆ καὶ πιστόν, οὗ ταῖς ἐπαγγελίαις οἱ πατριάρχαι ἀεὶ ἐπίστευον, καὶ ὃς οὐχ ἅπαξ ἐξεπλήρου ἐνώπιον αὐτῶν τὰς δοθείσας ἐπαγγελίας· η΄. αἰώνιον, συνθήκην πρὸς αὐτοὺς αἰώνιον ποιησάμενον (Γεν. ιζ΄, 7) κτλ.*

2. *Τῇ δὲ πρὸς τὸν κόσμον Αὐτοῦ κοινωνίᾳ α΄. „Θεὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν (Γεν. ιδ΄, 19, 22· παράβ. α΄, 1-27)“. β΄. μόνον ὑπέρτατον Δεσπότην πάσης κτίσεως, ὃς τῷ Ἀδὰμ μετὰ τὴν πλάσιν καὶ τῷ Νῶε μετὰ τὸν κατακλυσμὸν καὶ πᾶσι τοῖς ἀπογόνοις ταὐτὰ ἐξεφράσατο· „αὐξάνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς (α΄, 28· θ΄, 1)“· γ΄. προνοητὴν καὶ κυβερνήτην τῆς οἰκουμένης οὐχ ἅπαξ προειπόντα τοῖς ἀνθρώποις τὰ μέλλοντα, καὶ τὰς προῤῥήσεις τοῖς συμβάμασιν ἀποδεικνῦντα, οἷα, ὁ παγκόσμιος κατακλυσμὸς (ς΄, 13-22 καὶ 7), ἡ τοῦ Ἰσαὰκ γέννησις, ὁ ὄλεθρος τῶν Σοδόμων καὶ τῆς Γομόῤῥας (ιη΄, ιδ΄) κτλ. Εἰδικῶς*

3. *τῇ Αὐτοῦ κοινωνίᾳ πρὸς τὸν ἄνθρωπον α΄. ἠθικὸν νομοθέτην, ἰδίας τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ ἐντολὰς ἐπιτάξαντα (Γεν. β΄, 16, 17), τῷ Νῶε καὶ τοῖς υἱοῖς αὐτοῦ (θ΄, 3 καὶ ἑπόμ.), τῷ Ἀβραὰμ καὶ τοῖς αὐτοῦ ἀπογόνοις (ιζ΄, 11 καὶ ἑπ.)· κριτὴν καὶ μισθαποδότην, κολάσαντα μὲν τοὺς προπάτορας ἕνεκα τῆς παραβάσεως καὶ τὸν Κάϊν ἕνεκα τῆς ἀδελφοκτονίας, τὸν δὲ δίκαιον Ἐνώχ, οὐ θανάτου γευσάμενον, μεταθέντα (ε΄, 24)· εἶτα δὲ κολάσαντα μὲν πᾶν τὸ ἀνθρώπινον γένος ἕνεκα ἀσεβείας, διατηρήσαντα δὲ τὸν δίκαιον Νῶε καὶ τῷ οἴκῳ αὐτοῦ· παιδεύσαντα μὲν τοὺς παρανόμους τῶν Σοδόμων καὶ τῆς Γομόῤῥας κατοίκους, σώσαντα δὲ τὸν δίκαιον Λὼτ κτλ.*

II. *Τὸν δ᾽ ἄνθρωπον ἐθεώρουν οἱ πατριάρχαι ὥσπερ ὃν α΄. ἐκ σώματος καὶ ψυχῆς συνεστώς· καὶ ἐκεῖνο μὲν ὑπὸ τοῦ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Θεοῦ ἐκ χοὸς ἐπλάσθη, ταύτην δὲ „ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ“ ὁ Θεὸς (Γεν. β'· 7)· β'. ὂν ἄριστον πάντων τῶν ἐπὶ γῆς κτισμάτων, κατ' εἰκόνα Θεοῦ δημιουργηθὲν (α', 27· θ', 6), καὶ ὁρισθὲν βασιλέα καὶ δεσπότην εἶναι πάσης τῆς κτίσεως (α', 28· θ', 1)· γ'. ἐλευθερίᾳ δεδωρημένον, ἧς ἕνεκα καὶ ἔδωκεν ὁ Θεὸς τὰς ἑαυτοῦ ἐντολὰς τῷ Ἀδὰμ (β', 16, 17), τῷ Νῶε (θ'.), τῷ Ἀβραὰμ (ιζ', 1)· περιώρισε δὲ ταύτας ἐπαγγελίαις καὶ ἀπειλαῖς, καὶ ὄντως ἀντημείβετο καὶ ἐκόλαζε τοὺς ἀνθρώπους κατὰ τὰ ἔργα αὐτῶν· οἱ δὲ Πατριάρχαι προσελάμβανον τὰς θείας ἐντολάς, προσήρχοντο εἰς διαθήκην τῷ Θεῷ, καὶ ἑκόντες ὑπέβαλλον ἑαυτοὺς τοῖς ὅροις καὶ συνεπείαις αὐτῆς (ιε', 6-13)· δ'. πεπτωκός, οὐκ ἐν τῇ πρωτογόνῳ ἐμμεῖναν πρὸς τὸν Θεὸν διαθήκῃ, ἀναδεξάμενον πᾶν τὸ βάρος τῶν ὀλεθρίων συνεπειῶν τῆς ἑαυτοῦ παραβάσεως, ἀλλ' ἅμα συγγνωσθὲν ὑπὸ τοῦ Θεοῦ καὶ κληθὲν εἰς νέαν διαθήκην τῆς πίστεως, διαθήκην τῆς χάριτος (γ', 15). ε'· ἀθάνατον, μεταβαῖνον μετὰ τὴν παροῦσαν ζωὴν τῷ κρείσσονι αὐτοῦ ἡμίσει, τ. ε· τῷ πνεύματι, εἰς κόσμον ἄλλον ἀόρατον.*

*Αὕτη δὲ ἡ μεγίστη ἀλήθεια ἀναμφισβητήτως γνωστὴ ἦν τοῖς πατριάρχαις, οἵτινες, α'· ἑαυτοὺς μὲν ἐκάλουν ξένους καὶ παρεπιδήμους ἐπὶ τῆς γῆς, δι' οὗ, κατὰ τὸν Ἀπόστολον, σαφῶς ἐξεφράζοντο, ὅτι „πατρίδα ἐπιζητοῦσι“, καὶ „κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν ἐπουρανίου“· διὸ καὶ ὁ Θεὸς οὐκ ἐπῃσχύνετο Θεὸς αὐτῶν ἐπικληθῆναι· „ἡτοίμασε γὰρ αὐτοῖς πόλιν (Ἑβρ. ια', 13-16· Γεν. μζ', 9)“· β'. τὸν δὲ Θεὸν ὡς τὰ πολλὰ ὠνόμαζον Θεὸν τῶν πατέρων, τεθνεώτων ἤδη· καὶ τοῦτο κατὰ τὴν ἑρμηνείαν αὐτοῦ τοῦ Σωτῆρος νέα ἦν ἔνδειξις τῆς πίστεως αὐτῶν εἰς τὴν ἀθανασίαν· οὐ γάρ ἐστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων (Ματθ. κβ', 32)· γ'. Τὸν θάνατον ἐθεώρουν, ὥσπερ πρόσθεσιν πρὸς τὸν ἑαυτῶν λαόν· ὁ Ἰακώβ, εὐλογήσας πρὸ τῆς τελευτῆς τοὺς υἱούς, εἶπεν· „ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν“· θάψετέ με μετὰ τῶν πατέρων μου (Γεν. μθ', 22)· τοῦτ' αὐτὸ εἴρηται καὶ περὶ τοῦ Ἀβραάμ· „καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ (κε', 8)“, καὶ Ἰσαάκ· „καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ ..., καὶ ἔθαψαν αὐτὸν (λε', 29)“· Ἐν τοῖς χωρίοις τούτοις „ἡ πρόσθεσις πρὸς τὸν λαὸν αὐτῶν“ διακρίνεται τῆς ταφῆς τοῦ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*σώματος ἐν τῷ τάφῳ, καὶ δείκνυσι τὴν μετάβασιν τοῦ ἄλλου τοῦ ἀνθρώπου μέρους, τ. ε. τῆς ψυχῆς, εἰς χώραν, ἐν ᾗ ἤδη διέμενον αἱ προαπελθοῦσαι ψυχαί· δ΄. ὄντως ἐπίστευον εἰς τὴν ὕπαρξιν τοῦ ᾅδου, τόπου, εἰς ὃν μεταβαίνουσιν αἱ ψυχαὶ μετὰ θάνατον· θρηνῶν ὁ πατριάρχης Ἰακὼβ τὴν τοῦ Ἰωσὴφ ἀπώλειαν, καίπερ τῶν υἱῶν καὶ θυγατέρων παρακαλούντων, οὐκ ἤθελε παρακαλεῖσθαι, λέγων, ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου (λζ΄, 35). Ὅθεν ὑπὸ τὴν λέξιν ᾅδης ἀδιστάκτως ἐνόει οὐ τὸν τάφον τοῦ σώματος Ἰωσήφ, ἀλλὰ τὸν τόπον, εἰς ὃν ἡ ψυχὴ αὐτοῦ ἀπῆλθεν, οὐ γὰρ ἐνόμιζε τὸν υἱὸν ἐν τάφῳ τινὶ ταφέντα, ἐπέπειστο δὲ αὐτὸν καταβρωθῆναι ὑπὸ θηρίου· θηρίον πονηρὸν κατέφαγεν αὐτόν, θηρίον ἥρπασε τὸν Ἰωσήφ (λζ΄, 33), ἀνέκραξεν, ἰδὼν τὸν αἱματόφυρτον χιτῶνα τοῦ προσφιλοῦς υἱοῦ [122]. Ἰδία δὲ καὶ αἰσθητικωτάτη ἔνδειξις τῆς ἄλλου κόσμου ὑπάρξεως καὶ τῆς ἀθανασίας εἴη ἂν τοῖς ἀνθρώποις ἐκείνης τῆς ἐποχῆς ε΄· ἡ τοῦ Ἐνὼχ μετάθεσις· „καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεὸς (Γεν. ε΄, 24)“. Ὅτι δ᾽ ἐνταῦθα οὐχ ὁ τοῦ Ἐνὼχ θάνατος νοεῖται, ἀλλ᾽ ἡ μετάθεσις εἰς ἄλλον κόσμον, δῆλον ἐκ τῆς συναφείας τοῦ λόγου· ἀπαριθμῶν γὰρ ὁ Γενεσιογράφος τοὺς πρὸ τοῦ Ἐνὼχ βιώσαντας πατριάρχας, περαιοῖ τὴν ἑκάστου βιογραφίαν τοῖς δε, „καὶ ἀπέθανε“· ὅμως περὶ μόνου τοῦ Ἐνὼχ τῇ δε τῇ ἐκφράσει χρῆται, „καὶ μετέθηκεν αὐτὸν ὁ Θεός“. Πρὸς δὲ ἡ μετάθεσις αὐτοῦ ἀπεικονίζεται ὥσπερ ἀμοιβὴ ἀπὸ τοῦ Θεοῦ ἕνεκα τῆς ἁγιότητος τοῦ βίου· „καὶ εὐηρέστησεν ὁ Ἐνὼχ τὸν Θεόν, καὶ οὐχ εὑρίσκετο“· τίς δ᾽ ἂν ἀμοιβὴ εἴη ἡ συνήθης καὶ κοινὴ πᾶσιν*

---

[122] *Προσθετέον δέ, ὅτι οἱ ἀρχαῖοι τῶν Ἑβραίων ἀκριβῶς διέκρινον τὴν λέξιν* scheol (*τόπος*) *τῆς* Keber (*τάφος*), *καὶ προκειμένου περὶ τόπου ἢ σπηλαίου, ἐν ᾧ τὰ τῶν τεθνεώτων σώματα ἐθάπτοντο, ἀεὶ ἐχρῶντο τῇ λέξει* Keber (*Β. ἐν πρωτοτύπῳ. Γέν. κγ΄*, 4, 6, 9· *Ἔξοδ. ιδ΄*, 2· *Ἀριθ. ια΄*, 34· *Ἰώβ. ε΄*, 36· 10, 20, 21, 32. *Ψαλμ. μή*, 19, *Ἰεζ. λζ΄*, 12, 10 *καὶ ἀλλ.*), *περὶ δὲ τοῦ τόπου, εἰς ὃν ἀπέρχονται αἱ ψυχαὶ μετὰ θάνατον, τῇ λέξει* scheol (*Βλ. ἐν πρωτοτ. Ψαλμ. ιε΄*, 10· *ιδ΄*, 8· *θ΄*, 18, 19· *Σιρὰχ μή*, 5· *γ΄. Βασιλ. ιζ΄*, 47 - 22· *γ΄. Ἐσδρ. δ΄*, 35, 41, 42· *ζ΄*, 32). *Καὶ οἱ Ο΄. Ἑβραῖοι ἑρμηνευταὶ ἐτήρησαν ἀκριβῶς τὴν διαφορὰν ταύτην, μεταφράσαντες*, scheol *ᾅδης*, Keber *δὲ μνημεῖον, μνῆμα, ταφή, τάφος.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ τελευτή; Ἀναμφιλέκτως πείθει ἡμᾶς ἐν τῇ ἀποδεικνυμένῃ ὑφ' ἡμῶν ἀληθείᾳ ὁ Ἀπόστολος, σαφῶς λέγων· „πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ (Ἑβρ· ια', 5· παραβ· Σιρὰχ μδ', 15)".

III. Ἀδύνατον διστάζειν ἕνεκα τῆς ἀκριβοῦς τοῦ Ἀποστόλου μαρτυρίας (Ἑβρ. ια'. Γαλ· γ', 16· Ῥωμ. δ', 13), ὅτι καὶ „ἡ πίστις εἰς ἐλευσόμενον λυτρωτὴν" εἴτε „Μεσσίαν" οὐσιωδέστατον ἀπετέλει ἄρθρον ἐν τῇ θρησκείᾳ τῶν πατριαρχῶν, ἣν αὐτὸς ὁ Θεὸς ἐν αὐτοῖς ἔτρεφε ταῖς περὶ Μεσσίου ἐπαγγελίαις.

Καὶ ἡ μὲν πρώτη τῶν ἐπαγγελιῶν ἐδόθη ἔτι τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ ἅμα τῇ αὐτῶν πτώσει. Ἀποφηνάμενος γὰρ ὁ Κύριος κατὰ τῶν παραβατῶν τὴν δικαίαν κρίσιν, καὶ τὸν αἴτιον τῇ ἀρᾷ παραδούς, συνάμα προσέθηκε· „καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις πτέρναν (Γεν. γ', 15)". Ὅσον δ' ἡ ἐπαγγελία αὕτη ἐπικεκαλυμμένη ᾖ, ὅμως οἱ προπάτορες ἐνόησαν „ὑπὸ τὸ σπέρμα γυναικὸς" ἐλευσόμενον λυτρωτήν, τὴν κεφαλὴν τοῦ ἀπατεῶνος ὄφεως συντρίψοντα, τ. ε. τὸν διάβολον νικήσοντα· Καὶ ὁ μὲν Ἀδάμ, ὥσπερ ὀρθῶς εἰκάζουσιν, ἐξέφρασε τὴν πίστιν ταύτην τῷ ὀνόματι τῆς ἑαυτοῦ γυναικὸς „Ζωὴ (Γεν. γ., 20)", ἡ δ' Εὔα τοῖς ὀνόμασι τῶν υἱῶν Κάϊν (δ', 1) καὶ Σὴθ (25)[123]. Οὕτως δ' ἐνόουν τὴν ἔκφρασιν τοῦ Θεοῦ πρὸς τοὺς προπάτορας περὶ τοῦ σπέρματος τῆς γυναικὸς καὶ ἅπαντες οἱ ἀρχαῖοι Ἰουδαῖοι ἐπὶ τῇ βάσει τῆς ἀδιαλείπτως ἐν αὐτοῖς διαφυλαχθείσης παραδόσεως, οὗ τινος ἀπόδειξις εἶναι δύνανται τὰ καλούμενα Ταργούμια ἢ παραφράσεις, πρὸ Χριστοῦ συνταγέντα[124], ὡς καὶ πολλοὶ τῶν νεωτέρων Ἰουδαίων, οἵτινες, κατὰ

---

[123] Σημειώσεις εἰς Γέν. (Ῥωσσιστί) σελ. 112, 123, 154, Πετρούπ. 1816.

[124] Ἐν τῷ ταργουμίῳ τοῦ Ὀγκέλου περὶ τούτου, κατὰ τὴν λατινικὴν μετάφρασιν, λέγεται· quin inimicitiam ponam inter te et inter mulierem, inter semen filii tui et inter semen filiorum ejus. Et erit, quando erunt filii ipsius mulieris servantes praecepta legis, operam dabunt, ut percutiant te ad caput tuum. Quum autem reliquent praecepta le-

τὴν μαρτυρίαν Βουξτορφίου ὁμολογοῦσιν, ἐν τῷ ἑαυτῶν συμβόλῳ· „Προσδοκῶ τὴν ἔλευσιν τοῦ Μεσσίου, ἐπαγγελθέντος ἡμῖν ἐξ ἀρχῆς.“ Ὁ δὲ ἀληθὴς Μεσσίας, ἐλθὼν ἤδη ἐπὶ τῆς γῆς εἰς ἐκπλήρωσιν τῶν ἀρχαίων ἐπαγγελιῶν, ὄντως ἐν τῇ καινῇ Διαθήκῃ καλεῖται γενόμενος ἐκ γυναικὸς (Γαλ. δ', 4), καὶ ὁ σκοπὸς τῆς αὐτοῦ ἐλεύσεως ἦν, καὶ „λῦσαι τὰ ἔργα τοῦ διαβόλου (α'. Ἰωάν. γ'. 8) καὶ κρατῆσαι τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι διάβολος καὶ σατανᾶς (Ἀποκ. κ', 2)“.

Ἡ δὲ δευτέρα ἐδόθη τῷ Ἀβραὰμ ὑπὸ τοῦ Θεοῦ· „καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς (Γεν. κβ', 18)“· εἶτα ἐπανελήφθη τῷ Ἰσαὰκ (κϛ', 4) καὶ Ἰακὼβ (κη', 14). Ὅτι δὲ ὑπὸ τὸ σπέρμα τοῦτο ἐνόουν οἱ πατριάρχαι οὐχ ἅπαντας τοὺς ἑαυτῶν ἀπογόνους, ἀλλ᾽ ἕνα τινὰ μέγαν ἀπόγονον εἴτε Μεσσίαν, σαφῶς ὡμολόγησεν, ὁ Ἰακώβ, ὅτε, προφητεύων περὶ τῆς ἐλεύσεως τοῦ καταλλακτοῦ ὠνόμασεν αὐτὸν „προσδοκίαν ἐθνῶν (μθ', 11)“· καὶ αὐτὸς ὁ ἐπὶ τῆς γῆς ἐλθὼν καταλλακτὴς ἐμαρτύρησε, λέγων τοῖς Ἰουδαίοις· „Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε καὶ ἐχάρη (Ἰωάν. η', 54)“. Καὶ πάντες δὲ οἱ Ἰουδαῖοι ἀδιαλεί-

---

gis, studebis, ut mordeas eos in calcaneis ipsorum. Verum erit illis medicina, tibi autem non erit medicina; quia medicinam adhibebunt calcaneo in diebus regis Messiae. *Ταὐτὸ καὶ ἐν τῷ Ἱεροσολυμιτικῷ, Ἰωνάθαν τινὶ ἀποδιδομένῳ·* ... verum est remedium filiis mulieris, tibi vero serpenti nullum erit remedium; quando quidem futurum est, ut ipsi aliis incolumitatem praestent in calcaneo, in fine extremitatis dierum, in diebus ejus, nimirum regis Messiae. *Προσθετέον δέ, ὅτι α'. Ὁ Ὄγκελος καὶ Ἰωνάθαν, ἀρχαιότατοι τῶν Ἰουδαίων παραφρασταί, εἰσὶν ὁ μὲν τῆς Πενταβίβλου μόνης, ὁ δὲ τῶν προφητῶν καὶ κατά τινας* (Zanz, Die gottesdienstlichen Vorträge der Juden, Berlin 1832, cap. 5, Targumin. S. 61-83 *καὶ ἀλλ.) καὶ τῆς Πεντατεύχου (ταργουμίον Ἱεροσολημιτικοῦ)· β'. κατὰ μὲν τὴν πεποίθησιν τοῦ Ταλμούδου ὁ Ἰωνάθαν ἔλαβε τὴν ἑαυτοῦ παράφρασιν διὰ τῆς παραδόσεως παρὰ Ἀγγαίου, Ζαχαρίου καὶ Μαλαχίου (Βλ. Ταργούμιον Βαλυλῶνος ἄρθρ. Μεγίλλα φύλ. 5), ὁ δὲ Ὄγκελος κατὰ τοὺς Ραββίνους συνέταξε τὴν ἑαυτοῦ παράφρασιν δῆθεν ἐμπνεύσει τοῦ ἁγ. Πνεύματος* (Jur. Orach Chaim §. 145, *Διάταξις περὶ ἀναγνώσεως τοῦ νόμου φύλ.* 59· Medziboz 1818)· *γ'. οἱ ἑβραῖοι ἄχρι καὶ νῦν περὶ πολλοῦ ποιοῦνται ἀμφοτέρας τὰς παραφράσεις, σφραγίζουσιν αὐτὰς σὺν τῷ ἱερῷ κειμένῳ, καὶ ἕκαστος ὑποχρεοῦται ἅπαξ τοῦ ἔτους αὐτὰς ἀναγνῶναι*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πτως μετὰ τοὺς προπάτορας ἐνόουν περὶ τοῦ Μεσσίου τὴν ἐπαγγελίαν ταύτην καὶ πρὸ καὶ μετὰ Χριστόν[125]. Ὅθεν καὶ οἱ ἅγ. Ἀπόστολοι μετὰ τόλμης ἔλεγον τοῖς Ἰουδαίοις· „Ὑμεῖς ἐστὲ οἱ υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ· „καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς“ (Πράξ. γ', 25)“, ἤ, „τῷ δὲ Ἀβραὰμ ἐῤῥήθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ· Οὐ λέγει· καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός· καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστὸς (Γαλ. γ', 16)“.

Τὴν τῶν πατριαρχῶν πίστιν εἰς τὸν μέλλοντα λυτρωτὴν πολλαὶ προτυπώσεις διατηρῆσαι ἠδύναντο, ὁρατῶς φέρουσαι τὴν σφραγίδα ἰδίου σκοποῦ τοῦ Θεοῦ, οἷαι· αἱ θυσίαι, προεικονίζουσαι τὴν μεγάλην τοῦ Χριστοῦ θυσίαν· ἡ κλίμαξ, ἣν εἶδε καθ' ὕπνον ὁ Ἰακώβ, προεικονίζουσα τὴν ἐν τῷ Χριστῷ ἑνότητα τῆς θείας καὶ ἀνθρωπίνης φύσεως· τὸ τοῦ Ἰωσὴφ συμβεβηκός, προτυποῦν τὰ τοῦ Σωτῆρος πάθη ἀπὸ τοῦ γένους αὐτοῦ, πηγὴν εἶτα εὐλογίας γενόμενα· ἡ εἰς θυσίαν προσφορὰ τοῦ Ἰσαάκ, τὸν σταυρικὸν δεικνύουσα θάνατον καὶ τὴν ἀνάστασιν τοῦ Μεσσίου· ἡ ἱερωσύνη τοῦ Μελχισεδέκ, προτυποῦσα τὴν αἰωνίαν τοῦ Χριστοῦ ἱερωσύνην κτλ.[126].

§. 55. *Περὶ τῆς διδασκαλίας τῆς ἠθικῆς.*

Ἡ τῆς ἠθικῆς διδασκαλία εἴτε οἱ κανόνες, καθ' οὓς διῆγον οἱ πατριάρχαι ἐν τῷ βίῳ καὶ τῇ πράξει, ἦσαν ἁγνότατοι.

Καὶ πρὸς μὲν τὸν Θεὸν οἱ πατριάρχαι εἶχον α'. πίστιν εἰς παγγνώστην, ἁγιώτατον καὶ σφόδρα δικαιοκρίτην Θεόν, ὅπερ βεβαιοῦται ὑπὸ μόνης τῆς χρήσεως τοῦ ὅρκου αὐτῶν (Γεν. κα', 23· κδ', 3 καὶ ἀλ.)· τελειοτάτην ὑπακοὴν τῷ θείῳ θελήματι, ὥστε αὕτη διαρκὴς ἦν ἀρχὴ πάσης τῆς αὐτῶν διαγωγῆς· διὸ καὶ ὁ ἅγ. Γενεσιογράφος, βουλόμενος τὸν ἠθικὸν χαρακτῆρά τινος

---

[125] Vid. Petri Huettii Demonst. Evangel. propos. VIII, p. 7, pag. 569. Lips. 1703.

[126] Σημειώσεις εἰς Γέν. σελ. 128, 303, 323-325, 463-465 καὶ ἀλλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῶν περιγράψαι, ὡς ἐπὶ τὸ πλεῖστον ἐκφράζεται· „εὐηρέστησε τῷ Θεῷ, εὗρε χάριν ἐναντίον κυρίου τοῦ Θεοῦ, ἦν δίκαιος, τέλειος (ε', ς' καὶ ἀλ.)"· γ'· φόβον πρὸς τὸν Θεόν, ἀλλ' υἱϊκόν, προσμεμιγμένον πλήρει πίστει εἰς τὸν Θεὸν καὶ υἱϊκῇ ἀγάπῃ, ὥσπερ μάλιστα τοῦτο ἐφαίνετο ἐν τῷ παραδείγματι τοῦ πατρὸς τῶν πιστευόντων Ἀβραὰμ καὶ τοῦ Ἰωσήφ· δ'· εὐχαριστίαν τῷ Θεῷ ἀντὶ τῶν αὐτοῦ εὐεργεσιῶν, γνωστὴν ἐκ τῆς ἱστορίας τοῦ Νῶε καὶ Ἰακώβ· Σὺν ταύταις δὲ ταῖς οὐσιώδεσιν ἀρεταῖς τῆς ἀληθοῦς εὐσεβείας ἀδιστάκτως ἤδη ἐνῴκουν ἐν τῇ καρδίᾳ τῶν πατριαρχῶν καὶ πᾶσαι αἱ εἰδικώτεραι ἀρεταί, ἐκ τῶν πρώτων πηγάζουσαι, οἵας ὁ ἄνθρωπος μόνον ἔχειν πρὸς τὸν Θεὸν δύναται.

Πρὸς δὲ τὸν πλησίον ἀδύνατον μὴ ἐν τῷ βίῳ τῶν πατριαρχῶν παρατηρῆσαι α'. σέβας πρὸς τὴν ἀξίαν τοῦ ἀνθρώπου, ὥσπερ εἰκόνος τοῦ Θεοῦ, καὶ πρὸς τὴν ζωὴν αὐτοῦ (Γεν. θ', 6)· β'. ἀγάπην πρὸς τὸν πλησίον, δεικνυομένην κυρίως ἐν τῇ τότε ἐπικρατούσῃ ξενίᾳ (ιθ', 8)· γ'. σέβας πρὸς τὴν ἁγιότητα τοῦ γαμικοῦ συνδέσμου (β', 24 κτλ.)· δ'. ἀγάπην καὶ ἐντελέστατον πρὸς τοὺς γονεῖς καὶ καθόλου πρεσβυτέρους σέβας· ε'. ἀγάπην πρὸς τὰ τέκνα (λζ', 34, 35)· ς'. ἐπιμέλειαν περὶ τὴν τήρησιν τῆς ἁγνείας τῶν θυγατέρων κτλ.

Τὰ δὲ κυριώτατα τῶν καθηκόντων, ἅτινα οἱ πατριάρχαι ἐτήρουν ὡς πρὸς ἑαυτούς, ἦσαν α'. ἡ τῶν ἰδίων συμφερόντων ὀλιγωρία, ὅπερ δῆλον ἐκ τοῦ ὅτι κυρία ἀρχὴ τῆς πράξεως αὐτῶν, ὥσπερ εἴρηται, τὸ θεῖον ἦν θέλημα καὶ ἡ ἐντελεστάτη αὐτῷ ἀφιέρωσις, ἄρα οὐχ ἡ φιλαυτία· β'. ἡ σύγγνωσις τῆς ἰδίας ἠθικῆς ἀδυναμίας καὶ αἱ ἀφύκτως αὐτῇ ἡνωμέναι πίστις εἰς τὸν ἐπαγγελθέντα Μεσσίαν καὶ ἐλπίς· καὶ ἡ πίστις αὕτη, ἀνιχνεύουσα, οὕτως εἰπεῖν, τὰς ἠθικὰς ταύτας πράξεις, μεταδίδωσι, κατὰ τὸν Ἀπόστολον, αὐταῖς τιμὴν ἐνώπιον τοῦ Θεοῦ. „Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ ..., πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον κτλ· (Ἑβρ· ια', 4-23)"· γ'. φιλοπονία, μετριότης ἐν τῇ βρώσει καὶ πόσει, χαλίνωσις τῶν παθῶν· ἐν τούτοις δὴ καὶ ἓν τῶν αἰτίων τῆς μακροβιότητος τῶν πατριαρχῶν ἂν εἴη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 56. *Περὶ τῆς ἐξωτερικῆς λατρείας.*

Τὸ σύνολον τῆς ἐξωτερικῆς λατρείας ἐν τῇ τῶν πατριαρχῶν περιόδῳ, καίπερ ἁπλῆς οὔσης, ἐξέφραζεν ἐντελῶς τὸ πνεῦμα τῆς ἐσωτερικῆς αὐτῶν εὐσεβείας.

Ἡ οὐσία τῶν ἱερουγιῶν περιωρίζετο ἐν ταῖς θυσίαις· καὶ ἀπόδειξις αἱ τοῦ Ἄβελ, Νῶε, Ἀβραὰμ καὶ Ἰακώβ. Αὗται δέ, προεικονίζουσαι τὴν μεγάλην ἐπὶ τοῦ Γολγοθᾶ θυσίαν, καὶ τὴν τῶν πατριαρχῶν μαρτυροῦσαι πίστιν εἰς τὸν ἐπαγγελθέντα Λυτρωτήν, ἦσαν τῷ Θεῷ ἀδιστάκτως εὐάρεστος λειτουργία, καὶ ἐτελοῦντο τῇ ἐπικλήσει τοῦ Θεοῦ καὶ προσευχαῖς, ἃς οἱ πατριάρχαι ἀνέπεμπον αὐτῷ καὶ ἐπὶ τῶν θυσιῶν καὶ ἄλλοτε (Γεν. ιβ', 8. κε', 21 κτλ.). Ἀλλ' ἀπὸ Ἀβραὰμ ἐμφαίνεται καὶ ἡ πολύσημος ἱεροτελεστία, τ. ε. ἡ περιτομή, ἣ ὤφειλον ὑποκύψαι ἅπαντες οἱ αὐτοῦ ἀπόγονοι πρὸς ἀληθῆ εἰσαγωγὴν εἰς τὴν κοινότητα τῶν πιστευόντων. Αὕτη δὲ (ἡ περιτομή), ὥσπερ μυστήριον, ἐδήλου ἐν μὲν τῇ προτέρᾳ αὐτῆς καταστάσει ἀκαθαρσίαν καὶ διαφθορὰν τῆς ἀνθρωπίνης φύσεως, τῷ δὲ ὑποκειμένῳ καὶ τῷ χρόνῳ ἐπανόρθωσιν τῆς διαφθορᾶς διὰ τοῦ Μεσσίου, ἄνευ σπορᾶς ἀνδρὸς γεννηθησομένου· ἐν αὐτῷ δὲ τῷ τρόπῳ τῆς πράξεως ἐσωτερικὴν περιτομὴν ἢ νέκρωσιν τοῦ σαρκικοῦ καὶ γέννησιν τοῦ πνευματικοῦ ἀνθρώπου (Πράξ. ζ', 51, Ῥωμ. β', 28, 29)[127]· ἄρα ἐδήλου οὐσιώδη τῆς ἀνακαινισθείσης θρησκείας δόγματα.

Τὰ δὲ τῇ ἀξωτερικῇ λατρείᾳ προσήκοντα, καίπερ οὔπω ἀκριβῶς ὡρισμένα ἐν τῇ τῶν πατριαρχῶν περιόδῳ, ἐντελῶς ἥρμοζον τῇ ἁγιότητι αὐτῆς τῆς λατρείας. Καὶ τότε οὔτε ὑπῆρχον ὡρισμένοι ἱεροὶ τόποι εἴτε ναοί· τοῦτο γὰρ ὁ περιηγητικὸς τῶν πατριαρχῶν βίος ἀδιστάκτως ἐκώλυεν, οὔτε ὡρισμένοι ἱεροὶ χρόνοι ἐκτὸς τοῦ σαββάτου, ἀλλ' ὡρίζοντο ὡς τὰ πολλὰ οἱ τόποι καὶ χρόνοι πρὸς ἱεροτελεστίαν ὑπὸ τῶν ἐπιφανειῶν καὶ ἄλλων τοῦ Θεοῦ εὐεργεσιῶν, καὶ ἐπὶ τῶν τόπων ἐκείνων οὐ σπανίως ἀνεγείροντο ἐπίτηδες θυσιαστήρια, ἅτινα περὶ πολλοῦ ὁ λαὸς ἐποιεῖτο· οὔτε ἱεραρχία ἦν πρὸς ἐκτέλεσιν τῶν ἱεροτελεστιῶν· τοῦτο δὲ προσῆκε τοῖς ἐν τοῖς οἴκοις τῶν πατριαρχῶν πρεσβυ-

---

[127] *Διάγρ. τῆς τῶν Βιβλίων ἐκκλ. ἱστορ* (*Ῥωσσ.*) *σελ.* 86. *πετρούπ.* 1827.

τέροις, τοῖς πατράσιν ἢ, κατὰ τὴν τῶν Ἰουδαίων παράδοσιν, τοῖς πρωτοτόκοις[128].

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 57. *Περὶ τῆς μεγάλης ἀξίας τῆς πατριαρχικῆς θρησκείας.*

Ἐκ τῆς συντόμου ταύτης θεωρίας περὶ τῆς πατριαρχικῆς θρησκείας σαφῶς σχεδὸν δείκνυται ἡ αὐτῆς ἀξία. Ἐν γὰρ πάσῃ αὐτῆς τῇ διδασκαλίᾳ, τῆς τε πίστεως καὶ τῆς ἠθικῆς καὶ ἐν τῷ συνόλῳ τῆς ἐξωτερικῆς λατρείας οὐδέν ἐστιν ἀνάξιον τοῦ Θεοῦ καὶ τοῦ ἀνθρώπου, ἀλλὰ πᾶν ἀληθές, ἅγιον καὶ τῷ ὑψηλῷ αὐτοῦ σκοπῷ συνᾷδον. Ἐὰν μὲν οὖν τὴν θρησκείαν ταύτην παραβάλωμεν πρὸς ἄλλας ἄλλων λαῶν συγχρόνων, οἷον, Αἰγυπτίων, Βαβυλωνίων, Ἀσσυρίων, τὴν πλήρη αὐτῆς ὑπεροχὴν εὑρήσομεν· ἐν αὐτοῖς γὰρ πᾶσιν ἡ πολυθεΐα καὶ εἰδωλολατρεία ἐπεκράτει, ἐθεοποιοῦντο ἤτοι ἀστέρες, ἢ ἄνθρωποι, ἢ ζῶα, ἢ φυτά, ἢ πέτραι· ἐὰν δὲ πρὸς θρησκείας καὶ μεταγενεστέρων πεπαιδευμένων ἐθνῶν τῆς ἀρχαιότητος, οἷοι ἦσαν οἱ Ἕλληνες καὶ Ῥωμαῖοι, αὖθις εὑρήσομεν τὴν ἐντελῆ αὐτῆς ὑπεροχήν· ἡ γὰρ πολυθεΐα, καὶ μάλιστα ἡ θεοποίησις ἀνθρώπων καὶ ἡρώων σὺν πᾶσι τοῖς ἀνθρωπίνοις πάθεσι καὶ ἁμαρτήμασι, τὴν οὐσίαν τῶν θρησκειῶν τούτων ἀπετέλει· ἐὰν δὲ τὴν διδασκαλίαν, ἣν οἱ πατριάρχαι εἶχον, συγκρίνωμεν πρὸς τὴν τῶν φιλοσόφων αὐτῶν τῆς Ἑλλάδος καὶ Ῥώμης, οὐ διστάξομεν ἀποδοῦναι ἐκείνῃ τελείαν προτίμησιν ταύτης. Καὶ γὰρ παρὰ τοῖς φιλοσόφοις ἀπαντῶσι λαμπραὶ γνώσεις περὶ Θεοῦ καὶ ἀνθρώπου, τοῦ προορισμοῦ, τῶν ἠθικῶν ἀρχῶν καὶ καθηκόντων αὐτοῦ. ἀλλ' αὗται διεσπαρμέναι εἰσὶν ἐν τοῖς αὐτῶν συγγράμμασι, καὶ τοσούτῳ πλάναις συμμεμιγμέναι, ὥστε σχεδὸν ἀδύνατόν ἐστι τῷ μηκέτι τὴν ἐξ ἀποκαλύψεως διδασκαλίαν τῆς πίστεως εἰδότι ἀπ' ἀλλήλων αὐτὰς ἀποχωρίσαι, ὅτε πᾶν τὸ ἐν τῇ πατριαρχικῇ θρησκείᾳ καθαρόν, ἀληθές, ἅγιόν ἐστιν.

Πόθεν οὖν φανῆναι ἠδύνατο τοιαύτη θρησκεία; ἔστιν ἄρα γέννημα τοῦ φυσικοῦ νοὸς τοῦ ἀνθρώπου; Ἀλλὰ πῶς ὁ νοῦς οὗτος, τοσούτῳ λαμπρὰν παραδοὺς διδασκαλίαν περὶ τῆς ἐσωτερικῆς

[128] Αὐτόθι σελ. 84, 85.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἐξωτερικῆς λατρείας ἐν τοῖς τῶν πατριαρχῶν οἴκοις, πᾶσι τοῖς ἄλλοις λαοῖς τὴν πολυθεΐαν καὶ εἰδωλολατρείαν παρεῖχε; Πῶς δὲ καὶ ἐν τοῖς ἀρίστοις τηρηταῖς τῆς ἑαυτῶν ἀξίας φιλοσόφοις αὐτὸς οὐ ξένος ἦν πολλῶν καὶ δὴ πλείστων πλανῶν; Τίς ἡ ἐξαίρεσις αὕτη μόνων τῶν πατριαρχῶν; Καὶ ὅμως, κατὰ τὴν φυσικὴν τῶν πραγμάτων τάξιν, ὅλως ἄλλο ἂν προσδοκᾶν δέοι. Ἡ τῶν πατριαρχῶν θρησκεία ἀρχαιοτάτη ἐστὶ πασῶν τῶν θρησκειῶν· ἄρα, εἰ τοῦ ἀνθρωπίνου νοὸς γέννημα ἦν, ὁ δὲ νοῦς βαθμηδὸν ἀναπτύσσεται καὶ τέλειος γίνεται· ἔδει ἀτελεστάτην εἶναι πασῶν τῶν ἄλλων θρησκειῶν, ἧττω καὶ τῆς τῶν Ἑλλήνων καὶ Ῥωμαίων, λαῶν πεπαιδευμένων, καὶ τῆς τῶν Αἰγυπτίων, Χαλδαίων, Ἀσσυρίων καὶ ἄλλων ἀπαιδεύτων τῆς ἀνατολῆς λαῶν. Καὶ ὅτε ἀξιοπίστως γνωστόν, ὅτι ὁ νοῦς ἡμῶν ἐν τῇ πρώτῃ ἐγέρσει ὑπὸ τὴν χειραγωγίαν ἄλλων τελειοτέρων καὶ ἐμπειροτέρων δύναται ἀναπτυχθῆναι, πῶς νοήσωμεν, ὅτι οἱ πατριάρχαι, οἱ πρῶτοι ἐπὶ τῆς γῆς κάτοικοι, οὐδένα ὁδηγὸν καὶ διδάσκαλον ἔχοντες, ἠδύναντο ἀφ' ἑαυτῶν τυχεῖν τοσούτῳ ὑψηλῆς διδασκαλίας περὶ Θεοῦ καὶ περὶ πάντων τῶν προσηκόντων τῇ οὐσίᾳ τῆς θρησκείας; Ὅθεν ἐκ τούτου μόνου τοῦ συλλογισμοῦ ἀνάγκη συμφωνῆσαι τῇ διηγήσει τοῦ ἱεροῦ Γενεσιογράφου Μωϋσέως, ὅτι αὐτὸς ὁ Θεὸς διδάσκαλος τῶν πατριαρχῶν εἰς τὰ περὶ θρησκείας ἦν, καὶ ὅτι αὕτη οὐκ ἔστιν ἐπινόημα τοῦ ἀνθρωπίνου νοῦ, ἀλλ' ἀληθὴς θεία ἀποκάλυψις.

Ἀλλὰ μᾶλλον πεισόμεθα ἐν τῇ ἀληθείᾳ ταύτῃ, προσχόντες τὸν νοῦν εἰς τὰ σημεῖα, κατὰ τὴν διήγησιν τοῦ Γενεσιογράφου, ἀεὶ παρηκολουθοῦντα τῇ τε ἐμφανίσει καὶ πάσῃ τῇ ὑπάρξει τῆς πατριαρχικῆς θρησκείας.

## Β'.

### Ἐξωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς πατριαρχικῆς θρησκείας.

#### §. 58. *Ἐπιφάνειαι τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων.*

Τὰ οὐσιωδέστερα τῶν τοιούτων σημείων ἐστὶν αἱ τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων ἐπιφάνειαι. Τὸ μὲν γὰρ αὐτὸς ὁ Θεὸς οὐχ ἅπαξ τοῖς προπάτορσιν ἐπεφάνη, τῷ Κάϊν εἶτα, τῷ Νῶε, καὶ

μάλιστα πολλάκις τῷ πατρὶ τῶν πιστευόντων Ἀβραάμ, τῷ Ἰσαὰκ καὶ Ἰακώβ· τὸ δὲ ἔπεμπε πρὸς τοὺς πατριάρχας τοὺς ἑαυτοῦ ἀγγέλους, π. χ. πρὸς τὸν Ἀβραάμ, Λὼτ καὶ ἄλλους.

Ὅτι δὲ αἱ ἀήθεις αὗται ἐπιφάνειαι ὄντως ὑπῆρξαν, οὐδεμία δισταγμοῦ αἰτία ἐστίν. Ὁ γὰρ Μωϋσῆς διηγεῖται ἀκριβῶς περὶ αὐτῶν, ὥσπερ καὶ περὶ πάντων τῶν ἄλλων φυσικῶν συμβαμάτων ἐν τῷ βίῳ τῶν πατριαρχῶν· ἀμφότερα δὲ ταῦτα συνάπτει στενῶς ἐν τῇ διηγήσει, ὥστε, ὃς ἂν βουληθῇ ἐκεῖνα ἀποῤῥίψαι, ἀναγκαίως ὀφείλει καὶ ταῦτα ἀποβαλεῖν· πρὸς δὲ σημειοῖ, ὅτι τινὲς τῶν ἐπιφανειῶν τοῦ Θεοῦ ὑπὸ τῶν πατριαρχῶν ἐμαρτυρήθησαν, καὶ πρὸς μνήμην τῶν μεταγενεστέρων ἐπεσφραγίσθησαν ἰδίως, οἷον, τῇ ὀνομασίᾳ τῶν τόπων, ἐν οἷς ὁ Κύριος ἐφάνη, τῇ ἀνεγέρσει στηλῶν ἢ ἐπιθέσει πετρῶν, τῇ μετωνυμίᾳ προσώπων (Γεν. κβ', 14· ιζ', 5· κη', 19) κτλ. Ἡ δὲ ἀλήθεια τῶν ἐπιφανειῶν τοῦ Θεοῦ τούτων ἀδίστακτος ὑποτίθεται ἐν τῇ πατριαρχικῇ περιόδῳ· ὁ γὰρ Θεὸς ἐκάλει ἑαυτὸν Θεὸν τοῦ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ (Ἐξ. γ', 6, 16· Ναυῒ κδ', 3)· καὶ ῥητῶς στηρίζεται ἐν τῇ καινῇ Διαθήκῃ (Πράξ. ζ', 1-20· Ἑβρ. ια', 4-22). Καὶ τὴν ἀλήθειαν ταύτην δεικνύουσι καὶ αἱ παραδόσεις πάντων τῶν ἐθνικῶν λαῶν, αἵτινες, ἀπὸ γένους εἰς γένος μεταβαίνουσαι, καίτοι πλεῖστον διεφθάρησαν, περιέχουσι πολλὰ παράδοξα περὶ τῶν ἀρχαίων ἐπιφανειῶν τοῦ Θεοῦ, ὅμως ἐν τῇ ἑαυτῶν βάσει ἀναγκαίως ὑποτιθεῖσιν ἀλήθειαν[129].

Ὅτι δὲ πᾶσαι αἱ τοῦ Θεοῦ ἐπιφάνειαι, ἃς ὁ Μωϋσῆς διηγεῖται, ἀξιώταται τοῦ Θεοῦ ἦσαν, οἴκοθέν ἐστι πασιφανές. Ἄνθρωποι γάρ, μόλις ἐπὶ τῆς γῆς φανέντες, ἐν κόσμῳ ἔτι νέῳ αὐτοῖς καὶ ὅλως ἀγνώστῳ, σφόδρα ἐδέοντο διδασκαλίας καὶ χειραγωγίας, καὶ μάλιστα ἐκείνου, τίνος ἕνεκεν ἐν τῷ κόσμῳ ἐτέθησαν, πῶς δεῖ ζῆν, πρὸς τί τείνειν· καὶ ἰδοὺ αὐτὸς ὁ Θεός, ὁ πλάσας αὐτούς, βούλεται διδάσκαλος αὐτῶν εἶναι εἰς τὰ περὶ τὴν θρησκείαν, τὸν πρῶτον σκοπὸν τῆς αὐτῶν ὑπάρξεως περιέχουσαν. Φαίνεται οὖν τοῖς προπάτορσι πρῶτον μὲν αὐτοὺς τὴν ἐντολὴν διδάξαι, καὶ δι' αὐτῆς τὴν θέλησιν αὐτῶν στηρίξαι ἐν τῷ ἀγαθῷ·

---

129 Βλ. ἀνωτ. σημ. 20.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶτα δὲ ὥσπερ κριτής, ἀλλὰ κριτὴς πανάγαθος, ἀποφήνασθαι αὐτοῖς τὴν δικαίαν ποινὴν ἕνεκα τῆς ἁμαρτίας καὶ τὴν παραμυθητικὴν ἅμα ἐπαγγελίαν περὶ τοῦ μέλλοντος Λυτρωτοῦ τοῦ κόσμου. Φαίνεται τῷ Κάϊν πρῶτον μὲν ἀποτρέψαι αὐτὸν τῆς ἀδελφοκτονίας, εἶτα δὲ μετὰ τὴν ἐκτέλεσιν τῆς παραβάσεως κολάσαι τὸν ἀδελφοκτόνον, καὶ ἀνακαλέσαι πρὸς μετάνοιαν. Φαίνεται τῷ Νῶε πρὸ μὲν τοῦ κατακλυσμοῦ προειπεῖν τῷ δικαίῳ τὴν ἐπικειμένην κοινὴν δυστυχίαν καὶ μέσον αὐτῷ δεῖξαι πρὸς σωτηρίαν ἑαυτοῦ, τοῦ οἴκου καί τινων ζώων· μετὰ δὲ τὸν κατακλυσμὸν ἀνακαινίσαι τῷ πατρὶ τοῦ νέου κόσμου διαθήκην αἰώνιον καὶ ἀποφήνασθαι τὴν ἑαυτοῦ εὐλογίαν ἐπὶ πᾶσαν τὴν ἀνακαινισθεῖσαν φύσιν. Φαίνεται τῷ Ἀβραὰμ διαφυλάξαι αὐτὸν τῆς κοινῆς ἀσεβείας, παιδεῦσαι αὐτὸν πατέρα πιστευόντων καὶ ἐπαγγελίαν αὐτῷ δοῦναι περὶ τοῦ Σπέρματος αὐτοῦ, ἐν ᾧ εὐλογηθήσονται πάντα τὰ ἔθνη. Φαίνεται τῷ Ἰσαὰκ καὶ Ἰακὼβ ἐπαναλαβεῖν τὴν αὐτὴν ἐπαγγελίαν, τὸ κυριώτατον ἀποτελοῦσαν ἄρθρον ἐν τῇ τῶν πατριαρχῶν θρησκείᾳ. Τί δ' οὖν τοῦ Θεοῦ ἀξιώτερον ἂν εἴη; ἢ τὸ φανῆναι σὺν τῇ ἑαυτοῦ ἀρωγῇ, ὅπου ἀναγκαία αὕτη ἐστί, πατέρα φανῆναι ἐν τοῖς τέκνοις ἑαυτοῦ, καὶ δὴ διὰ τοσούτῳ μέγα ἔργον, οἷον τὸ τῆς σωτηρίας τοῦ ἀνθρώπου;

### §. 59. Περὶ θαυμάτων.

Ἐκτὸς τῶν τοῦ Θεοῦ ἐπιφανειῶν ἐτελοῦντο ἐν τῇ πατριαρχικῇ περιόδῳ καί τινα ἄλλα θαυματικὰ συμβεβηκότα, τοῖς πατριάρχαις σημεῖον ὄντα τῆς πρὸς αὐτοὺς τοῦ Θεοῦ ἀγαθότητος καὶ τῆς θείας ἀρχῆς τῆς ὑπ' αὐτῶν ὁμολογουμένης θρησκείας· τοιαῦτα π. χ. ἡ τοῦ Ἐνὼχ μετάθεσις, γνωστὴ ἀδιστάκτως τοῖς αὐτῷ συγχρόνοις καὶ παραγωγὸς αὐτοῖς ἀγαθοποιοῦ ἠθικῆς πράξεως· „Ἐνώχ", λέγει ὁ σοφὸς υἱὸς τοῦ Σιράχ, „εὐηρέστησε κυρίῳ, καὶ μετετέθη, ὑπόδειγμα μετανοίας ταῖς γενεαῖς (μδ', 16)"· ἡ τῶν γλωσσῶν σύγχυσις ἕνεκα ὑπερηφανείας καὶ ἀλαζονείας (Γεν. ια', 1-10), σύμβαμα, φανερῶς γενόμενον ἐνώπιον πάντων, ὅπερ τοσούτῳ μᾶλλον ἔδει ἐπ' αὐτῶν ἐνεργῆσαι, ὥστε τῆς αὐτοῦ δυνάμεως ἕκαστος ἀμέσως ἐν ἑαυτῷ αἰσθάνεσθαι·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἡ μεταβολὴ τῆς τοῦ Λὼτ γυναικὸς εἰς στύλην ἁλὸς ἕνεκα ἀπειθείας τῷ θείῳ θελήματι· τοῦτο δὲ διδακτικόν ἐστιν εὐσεβείας μάθημα, ὅπερ τότε ὁ Κύριος παρέδωκε τοῖς ἀνθρώποις.*

§. 60. *Προφητεῖαι· α΄. ὑπὸ τοῦ Θεοῦ τοῖς πατριάρχαις ῥηθεῖσαι.*

*Νέα ἀναντίῤῥητος ἀπόδειξις τῆς θειότητος τῆς πατριαρχικῆς θρησκείας ἦσαν καὶ εἰσιν αἱ προφητεῖαι, ἃς ἀπεφήναντο καὶ αὐτὸς ὁ Θεὸς τοῖς πατριάρχαις καί τινες τῶν πατριαρχῶν θείῳ δωρήματι·*

*Καὶ ἐκείναις μὲν ἀνήκει α΄. ἡ περὶ τοῦ κατακλυσμοῦ προφητεία, συμβάματος οὐ μόνον ἐντελῶς αὐτομάτου ἀλλὰ καὶ ἀήθους· ἄρα προφητεία ἐν τῇ κυρίᾳ σημασίᾳ· β΄. ἡ περὶ τῆς καταστροφῆς τῶν Σοδόμων καὶ τῆς Γομόῤῥας (Γεν. ιη΄, 20· ιθ΄, 24), γεγονότος αὖθις αὐτομάτου ἐντελῶς καὶ ἀήθους, ὃ ἀδύνατον ἦν προϊδεῖν δι᾽ ἀνθρωπίνων λογισμῶν· γ΄. ἡ περὶ τῆς γεννήσεως τοῦ Ἰσαὰκ ὑπὸ γονέων ὑπεργήρων καὶ στείρων, μὴ δυναμένων, κατὰ τὴν ἐν τῇ φύσει τάξιν τῶν πραγμάτων, καὶ προσδέχεσθαι τέκνα (ιζ΄, 16-19· κα΄. 1· παράβ. ις΄, 1, 2)· γ΄. ἡ περὶ τῆς ἐκ τοῦ Ἰσμαὴλ καταγωγῆς δώδεκα ἐθνῶν εἴτε φυλῶν, ῥηθεῖσα, τοῦ Ἰσμαὴλ δεκατριετοῦς ὄντος (ιζ΄, 20, 25)· ε΄. ἡ περὶ τῆς τύχης τοῦ Ἠσαῦ καὶ Ἰακώβ, ἐν τῇ μήτρᾳ ἔτι τῆς μητρὸς ὄντων (κε΄, 24). Αἱ προφητεῖαι αὗται ὤφειλον μεγάλως ἐπὶ τῶν πατριαρχῶν ἐνεργῆσαι, ὥστε πᾶσαι σχεδὸν πρὸ τῶν ὀφθαλμῶν αὐτῶν καὶ διὰ τῶν συμβεβηκότων ἐδικαιώθησαν. Ἐνταῦθα ἀνάγεται ϛ΄. ἡ προφητεία, ἣν ὁ Θεὸς ἀπεφήνατο τῷ Ἀβραάμ, ἄπαιδι ἔτι ὄντι, ὅτι ὑπ᾽ αὐτοῦ γενηθήσονται ἄπειροι ἀπόγονοι (Γεν. ιε΄, 5)· ὅτι οὗτοι „πάροικοι ἔσονται ἐν γῇ οὐκ ἰδίᾳ, ἐν ᾗ κακώσουσιν αὐτούς, καὶ δουλώσουσι καὶ ταπεινώσουσί τετρακόσια ἔτη (στίχ. 13)“· μετὰ δὲ ταῦτα ἐξελεύσονται ἐκ τῆς ἀλλοτρίας γῆς μετ᾽ ἀποσκευῆς πολλῆς (στίχ. 14)· „καὶ λήψονται κληρονομίαν τὴν γῆν ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου (στίχ. 18)“· τοιαῦτα δὲ σημεῖα συμβάματος οὐδεὶς ἀνθρώπινος νοῦς εἰκάσαι ἠδύνατο, καὶ ὅμως, ὥσπερ ἐκ τῆς ἱστορίας γινώσκομεν, ἐξετελέσθησαν ἅπαντα ἀκριβέστατα.*

§. 61. *β'. ὑπ' αὐτῶν τῶν πατριαρχῶν ῥηθεῖσαι, οἵα ἡ τοῦ Ἰακὼβ περὶ τοῦ χρόνου τῆς ἐλεύσεως τοῦ Μεσσίου.*

Τῶν ῥηθεισῶν ὑπ' αὐτῶν τῶν πατριαρχῶν[130] προφητειῶν ἀρκεῖ ἡμῖν τὸν νοῦν προσχεῖν ἐπὶ μόνης τῆς οὐσιωδεστέρας, ὁριζούσης τὸν χρόνον τῆς τοῦ Μεσσίου ἐλεύσεως· Ὁ πατριάρχης Ἰακώβ, πρὸ τοῦ ἑαυτοῦ θανάτου τοὺς υἱοὺς εὐλογῶν, καὶ τὴν τύχην τῶν ἀπογόνων αὐτῶν προλέγων, τῆς τάξεως τῷ Ἰούδᾳ περιηκούσης, εἶπεν αὐτῷ καὶ τάδε· „οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν (Γεν. μθ', 10)"· ἤ, κατὰ τὸ ἑβραϊκὸν κείμενον· „οὐκ ἀφαιρεθήσεται σκῆπτρον ἐξ Ἰούδα καὶ νομοθέτης ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὁ Εἰρηνοποιός, καὶ αὐτῷ ὑπακοὴ λαῶν"[131]. Ὅτι δ' ἐνταῦθα α'. περὶ μέλλοντος συμβάματος λέγεται, φαίνεται σαφῶς ἐκ τοῦ ὀρθοῦ νοῦ τῶν εἰρημένων λέξεων καὶ ἐκ τοῦ συνόλου τοῦ λόγου. Ὁ Ἰακώβ, καλέσας τοὺς υἱούς, πρῶτον μὲν εἶπεν αὐτοῖς· „συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν, τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν (μθ', 1)"· εἶτα δὲ ὄντως κατὰ τάξιν ἀποκαλύπτει αὐτοῖς τὴν μέλλουσαν τύχην τῶν ἀπογόνων. β'. Περὶ μέλλοντός τινος προσώπου, καὶ διασημοτάτου, ὃ δῆλον ἐκ τῶν δε· „ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν"· ἤ, „καὶ αὐτῷ ὑπακοὴ λαῶν". Ἀλλ' ἡμῖν κυρίως σημαντικόν ἐστι 1, ὅτι ἐνταῦθα προφητεύεται περὶ Μεσσίου, 2, ὁρίζεται ὁ χρόνος τῆς ἐλεύσεως αὐτοῦ, 3, ἡ προφητεία αὕτη ἐξεπληρώθη ἀκριβῶς ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[132].

1, Δύο τορὰ χαρακτηριστικὰ δείκνυσιν ὁ πατριάρχης ἐν τῷ

---

[130] *Τῶν πατριαρχῶν γνωστοί εἰσι τῷ δωρήματι τῆς προφητείας ὁ Ἐνὼχ (Ἰουδήθ. στίχ. 14), ὁ Νῶε (Γεν. θ', 26, 27) καὶ ὁ Ἰακὼβ (Γεν. μθ').*

[131] Non recedet virga de Juda et legislator de inter-pedes ejus, donec veniat Schiloh, et ei obedientia populorum.

[132] *Αἱ διάφοροι περὶ τῆς ἐνδόξου ταύτης προφητείας γνῶμαι τῶν ἁγ. τῆς ἐκκλησίας πατέρων καὶ μεταγενεστέρων τινῶν ἑρμηνευτῶν συνελέχθησαν καὶ ἀνεπτύχθησαν παρὰ Οὐετίου·* Veteris testamenti cum novo parallelism. c. IV (in Scriptur. Sacr. Curs. complet. tom. 11, pag. 265-304. Paris, 1842).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*μέλλοντι προσώπῳ, περὶ οὗ μαρτυρεῖ, μόνῳ τῷ Μεσσίᾳ ἀκριβῶς προσήκοντα καὶ οὐδενὶ ἄλλῳ.*

*α'. Καλεῖ αὐτὸ τὸ πρόσωπον* Schiloh, *κατὰ τὸ νῦν ἑβραϊκὸν κείμενον, ἢ ὥσπερ ἀνέγνωσαν οἱ Ο', καὶ οἱ ἄλλοι ἑρμηνευταὶ τῆς ἁγ. Γραφῆς ἐν παλαιτάτοις χειρογράφοις* Schelloh. *Ἥν τινα δ' ἂν τούτων τῶν δύο ἀναγνώσεων ἀποδεξώμεθα, ἀμφότεραι δύνανται τῷ Μεσσίᾳ ἀποδοθῆναι, καὶ κατὰ τὴν γνώμην πάντων τῶν ἀρχαίων Ἰουδαίων, μόνῳ τῷ Μεσσίᾳ. Ἡ λέξις* Schiloh, *ἐκ τοῦ* Schala, *δηλοῖ εἰρηνοποιός, σωτήρ· τούτῳ δὲ συνᾴδει ἐντελῶς καὶ τὸ σαμαριτανὸν κείμενον*[133]. *Ἀλλὰ α'. ἓν τῶν οὐσιωδεστέρων ἀγαθῶν, ἅ, κατὰ τὴν θείαν ἐπαγγελίαν, ἔδει παρὰ τοῦ Μεσσίου προσδοκᾶν, ἐστὶ καὶ ὅτι αὐτὸς ἔσται εἰρήνη ἡμῖν, καταλλάξει ἡμᾶς μὲν τῷ Θεῷ, τὸν δὲ οὐρανὸν τῇ γῇ, τοὺς δὲ ἐθνικοὺς τοῖς Ἰουδαίοις, καὶ σὺν ἑαυτῷ οἴσει εἰρήνην καὶ εὐτυχίαν ἐπὶ τῆς γῆς· διὸ καὶ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ „ἄρχων τοῦ κόσμου“ καλεῖται (Ἡσ. θ', 6)· β'. ἓν τῶν οὐσιωδεστάτων ὀνομάτων, οἷα ἀπεδίδοσαν οἱ ἀρχαῖοι Ἰουδαῖοι κυρίως τῷ Μεσσίᾳ, ἐστὶ τὸ ὄνομα* Schilo, *ὅ τι καὶ ἂν σημαίνῃ*[134]). *Ἐν τῷ βαβυλωνίῳ Ταλμούδῳ, π. χ. ἀναγινώσκεται. „ὁ Ῥαββῆς Ἰωχανὰχ ἠρώτησε περὶ Μεσσίου, ὁποῖον τὸ ὄνομα αὐτοῦ. Οἱ τοῦ Ῥαββῆ Σίλα μαθηταὶ ἀπεκρίναντο·* Schilo, *τὸ ὄνομα αὐτοῦ· ἐν γὰρ τῇ βίβλῳ Γενέσεως κεφ. μθ', στ.* 10 *εἴρηται· „ἕως ἂν ἔλθῃ ὁ* Schiloh“[135]. Schelloh *δὲ δηλοῖ· αὐτῷ καθήκει* (cujus est)· *ἄρα ὁ τῆς προφητείας νοῦς· οὐκ ἀφαιρεθήσεται σκῆπτρον ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ, ᾧ καθήκει τὸ σκῆπτρον“. Οὕτως ἐκφράζεται καὶ ὁ προφήτης Ἰεζεκιὴλ ἐν τῇ αὐτῇ προφητείᾳ περὶ Μεσ-*

---

[133] *Ἐν τῷ Σαμαριτανῷ ἀναγινώσκεται·* non auferetur sceptrum de Juda et dux de vexillis ejus, donec veniat Pacificus, et ad ipsum congregabuntur populi. Vid. Biblioth. Polyglott. Waltonian. 1684-1687.

[134] *Βλ.* Reymundi Martini-Pugio fidei adversus Mauros et Judaeos, cum observationibus Jos. de Voisin et introductione Carpzovii, par. 11, cap. IV: Probatio, quod Messias jam venit, per prophetiam Jacobi. *Καθόλου δὲ σημειωτέον, ὅτι τὸ σύγγραμμα τοῦτο, τὸν ιγ'. αἰῶνα γραφέν, περιέχει πλεῖστα λόγου ἄξια κατὰ Ἰουδαίων, καὶ ἄχρι νῦν περὶ πολλοῦ αὐτὸ ποιοῦνται οἱ λόγιοι.*

[135] *Αὐτόθι καὶ ἐν* Thesauro Ugolini tom. XXV, pag. 970.

σίου, λέγων· „ἀφείλου τὴν κίδαριν, καὶ ἐπέθου τὸν στέφανον ... ἕως οὗ ἔλθῃ, ᾧ καθήκει (ἡ κίδαρις), καὶ παραδώσω αὐτὴν (Ἰεζ. κα' 26, 27).“ Καὶ οὕτω μεταφράζει τὴν λέξιν Schelloh ἡ ἀρχαία συριακὴ μετάφρασις· „ᾧ καθήκει (τὸ σκῆπτρον), is, cujus illud est“, καὶ ἡ ἀρχαία ἀραβικὴ· „ᾧ καθήκει, is, cui est“[136], καὶ οὕτως ἡρμήνευσαν οἱ Ο', ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, ἢ κατ' ἄλλην ἀνάγνωσιν· „ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται (τὸ σκῆπτρον)“. Ἀλλὰ καὶ ἐνταῦθα σημειωτέον, ὥσπερ καὶ πρίν, ὅτι α'. μία τῶν οὐσιωδεστάτων ποιοτήτων, ἣν κατὰ τὰς θείας ἐπαγγελίας ἔδει προσδοκᾶν ἐν τῷ Μεσσίᾳ, ἐστὶ βασιλέα αὐτὸν ἔσεσθαι καὶ αὐτῷ βασιλείαν καθήκειν (Ἡσ. θ', 6-8· Ἱερ· κγ', 5-7· Δαν. β', 44)· β'. οἱ ἀρχαῖοι Ἰουδαῖοι παραφρασταὶ κατὰ τὴν παράδοσιν καὶ πίστιν παντὸς τοῦ λαοῦ ἑρμηνεύουσι τὴν λέξιν Schelloh ταῖς λέξεσι· „Μεσσίας, ᾧ καθήκει ἡ βασιλεία“[137].

β'. Ὁ Ἰακώβ, τοῦ Schiloh μνημονεύσας, ἀμέσως προστίθησι· „καὶ αὐτῷ ὑπακοὴ λαῶν“, ἤ, ὥσπερ ἐν ταῖς ἀρχαίαις ἀναγινώσκεται παραφράσεσι· „καὶ αὐτῷ ὑποταγήσονται λαοί, ὑποταγήσονται πάντες οἱ βασιλεῖς τῆς γῆς“[138], καὶ ἐν ταῖς παλαιτάταις μεταφράσεσιν, οἷον, Ἑλληνικῇ τῶν Ο'. „καὶ αυτὸς προσδοκία τῶν ἐθνῶν“. Συριακῇ· „καὶ αὐτὸν προσδέξονται λαοὶ“[139]. Τίνι ἄρα ἐκτὸς μόνου τοῦ Μεσσίου δύνανται καθήκειν ἐν τῇ κυρίᾳ σημασίᾳ αἱ ἐκφράσεις αὗται πᾶσαι ὁμοῦ ἢ καθ' ἑκάστην; Περὶ

---

[136] Ἡ μὲν ἀραβικὴ μετάφρασις ἔχει· non praeteribit virga de Juda, et legislator de sub imperio ejus, donec veniat is, cui est, et ad quem congregabuntur populi. Ἡ δὲ Συριακή· non deficiet sceptrum de Juda, et expositor de inter pedes ejus, donec veniat is, cujus illut est, et ipsum expectabunt gentes.

[137] Ἐν τῷ τοῦ Ὀγκέλου Ταλμούδῳ ἀναγινώσκεται· non auferetur habens principatum a Domo Juda, neque scriba a filiis filiorum ejus, usque in saeculum, donec veniat Messias, cujus est regnum: et ei obtemperabunt populi· ἐν δὲ τῷ Ἱεροσολημιτικῷ, ἀποδιδομένῳ πρὸς τὸν Ἰωνάθαν· non dificient reges de domo Juda, neque periti doctores legis de filiis filiorum ejus usque ad tempus, quo veniet rex Messias, cujus est regnum: et ei subjicientur tandem omnes reges terrae. Quam pulcher est rex Messias, qui surrecturus est e domo Juda!

[138] Βλ. τὴν προηγουμένην σημ.

[139] Βλ. σεμ. 136.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τίνος δὲ τῶν συνήθων τοῦ Ἰούδα ἀπογόνων οἷον ἦν προαγγεῖλαι, ὅτι αὐτὸς προσδοκία τῶν ἐθνῶν ἔσται, πρὸς αὐτὸν προσελεύσονται λαοί, αὐτῷ πάντες οἱ ἐπὶ τῆς γῆς βασιλεῖς ὑποταγήσονται[140]; Τῷ Μεσσίᾳ δὴ πάντα ταῦτα καθήκει τοσούτῳ μᾶλλον, καὶ γὰρ περὶ αὐτοῦ καὶ πρὸ τοῦ Ἰακὼβ ταὐτὸ ἀνηγγέλθη ἐν ταῖς θείαις ἐπαγγελίαις τῷ Ἀβραάμ, Ἰσαὰκ καὶ αὐτῷ τῷ Ἰακὼβ („ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς“), καὶ ἐν τοῖς μετὰ ταῦτα προφητείαις συχνῶς ἐπαναλαμβάνεται ὅμοιον, μάλιστα παρὰ τῷ Ἡσαΐᾳ, παράδειγμα· „ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος τοῦ κυρίου ..., καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη (α', 2, 3)“, ἤ· „καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν (ια', 10· παράβ. μθ', 6· να', 5· ξε', 1· ξς', 19 καὶ ἀλ.)“.

2. Καὶ αὐτὸ τὸ περιεχόμενον τῆς ὑφ' ἡμῶν θεωρουμένης περὶ Μεσσίου προφητείας ἐντελῶς πείθει ἡμᾶς, ὅτι καὶ ὧδε ῥητῶς ὁρίζεται ὁ χρόνος τῆς αὐτοῦ ἐλεύσεως. Ὁ Ἰακὼβ ἀποφαίνεται· οὐκ ἀφαιρεθήσεται σκῆπτρον ἐξ Ἰούδα καὶ ἄρχων ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὁ Schiloh. Ἀλλὰ τὸ ἑβραϊκὸν ad-ki-ἕως ἄν, κατὰ τὴν ὁμολογίαν τῶν ἀρχαιοτάτων ἑβραίων παραφραστῶν καὶ τὴν συμφωνίαν πασῶν τῶν ἀρχαίων μεταφράσεων, δηλοῖ κυρίως, μέχρις οὗ, ἕως, ἢ ἕως μή[141]· οἱ δὲ ἀρχαιότατοι Ἰουδαῖοι ἀδιστάκτως κάλλιον τῶν νῦν ἑβραίων ἐγίνωσκον τὴν ἑαυτῶν γλῶσσαν, πρὸς δὲ οὐδόλως παρωρμῶντο ἐσκεμμένως τὸν νοῦν τῶν περὶ Μεσσίου προφητειῶν διαφθεῖραι, ὥσπερ οἱ νεώτεροι ῥαββῖνοι[142]. Σκοπὸς δὲ τῆς τοῦ Ἰακὼβ προφητείας, τῷ Ἰούδᾳ ῥηθείσης, ἐστὶ τὸ μὲν δεῖξαι αὐτῷ τὸν χρόνον,

---

[140] Μόνη ἡ παρατήρησις αὕτη ἐντελῶς ἀνατρέπει πάσας τὰς ἀποπείρας τῶν νεωτέρων ῥαββίνων, βουλομένων τὴν τοῦ Ἰακὼβ προφητείαν ἀποδοῦναι, ἐναντίον τῆς γνώμης πάντων τῶν προπατόρων αὐτῶν, οὐ τῷ Μεσσίᾳ, ἀλλὰ τὸ μὲν τῷ Σαούλ, τὸ δὲ τῷ Ἱεροβοάμ, τὸ δὲ τῷ Ναβουχοδονόσωρ κτλ.

[141] Βλ. Bibl. Polyglott. Waltonian.

[142] Ὅθεν ἡ γνώμη τινῶν αὐτῶν, δῆθεν ad-ki σημαίνει ἐνταῦθα, ὅτε, οὐδεμιᾶς ἔχεται πιθανότητος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*καθ' ὃν οἱ ἀπόγονοι αὐτοῦ ἕξουσιν ἰδίαν διοίκησιν, καὶ διατηρήσουσι τὴν πολιτικὴν αὐτῶν ὕπαρξιν· οὐκ ἀφαιρεθήσεται σκῆπτρον ἐξ Ἰούδα ἕως ἂν ...' τὸ δὲ δοῦναι τῷ τε Ἰούδᾳ σὺν τοῖς ἀπογόνοις αὐτοῦ καὶ πᾶσι τοῖς ἐκεῖ παροῦσιν ἀδελφοῖς σὺν τοῖς αὐτῶν ἀπογόνοις γνώρισμα, ἐξ οὗ ἂν δύνωνται ἀλανθάστως τὸν ἐλευσόμενον Μεσσίαν ἐπιγνῶναι' ἕως ἂν ἔλθῃ ὁ* Schiloh. *Ἐὰν δὲ ὑπὸ τὸ ἕως ἂν οὐχ ὡρισμένον ὅριον χρόνου νοήσωμεν, οὐδέτερος σκοπὸς ἐπιτευχθήσεται. Προσθετέον ὅμως, ὅτι πάντες οἱ ἀρχαῖοι Ἰουδαῖοι ὁμοθύμως ἐθεώρουν ἐν ταύταις ταῖς λέξεσι τοῦ πατριάρχου Ἰακὼβ τὴν προφητείαν περὶ τοῦ τέλους τῆς τοῦ Ἰούδα βασιλείας καὶ τῆς ἀρχῆς τῆς τοῦ Μεσσίου* [143].

3. *Ἰδεῖν δέ, ὅτι ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ ἐξεπληρώθη ἡ τοῦ Ἰακὼβ προφητεία περὶ τοῦ* Schiloh, *ἀκριβέστερον ὁρίσαι δεῖ τὸν νοῦν πάσης τῆς προφητείας, καὶ εἶτα αὐτὴν τῷ γεγονότι ἐφαρμόσαι.*

*Ὁ νοῦς τῆς προφητείας οὗτος· „ἡ φυλὴ τοῦ Ἰούδα οὐ παύσει ἰδίαν ἔχουσα διοίκησιν καὶ νομοθεσίαν, ἕως οὗ ἔλθῃ ὁ Μεσσίας". Τοῦτο δὲ δῆλον α'. ἐκ τῆς λέξεως* Scheret, *ἥτις, καίτοι ἔστιν ὅτε σημαίνει καθόλου ῥάβδον (Ψαλμ. πη', 33), ἐνταῦθα ὅμως ῥητῶς ῥάβδον διοικήσεως, ἐξουσίαν διοικητικήν, ὥσπερ ἐν χρήσει ἐστὶν ἐν πολλοῖς ἄλλοις τῆς ἁγ. Γραφῆς χωρίοις (Ἀριθμ. κδ', 17· Ἡσ. ιδ', 5· Ζαχ. ι', 11). ἡμεῖς οὖν ἐπιστηρίζομεν β'. ὅτι ἡ λέξις* mechokek, *ἐν τῷ αὐτῷ λόγῳ τεθεῖσα ἀντιθετικῶς τῇ λέξει* scheret, *σημαίνει κυρίως νομοθέτην, νομοφύλακα εἴτε νομοθετικὴν ἀρχὴν (Ἀριθ. κα', 19· Κριτ. ε', 14· Ψαλμ. νθ', 9)· γ'. Διὸ οἱ μὲν Ο', καὶ ὁ Θεοδοτίων, ταῖς παλαιτέραις ἑπόμενοι ἑρμηνείαις καὶ παραφράσεσιν, ἡρμήνευσαν τὴν λέξιν* scheret *ἄρχων, ὁ δὲ Ἀκύλας σκῆπτρον, ὁ δὲ Ὄγκελος ἔχων τὴν ἀρχήν. Μνηστέον ὅμως, ὅτι α'. ἐν τῇ προφητείᾳ οὐδαμῶς ἐκφράζεται τόδε, ἡ βασιλεία τοῦ Ἰούδα μέχρι τῆς τοῦ Μεσσίου ἐλεύσεως ἀδιαλήπτως ἕξει μίαν τινὰ διοίκησιν, π. χ. βασιλεῖς, μονάρχας· ἀλλὰ*

---

[143] Mazocchi Specilegium Biblicum tom. I, dissert. VIII, par. I, sect. III. Neapoli 1762; Christiani Schoettgenii, Horae Hebraicae et talmudicae t. II, bib. 2, p. 145, Dresdae et Lips. 1742.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καθόλου λέγεται, ἰδίαν ἔξει διοίκησιν, ἀορίστως. Αἱ λέξεις scheret καὶ mechokek, ὥσπερ οἷον ἰδεῖν ἐκ τῶν εἰρημένων χωρίων, ἁρμόζουσι καὶ τοῖς βασιλεῦσι καὶ τοῖς ἄρχουσι καὶ παντί, ἐξουσίαν ἔχοντι, καὶ οὐ μόνον προσώποις, ἀλλὰ καὶ ὅλαις φυλαῖς, ἐξουσίᾳ περιβεβλημέναις· ἄρα σημαίνουσι καθόλου διοικητικὴν καὶ νομοθετικὴν ἐξουσίαν· β'· τῇ διοικήσει ταύτῃ ἀποδίδοται διάρκεια τῆς ἀρχῆς ἐν μόνῃ τῇ φυλῇ τοῦ Ἰούδα καὶ οὐ πάσαις ταῖς τοῦ Ἰσραὴλ φυλαῖς· ἐνταῦθα γὰρ προλέγει ὁ Ἰακὼβ τῷ υἱῷ αὐτοῦ Ἰούδα κυρίως μόνης τῆς γενεᾶς αὐτοῦ τὴν τύχην, τοῖς δ' ἄλλοις υἱοῖς εἶπε περὶ τῆς τύχης τῆς γενεᾶς αὐτῶν τὸ μὲν πρίν, τὸ δὲ μετά, ἑνὶ ἑκάστῳ.

Ἤδη οὖν ἐφαρμόσαι τὴν προφητείαν τῷ συμβεβηκότι οὐ δύσκολον. Ἡ τοῦ Ἰούδα φυλή, ὁμοίως ταῖς ἄλλαις, ἔχουσα ἤρξατο ἰδίους ἄρχοντας εἴτε πρεσβυτέρους ἐκ τῶν ἰδίων μελῶν ἅμα τῇ ἐξ Αἰγύπτου ἐξόδῳ (Ἀριθμ. α', 4, 16· β', 3), ὅπου καὶ ἐῤῥέθη ὑπὸ τοῦ Ἰακὼβ ἡ προφητεία, καίτοι πρῶτος ἄρχων πάντων τῶν Ἰουδαίων ἐν πάσῃ τῇ ὁδοιπορίᾳ διέμενεν ὁ Μωϋσῆς. Οὐ δ' ἔπαυσεν ἡ φυλὴ αὕτη, ὥσπερ καὶ αἱ ἄλλαι, ἰδίους ἔχουσα ἄρχοντας καὶ μετὰ τὴν κατάληψιν τῆς ἐπαγγελθείσης γῆς (Ναυΐ κβ', 13, 14 καὶ ἀλλ.), καίπερ ἅπαντος τοῦ Ἰσραὴλ διετελοῦντος ὑπὸ τὴν ὑπερτάτην ἐξουσίαν πρῶτον μὲν Ἰησοῦ τοῦ Ναυΐ, εἶτα τῶν κριτῶν, καὶ ἔπειτα τῶν βασιλέων Σαούλ, Δαυῒδ καὶ Σολομῶντος (β'. Βασιλ. β', 4· ε', 1, 2). Οἴκοθεν δὲ νοεῖται, ὅτι ἐν πάσῃ τῇ περιόδῳ ταύτῃ ἡ τοῦ Ἰούδα φυλή, ὥσπερ καὶ αἱ ἄλλαι, καὶ διῳκεῖτο ἰδίᾳ καὶ πατρικῇ νομοθεσίᾳ, διὰ Μωϋσέως δοθείσῃ, καὶ οὐκ ἀλλοτρίᾳ τινί. Ἀπὸ τοῦ υἱοῦ ὅμως τοῦ Σολομῶντος Ῥοβοάμ, ἐφ' οὗ διῃρέθη τὸ βασίλειον εἰς δύο, ἡ τύχη τῆς φυλῆς Ἰούδα εἰς ἐκπλήρωσιν τῆς προφητείας ἄρχεται ἤδη διακρινομένη τῆς τῶν ἄλλων φυλῶν τοροῖς χαρακτῆρσιν. Ὅτε δὲ αἱ δέκα φυλαί, τὸ Ἰσραηλιτικὸν ἀποτελέσασαι βασίλειον, διαδοχικῶς διῳκοῦντο ὑπὸ βασιλέων ἐκ διαφόρων φυλῶν καὶ δυναστειῶν, μόνη ἡ τοῦ Ἰούδα φυλή, ἑαυτῇ συγχωνεύσασα τὴν μικρὰν τοῦ Βενιαμίν, ἑνωθεῖσα μετ' αὐτῆς εἰς ἓν βασίλειον (οὗ ἕνεκα βασίλειον Ἰουδαϊκὸν ἐκαλεῖτο, καὶ ἔστιν ὅτε φυλὴ τοῦ Ἰούδα (δ'. Βασιλ. ιζ', 18), οὐκ ἐπαύσατο ἀδιάκοπον σειρὰν βασιλέων ἐκ μόνου τοῦ οἴκου Δαυῒδ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχουσα, ἄρα ἐκ τῶν μηρῶν αὐτῆς. Ἀλλὰ ταχέως κατεστράφη ἡ βασιλεία τοῦ Ἰσραὴλ ὑπὸ Σαλμανάσαρ, βασιλέως τῶν Ἀσσυρίων, καὶ ἔκτοτε αἱ δέκα φυλαὶ οὐδέποτε πλέον ἀπετέλεσαν πολιτικήν τινα διοίκησιν, ὑπὸ πατρίου ἀρχῆς καὶ νόμου διευθυνομένην, ἀλλὰ πέραν τοῦ Εὐφράτου ἀπαχθέντες καὶ διασπαρέντες, ὑπετάγησαν ἀλλοτρίᾳ ἐξουσίᾳ, εἰς τὴν πάτριον δὲ χώραν ἀπῴκησαν νέοι κάτοικοι (δ'. Βασ. ιζ', 28). Ἡ δὲ φυλὴ τοῦ Ἰούδα, καίπερ ὁμοίως ταχέως ὑπὸ τὴν βαβυλωνίαν ὑποπεσοῦσα αἰχμαλωσίαν, ὅμως οὐκ ἐπαύσατο καὶ ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ ὑπὸ τοὺς βαβυλωνίους καὶ εἶτα ὑπὸ τοὺς πέρσας βασιλεῖς ἓν ἀποτελοῦσα σῶμα, καὶ τοὺς ἑαυτῆς πρεσβυτέρους ἔχουσα καὶ κατὰ τοὺς ἑαυτῆς διοικουμένη νόμους (Δαν. γ', 8· π', 11). Καὶ μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπιστροφὴν συναινέσει αὐτῶν τῶν ἐθνικῶν βασιλέων διετέλει ἰδίους ἔχουσα ἄρχοντας, πρεσβυτέρους, κριτάς, κατὰ τοὺς νόμους τοῦ ἑαυτῆς Θεοῦ (α'. Ἔσδρ. ζ', 25, 26· θ'. 1· Νεεμ. ε', 7), πρῶτον μὲν διάγοντες ὑπὸ τὴν ἄμεσον ἐξουσίαν ἀρχόντων, οἷοι ἦσαν οἱ Ζωροβάβελ, Ἔσδρας, Νεεμίας, εἶτα δὲ ἀρχιερέων καὶ ἔπειτα ἐθναρχῶν, ὥσπερ οἱ Μακκαβαῖοι ὠνομάζοντο (α'. Μακ. η', 20· ιβ'. 6).

Ἑξήκοντα πρὸ Χριστοῦ ἔτη ὁ Πομπήϊος ἐκυρίευσε τὴν Ἱερουσαλήμ, καὶ ὑπηκόους τοῖς Ῥωμαίοις τοὺς Ἰουδαίους ἐποιήσατο. Μετὰ δὲ εἰκοσιπενταετίαν οἱ Ῥωμαῖοι βασιλέα τῆς Ἰουδαίας τὸν Ἡρώδην, ἐξ ἀλλοτρίας ὄντα φυλῆς, Ἰδουμαῖος γὰρ ἦν, κατέστησαν, ἀφ' οὗ μετέβη ἡ ἡγεμονία τοῖς αὐτοῦ παισί. Ὀλίγου δὲ περιϊόντος χρόνου, ἤρξαντο Ῥωμαῖοι ἡγεμόνες εἴτε ἐπίτροποι τὴν Ἰουδαίαν διοικοῦντες ἐν παντὶ τῷ ἐπιγείῳ τοῦ Σωτῆρος βίῳ καὶ μέχρι τῆς ὑπὸ Τίτου καταστροφῆς τῆς Ἱερουσαλήμ. Τὴν μικρὰν ταύτην περίοδον, ἐγγύτατα τὸν βίον τοῦ Ἰησοῦ Χριστοῦ περιλαμβάνουσαν, δυνατὸν ὀνομάσαι χρόνον τῆς κατὰ μικρὸν μέν, παντελοῦς δ' ἐκλείψεως ἰδίας διοικήσεως καὶ νομοθεσίας ἐν τῇ τοῦ Ἰούδα φυλῇ. Ὅμως καὶ ἐπὶ τοῦ ἐπιγείου τοῦ Σωτῆρος βίου, ἐπὶ τῶν Ῥωμαίων ἡγεμόνων, ἴχνη ἔτι ἰδίας διοικήσεως κατὰ τοὺς πατρίους νόμους τοῖς Ἰουδαίοις εἰσὶν (Ἰωάν. η', 3 καὶ ἑπόμ. θ', 1 καὶ ἑπόμ. ιη', 21)· ἀλλὰ ταῦτα καὶ ἐπὶ μᾶλλον ἤδη ὑπὸ τῆς ἐξουσίας τῶν Ῥωμαίων ἐπιέζοντο, ἕως οὗ

*τέλος ἔπεσεν ὑπὸ τὴν σπάθην αὐτῶν ἡ Ἱερουσαλήμ, καὶ ὁ λαός, ὁ θανάτῳ τὸν ἀληθῆ Μεσσίαν παραδούς, διὰ παντὸς ἀπώλεσε τὴν πολικὴν αὐτοῦ ὕπαρξιν*[144].

§. 62. *Περὶ τῆς ἱστορικῆς ἀξιοπιστίας τῶν κατὰ τὴν πατριαρχικὴν περίοδον θεοφανειῶν, θαυμάτων καὶ προφητειῶν.*

*Ἡ ἱστορικὴ ἀξιοπιστία τῶν θεωρηθεισῶν ὑφ᾽ ἡμῶν Θεοφανειῶν, θαυμάτων καὶ προφητειῶν, κατὰ τὴν πατριαρχικὴν περίοδον γενομένων, ὥσπερ καὶ πάντων τῶν ἄλλων συμβαμάτων, τῶν ἐν τῇ βίβλῳ τῆς Γενέσεως περιγεγραμμένων, ἐπὶ τῆς τοῦ Μωϋσέως βασίζεται μαρτυρίας, καὶ ὑπὸ τῶν παραδόσεων τῶν ἐθνικῶν λαῶν ὑποστηρίζεται·*

*Καίτοι τὰ γεγονότα ταῦτα συνέβησαν πρὸ τοῦ Μωϋσέως, ὅμως εἶχεν οὗτος καὶ φυσικὰ μέσα μόνος τὴν ἀλήθειαν ἐπιγνῶναι, καὶ οὐκ ἠδύνατο εἰς πλάνην ἄλλων εἰσαχθῆναι (οὐ μνημονεύομεν ἤδη, ὅτι ὁ Μωϋσῆς ἔλεγε καὶ ἔγραφε κατ᾽ ἔμπνευσιν τοῦ ἁγ. Πνεύματος· φάντες γὰρ τοῦτο, διὰ τὸν πιστεύοντα εἴποιμεν ἂν τὸ πᾶν). Τοιαῦτα δὲ μέσα εἰσίν·*

1. *Ἡ προφορικὴ παράδοσις, παράδοσις ζῶσα, ἔναυλος καὶ ἀμόλυντος ἕνεκα τῆς τῶν πατριαρχῶν μακροβιότητος. Ὁ γὰρ πρόπαππος τοῦ Μωϋσέως Λευῒ συνέζη τῷ Ἰακώβ, καὶ εἶδε τὸν Ἰσαάκ, ὁ δὲ Ἀβραὰμ ἠδύνατο πάντας τοὺς προπάτορας μέχρις Ἀρφαξάδ, ἐγγόνου τοῦ Νῶε ἐκ τοῦ Σήμ, ἰδεῖν· Ἄρα ὁ Μωϋσῆς καὶ οἱ αὐτῷ σύγχρονοι ἀπεῖχον τοῦ κατακλυσμοῦ πέντε ἢ ἓξ προσώποις, εἰ μὴ ἧττον, καί, μὴ τῆς ἑαυτῶν γενεᾶς ἐξερχό-*

---

[144] *Ἁρμόδιόν ἐστιν ἐπαγαγεῖν ἐνταῦθα τὴν ἐν* Medrasch (*ἑνὶ τῶν ἀρχαιοτάτων τοῦ Ταλμούδου μερῶν*) *διήγησιν, ἐν ᾗ αὐτοὶ οἱ Ἰουδαῖοι ὡμολόγησαν, ὅτι ὄντως τότε κατὰ τὴν τοῦ Ἰακὼβ προφητείαν ἔδει τὸν Μεσσίαν προσδοκᾶν. Ἐν αὐτῇ δὲ τάδε λέγεται· „τὰ μέλη τοῦ Συνεδρίου, μετὰ τὴν ἀπ᾽ αὐτῶν ἀφαίρεσιν τοῦ δικαιώματος τοῦ ποινικοῦ δικαστηρίου* 40 *ἔτη πρὸ τῆς ἀνατροπῆς τοῦ ναοῦ (ἄρα περὶ τὸ ἔτος τοῦ θανάτου τοῦ ἡμετέρου Σωτῆρος), σάκκους περιβεβλημένοι, καὶ τῆς κεφαλῆς τὰς τρίχας τίλλοντες, ὠδύροντο, λέγοντες· οὐαὶ ἡμῖν, οὐαὶ ἡμῖν· πρὸ πολλοῦ ἤδη ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα (Γεν. μθ΄,* 10), *ὁ δὲ ἐπαγγελθεὶς Μεσσίας οὔπω ἦλθεν“.* Medrasch Rabbi Mosche Haddarschan super Genes. Conf. Talmud Hierosol. Tanchedrin distinct. Dine Mamonoth.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενοι, ῥᾳδίως ἠδύναντο ἐκμαθεῖν ἀξιόπιστον ἱστορίαν πολλῶν ἑκατονταετηρίδων· ἡ γὰρ παράδοσις διαφθείρεται οὐκ ἐκ τῆς πολυχρονιότητος τῆς ὑπάρξεως αὐτῆς, ἀλλ' ἐκ τοῦ πολυαρίθμου τῶν προσώπων, δι' ὧν διαδοχικῶς μεταβαίνει. Ὁμοίως δὲ καὶ Νῶε, 600 ἔτη πρὸ τοῦ κατακλυσμοῦ βιούς, αὐτὸν τὸν υἱὸν τοῦ Σὴθ Ἐνὼχ ἰδεῖν ἠδύνατο, καὶ πρὸς αὐτὸν διαλέξασθαι· ὁ δὲ πατὴρ τοῦ Νῶε Λάμεχ ἐγεννήθη καθ' ὃ ἔτος ὁ Ἀδὰμ ἀπέθανε· Καὶ λοιπὸν ἅπασα ἡ προκατακλύσμιος ἱστορία ἠδύνατο γνωστὴ εἶναι τοῖς τῷ Μωϋσεῖ συγχρόνοις διὰ τριῶν ἢ τεσσάρων διαδοχικῶν μαρτύρων. Τούτοις προσθετέον, ὅτι, εἰ οἱ Ἰσραηλῖται καθόλου ἀεὶ διεκρίνοντο ἰδίᾳ ἀγάπῃ εἰς διατήρησιν τῶν περὶ τῶν προπατόρων, τῆς θρησκείας καὶ τῆς αὐτῶν τύχης παραδόσεων, τοσούτῳ μᾶλλον δεῖ τοῦτο εἰπεῖν περὶ τῶν ἀρχαιοτέρων Ἑβραίων· ἀλλ' ἡ ἐν τῇ βίβλῳ τῆς Γενέσεως ἐκτεθειμένη ἱστορία πραγματεύεται περὶ τῶν διασημοτάτων προπατόρων αὐτῶν, τ. ε. τῶν πατριαρχῶν, περιέχει αὐτὰς τὰς ἀρχὰς τῆς θρησκείας αὐτῶν, τὰς περὶ τοῦ Μεσσίου ἐπαγγελίας καὶ τὰς λίαν παραμυθητικὰς τοῦ Θεοῦ ἐπαγγελίας περὶ τῆς εὐλογίας καὶ πληθυσμοῦ τοῦ σπέρματος Ἀβραάμ· τ. ε. πραγματεύεται περὶ ὑποθέσεων, ὧν ἡ μνήμη τοῖς Ἑβραίοις ἀεὶ ἱερωτάτη ἦν καὶ πολυτιμοτάτη·

2. Οἱ ἱεροὶ ὕμνοι, οἱ Ψαλμοὶ καὶ καθόλου τὰ ᾄσματα, ἅτινα ἐξ ἀμνημονεύτων χρόνων, ὥσπερ ἅπαντες οἱ λαοί, οὕτω καὶ οἱ Ἑβραῖοι, ἠγάπων συντιθέναι καὶ ᾄδειν εἰς ἔκφρασιν τῶν εὐσεβῶν πρὸς τὸν Θεὸν αἰσθημάτων αὐτῶν, εἰς δόξαν τῶν διαφόρων αὐτοῦ εὐεργεσιῶν, εἰς μνήμην καὶ τιμὴν τῶν διασήμων προπατόρων, εἰς διαιώνισιν τῶν ἐπισημοτέρων γεγονότων ἐν τῷ βίῳ αὐτῶν κτλ. Τὰ ᾄσματα ταῦτα, ὥσπερ πολύτιμος διαδοχή, ἀπὸ γένους εἰς γένος, ἀπὸ τῶν πατέρων πρὸς τοὺς παῖδας, μετέβαινον, καὶ διετήρουν ἔστιν ὅτε μέγα μέρος τῆς τῶν λαῶν ἱστορίας. Περὶ δὲ τῆς ὑπάρξεως παρ' Ἰουδαίοις τοιούτων ᾀσμάτων ἀναφέρει αὐτὸς ὁ Μωϋσῆς ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν κα', 17, 18, 27.

3. Πολλὰ ὑλικὰ τῶν ἀρχαίων γεγονότων μνημεῖα, καὶ ἐπὶ Μωϋσέως ἔτι ὄντα, οἷα· θυσιαστήρια, ἱδρυμένα ὑπὸ Νῶε, Ἀβραάμ, Ἰακὼβ καὶ ἄλλων πατριαρχῶν, ὁ βαβυλώνιος πύργος,

τὴν διασπορὰν τῶν ἐθνῶν καὶ τὴν σύγχυσιν τῶν γλωσσῶν μαρτυρῶν· τὰ ἐρείπια τῶν Σοδόμων καὶ τῆς Γομόῤῥας, τὴν θείαν ἀναμιμνήσκοντα ποινήν, τὴν τὰς ἀσεβεῖς ταύτας πόλεις καταλαβοῦσαν· τὰ λείψανα τῆς τοῦ Νῶε Κιβωτοῦ, τὸν κατακλυσμὸν ἀναμιμνήσκοντα· ἡ τῶν Ἑβραίων περιτομή, τὴν τοῦ Θεοῦ πρὸς τὸν Ἀβραὰμ καὶ τοὺς αὐτοῦ ἀπογόνους διαθήκην δεικνύουσα· ὁ ὑπὸ τοῦ Ἀβραὰμ ἀγορασθεὶς ἀγρὸς εἰς ταφὴν τῶν μελῶν τοῦ οἴκου αὐτοῦ· ὁ τάφος τῆς Ῥαχήλ· τὰ ὑπὸ τῶν πατριαρχῶν ἀνωρυγμένα φρέατα· αὐτὰ τὰ ὀνόματα πολλῶν πατριαρχῶν, οἷα τοῦ Νῶε, Ἀβραάμ, Ἰσαάκ, ἱστορικά τινα συμβεβηκότα ἐκφράζοντα κτλ. [145].

Τοιούτων οὖν μέσων ὄντων τοῦ γνῶναι πάντα τὰ μνήμης ἄξια, κατὰ τὴν πατριαρχικὴν περίοδον συμβάντα, καταληπτῶν Μωϋσῇ τε καὶ τοῖς συγχρόνοις, ἐσκεμμένη τις ἀπιστία ἀπὸ Μωϋσέως ἐν τῇ περὶ τῶν γεγονότων τούτων διηγήσει πάμπαν ἀδύνατός ἐστιν· εὐθὺς γὰρ ἂν αὐτὴν ἐξελέγξειάν οἱ σύγχρονοι, τὰς αὐτὰς πηγὰς ἀρωγὸν προσλαβόντες, καὶ ἡ βίβλος τῆς Γενέσεως μὴ ἂν ἀποδεκτὴ παρ' αὐτῶν εἴη μεγίστῳ σεβασμῷ, ἀλλ' ἀποβάλοιεν αὐτήν, ὥσπερ μὴ ἀξιόπιστον. Παραλαβόντες ὅμως αὐτὴν καὶ τοσαύτῃ ἀπολύτῳ πίστει, ἐμαρτύρησαν τὴν ἀδίστατον γνησιότητα παντὸς τοῦ ἐν αὐτῇ ἐκτεθειμένου·

Παραδόσεις δὲ περὶ συμβαμάτων ἐν τῇ πατριαρχικῇ περιόδῳ διετηρήθησαν καὶ ἐν τοῖς Ἰσραηλίταις καὶ τοῖς ἐθνικοῖς. Καὶ τούτου ἀπόδειξίς εἰσιν αἱ μαρτυρίαι πολλῶν ἀρχαίων ἐθνι-

---

[145] Ἐὰν ἀποδεξώμεθα, ὅτι τὰ γράμματα ἐφευρέθησαν πρὸ πολλῶν χρόνων, καὶ ἴσως ὑπ' αὐτοῦ τοῦ Νῶε (Βλ. περιοδ. σύγγρ. Ὑπουρ. τῆς Παιδ. [ἐν Ῥωσσίᾳ], 1843. Γνώμη Ζεϊφάρτου περὶ τοῦ Σημιτικοῦ ἀλφαβήτου), ἢ ὑπ' αὐτοῦ τοῦ Ἀδὰμ (Vid. in Annales de qhilosophie chrétienne, Paris 1830, No. 5, Origine de l'écriture, rapdortée Adam): δυνατόν ἐστι συμφωνῆσαι, ὅτι παρ' Ἰουδαίοις, ὥσπερ τινὲς λόγιοι ὑποτιθεῖσι (Καλμέτης ἐν προοιμίῳ εἰς Γένεσιν), καὶ μέχρι Μωϋσέως ἠδύναντο σύντομοι γενεαλογικαὶ ὑπάρχειν σημειώσεις περὶ τῶν κυριωτέρων ἐν τῷ λαῷ γεγονότων τῶν θεοφανειῶν, τῶν θαυμάτων, τοῦ ἀριθμοῦ τῶν ἐτῶν τῆς ζωῆς τῶν πατριαρχῶν, τῶν λίαν ἀξιομνημονεύτων ἐκφράσεων κτλ., καὶ ὅτι αἱ σημειώσεις αὗται ἠδύναντο καταληπταὶ τῷ Μωϋσῇ εἶναι. „Τὸ βιβλίον τοῦ εὐθέως", ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ ἀναφερόμενον (ι', 13· παράβ. β', Βασ. α', 18), περιεῖχεν, ὡς φαίνεται, τὴν ἱστορίαν τῶν ἀρχαίων πατριαρχῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



κῶν συγγραφέων, αἵτινες, συνειλεγμέναι ὑπὸ φιλοπόνων λογίων, διδοῦσιν, ὑφ' ὑγιαινούσης ἐξεταζόμεναι κριτικῆς, ἀρκούντως πιστὸν διάγραμμα πάσης τῆς πρωτογόνου τῆς ἀνθρωπότητος ἱστορίας, ἐν τοῖς Βιβλίοις ἐκτεθειμένης· Οὗτοι δέ εἰσι Βερόζης ὁ Χαλδαῖος καὶ Ἱέρομος ὁ Αἰγύπτιος, ἀναφέροντες περὶ τοῦ ἐπὶ Νῶε κατακλυσμοῦ, τῆς κιβωτοῦ, ἐπὶ τῶν ὀρέων Ἀραρὰτ μεινάσης, τῶν ἐκ τῆς κιβωτοῦ ἀφεθέντων πτηνῶν· ὁ αὐτὸς δὲ Βερόζης καὶ Μανέθων μνείαν ποιοῦνται τῆς μακροχρονιότητος τῶν πατριαρχῶν· Ἀβήδενος δέ, Εὐπόλεμος, Ἀστράβανος, Κλεόδημος, Θεόδοτος καὶ Ἕστιος λέγουσι περὶ τῆς πυργοποιΐας καὶ τῆς τῶν γλωσσῶν συγχύσεως, τῆς ὁδοιπορείας τοῦ Ἀβραὰμ ἐκ τῆς γῆς Οὐρ εἰς Φοινίκην καὶ Αἴγυπτον, τῆς ἥττης τῶν ἐχθρῶν τοῦ Λώτ, τῶν προσενεχθέντων τῷ Ἀβραὰμ δώρων ὑπὸ τοῦ Μελχισεδέκ, τῶν παίδων Ἀβραὰμ ἐκ τῆς δούλης καὶ τῆς ἐλευθέρας γυναικός, τῆς προσφορᾶς Ἰσαὰκ εἰς θυσίαν, τῶν υἱῶν καὶ καθόλου πάντων τοῦ Ἰακὼβ τῶν ἀπογόνων μέχρι Μωϋσέως καὶ Ἀαρὼν κτλ.[146]. Ἀλλὰ πολλῷ μᾶλλον ὑποστηρίζουσι τοῦτο πολλαὶ νέαι ἀνακαλύψεις ἕνεκα τῆς πλησιεστάτης κοινωνίας λαοῖς ἐθνικοῖς παντὸς τοῦ κόσμου. Δείκνυται δέ, ὅτι παρὰ πᾶσι τοῖς ἀρχαίοις ἐθνικοῖς, οἷον· Κίναις, Ἰνδοῖς, Πέρσαις, Αἰγυπτίοις, Ἄραψιν, Ἀσσυρίοις καὶ πολλοῖς Ἀμερικανοῖς ἄχρι καὶ νῦν διατηροῦνται παραδόσεις περὶ κτίσεως κόσμου, τῆς πρώτης καταστάσεως καὶ πτώσεως τοῦ ἀνθρώπου, τοῦ κατακλυσμοῦ, τῆς πυργοποιΐας, τῆς συγχύσεως τῶν γλωσσῶν, τῆς διασπορᾶς τῶν ἀνθρώπων, τῆς εἰς θυσίαν προσφορᾶς τοῦ Ἰσαὰκ καὶ ἄλλων γεγονότων, ἐν τῇ βίβλῳ τῆς Γενέσεως ὑπὸ Μωϋσέως ἐκτεθέντων[147]. Τίνι ἄρα ἐξηγήσωμεν ταύτην τὴν

---

[146] Ἀκριβέστερον περὶ τούτων τῶν μαρτυριῶν ἔστιν εὑρεῖν παρὰ Οὔγῳ Γροτίῳ· de Verit. Relig. Christ. libr. I, cap. 6: Δαν. Οὐετίῳ· Démonstr. Evangel. proposit. IV καὶ ἄλλ.

[147] Περὶ τούτου κατακεχωρισμέναι εἰσὶ πλεῖσται διατριβαὶ ἐν τῷ περιοδικῷ συγγράμματι, Annales de Philosophie Chrétienne, ὧν μόνον τινὰ δείξομεν ἐνταῦθα· α΄. Traditions sur Noé et sur l'Arc-en-ciel, conservées parmi les nations de l'Orient: β΄. Traditions sur les événements, racontés dans la Bible, conservés chez les peuples de l'Orient, par Stolberg (an. 1834, tom. IX, No. 50, 52): γ΄. Identité du déluge

πρὸς ἀλλήλας συμφωνίαν τῶν ἐθνικῶν τούτων παραδόσεων, ἐὰν μὴ ἀποδεξώμεθα, ὅτι βάσις αὐτῶν ὄντως ἱστορικὴ κεῖται ἀλήθεια;

§. 63. *Γενικὸν συμπέρασμα ἐκ τῶν ἡγουμένων καὶ μετάβασις εἰς τὰ ἑπόμενα.*

Ἐκ τῆς ὑφ' ἡμῶν γενομένης θεωρίας τῆς πατριαρχικῆς θρησκείας ἀποκαλύπτεται, ὅτι αὕτη ἦν ἐπεσφραγισμένη πᾶσι τοῖς χαρακτῆρσι τῆς θείας ἀποκαλύψεως, καὶ εὐθὺ πρὸς Χριστὸν ἔφερεν. Ὁμολογοῦντες δ' αὐτὴν οἱ πατριάρχαι, καὶ ἁγίως ἑπόμενοι ταῖς αὐτῆς διατάξεσιν, εὐηρέστουν τῷ Θεῷ, καὶ τῇ εἰς τὸν ἐλευσόμενον Μεσσίαν πίστει ἐσώζοντο (Ἑβρ. ια'.). Μεταβάλλειν οὖν τὴν θρησκείαν ταύτην πρὸ τῆς τοῦ Σωτῆρος ἐλεύσεως, φανείη ἄν, ὅτι μὴ εἴη ἀνάγκη· ὄντως δ' αὕτη καὶ πρὸς αὐτὸν ἂν καὶ τοὺς μετὰ ταῦτα ἀνθρώπους προσάγοι, ὥσπερ προσῆγε τοὺς πατριάρχας. Καὶ ὄντως διέμεινεν αὕτη ἀμετάβλητος ἐν τῷ ἑαυτῆς πνεύματι καὶ τῇ οὐσίᾳ· μόνος δὲ ὁ ἀπείρως Πάνσοφος κατὰ τὰς νέας ἐν τοῖς ἀνθρώποις ἀποκαλυφθείσας ἀνάγκας μετέδωκεν αὐτῇ ἄλλο τι ἐξωτερικὸν εἶδος·

Πρῶτον μὲν τῷ Ἀδάμ, προπάτορι τοῦ πρώτου κόσμου, ὁ Θεὸς ἔδωκε τὴν ἐξ ἀποκαλύψεως αὐτοῦ θρησκείαν καὶ τὰς περὶ τοῦ Μεσσίου ἐπαγγελίας δι' ἅπαν τὸ ἀνθρώπινον γένος. Ἀλλὰ πλεῖστοι τῶν ἀνθρώπων ταχέως τοῦ ἑαυτῶν Πλάστου ἐπελάθοντο, καὶ ἡ ἀσέβεια τοσούτῳ προέβη ἐπὶ τῆς γῆς, ὥστε ἐχρῆν αὐτὴν ἀποπλῦναι ὕδασι παγκοσμίου κατακλυσμοῦ. Εἶτα δὲ ἀνεκαίνισεν ὁ Θεὸς τὴν ἑαυτοῦ διαθήκην τῷ πατρὶ τοῦ δευτέρου κόσμου Νῶε, καὶ ἐν αὐτῷ ἐκ νέου ἐπανέλαβε τὰς ἐπαγγελίας δι' ἅπαντας τοὺς ἀνθρώπους· ἀλλὰ καὶ τότε κατὰ μικρὸν

---

d'Vao et de celui de la Bible (1837, tom. XV, No. 89): δ'. Monument hieroglyphique, rappelant le souvenir du deluge, conservé chez les Aztèques du Mexiques, par M. Bonnety (ibid No. 90): ε'. Des patriarches anterieurs á Ty-ko ou Noé ..., dont les listes sont conservées en Chine, et qui se succèdant du père en fils ... et caet. (1838, tom. XVI, No. 91, 92): ς'. Géographie historique de l'Arabie, ou preuver patriarchales de la religion révélée, par Forster (1845, rom. XI, No. 66) κλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρέβησαν τὴν τῆς χάριτος διαθήκην· ἡ πολυθεΐα καὶ εἰδωλολατρεία διεδόθησαν ἐπὶ πᾶσαν τὴν γῆν. Ὅθεν ὁ Θεός εἰς διατήρησιν τῆς ἀληθοῦς πίστεως ἐν τοῖς ἀνθρώποις, ἐξ ἁπάντων ἐκλέγει μόνον τὸν Ἀβραάμ, αὐτὸς αὐτὸν πατέρα τῶν πιστευόντων ἐκπαιδεύει, καὶ αὐτῷ ἤδη μόνῳ τὴν ἑαυτοῦ διαθήκην ποιεῖται, λέγων· „καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον, εἶναί σου Θεός, καὶ τοῦ σπέρματός σου μετὰ σὲ (Γεν. ιζ', 7)", καὶ ἀπαιτῶν· „σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν(-9)". Ἔκτοτ' οὖν ὁ Θεὸς ὄντως, οὕτως εἰπεῖν, πάσας τὰς ἑαυτοῦ εὐλογίας συνεκέντρωσεν ἐπὶ μόνων τῶν ἀπογόνων τοῦ Ἀβραάμ, ἐδίδου αὐτοῖς ἐπαγγελίας προσκαίρους καὶ ἀϊδίους, διετήρει ἐν αὐτοῖς τὴν εἰς τὸν μέλλοντα λυτρωτὴν πίστιν, ἐν ᾧ ἔδει, τοῦ χρόνου προϊόντος, πάσας τὰς φυλὰς τῆς γῆς εὐλογηθῆναι. Τί δ' οὖν; Μόλις γένη τινὰ παρῆλθε, καὶ οἱ τοῦ Ἀβραὰμ ἀπόγονοι, μηδεμίαν δόντες προσοχὴν ἐπὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ τῶν πατέρων, ἐπιλανθάνονται αὐτοῦ, καὶ ἐν Αἰγύπτῳ ζῶντες, συνεθίζουσι τὴν εἰδωλολατρείαν καὶ πάντα τὰ βδελύγματα τῶν Αἰγυπτίων (Ἰεζ. κ', 7-9). Τότε δὴ ὁ πανάγαθος, μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ καὶ τὸν ὄλεθρον παντὸς τοῦ ἀνθρωπίνου γενους, εἰς διατήρησιν ἐν αὐτῷ τῆς ἑαυτοῦ σωτηριώδους θρησκείας βούλεται δοῦναι αὐτῇ νέον τι εἶδος· Οὐ καταλείπει μὲν τοὺς ἀναξίους τοῦ Ἰσραὴλ υἱούς, ἀποφηνάμενός ποτε Θεὸς εἶναι αὐτῶν· ἀλλά, προσκαίρως κολάσας αὐτοὺς ἐν τῇ αἰγυπτίᾳ γῇ, ταχέως ἐξάγει αὐτοὺς θαυματικῶς ἐξ αὐτῆς, λαμπρῶς ἀνακαινίζει μετ' αὐτῶν τὴν διαθήκην, ἣν παρέβησαν, αὖθις ἐπαναλαμβάνει τὴν ἐπαγγελίαν αὐτὸς μὲν εἶναι αὐτοῖς Θεός, αὐτοὺς δὲ „περιούσιον ἔσεσθαι αὐτῷ λαὸν ἀπὸ πάντων τῶν ἐθνῶν, βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον, ἐὰν ἀκούσωσι τῆς φωνῆς αὐτοῦ καὶ φυλάξωσι τὴν διαθήκην αὐτοῦ (Ἐξ. ιθ', 4-6. Δευτερ. κς', 16-19)." Εἰδὼς δὲ τὸ ἀσταθὲς τοῦ λαοῦ τούτου, τὸ εὔκαμπτον πρὸς τὴν εἰδωλολατρείαν, τὴν κλίσιν πρὸς τὴν ἡδυπάθειαν καὶ πρὸς πᾶσαν ἀσέβειαν, ἐντέλλεται τῷ Μωϋσῇ γράψαι τοῖς Ἰσραηλίταις ἐν πάσῃ ἀκρι-

βείᾳ τὸν νόμον τῆς πίστεως καὶ τῆς ἠθικῆς, ὥστε αὐτοὺς μὴ δύνασθαι δικαιοῦσθαι τῇ λήθῃ τοῦ νόμου τούτου, ἔχοντες αὐτὸν ἀεὶ οἱονεὶ πρὸ ὀφθαλμῶν[148]· πρὸς τοῖςδε δίδωσιν αὐτοῖς ἀκριβέστατον νόμον περὶ τελετῶν, ὥστε διὰ τῶν ἐξωτερικῶν πολυαρίθμων ἱεροτελεστιῶν, ἐχουσῶν ἐσωτερικὸν βαθὺν νοῦν, ἀδιαλείπτως ἐνεργοῦντα ἐπὶ τὰς αἰσθήσεις αὐτῶν, ἐπὶ μᾶλλον ὑποστηρίζειν καὶ ἐν αὐτοῖς τρέφειν εὐσεβῆ τάσιν· δίδωσι δὲ καὶ νόμον πολιτικόν, στενώτατα συνδεδεμένον τῇ θρησκείᾳ, ὅπως συνεργῇ τῇ διατηρήσει καὶ ἀκμῇ αὐτῆς ἐν λαῷ ἀγροίκῳ καὶ διὰ τῶν πολιτικῶν διατάξεων· Ἄρα ἡ ἐξ ἀποκαλύψεως θρησκεία διέμεινεν οἵα ἦν καὶ ἐπὶ τῶν πατριαρχῶν· ὁ γὰρ Θεός, ὁ πρὸς Μωϋσῆν καὶ τοὺς Ἰσραηλίτας ὁμιλῶν, ἐκάλει ἑαυτὸν Θεὸν μόνον τοῦ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ (Ἐξ. γ', 6)· ἤδη δ' αὕτη γέγραπται, ἐν πάσῃ ἐκτάσει καὶ ἀκριβείᾳ ἐκτέθειται, καὶ συνδεδεμένη τῇ πολιτικῇ διατάξει τοῦ ἑβραίου λαοῦ, ἐγένετο οἱονεὶ ἐξαιρετικὴ κληρονομία αὐτοῦ μόνου. Ἐν ταύτῃ οὖν τῇ μορφῇ γνωστή ἐστι τῷ ὀνόματι

*β', Θρησκεία ὑπὸ νόμον.*

§. 64. *Περὶ τῶν πηγῶν καὶ τῶν μερῶν αὐτῆς.*

Ἡ ὑπὸ νόμον θρησκεία δέδοται ὑπὸ τοῦ Θεοῦ τοῖς Ἰσραηλίταις πλήρης διὰ Μωϋσέως, ὃς αὐτὴν ἐν τῇ Πεντατεύχῳ ἐξέθετο· εἶτα δὲ πολλάκις ἡρμηνεύθη μάλιστα ὡς πρὸς τὰς θείας ἐπαγγελίας καὶ τὴν ἠθικὴν διὰ τῶν προφητῶν, οἵτινες ἐξέθεντο αὐτὴν ἐν ταῖς ἑαυτῶν γραφαῖς. Οὗτοι δὲ οἱ τοῦ Θεοῦ ἀπόστολοι, τὴν ἐξ ἀποκαλύψεως παραδιδόντες διδασκαλίαν, ἔπρασσον συνάμα καὶ πολλὰ θαύματα, ἀπεφαίνοντο προφητείας, καὶ οὕτως εἴων τοῖς ἀνθρώποις πλῆρες τὸ δυνατὸν ἐν τῇ θειότητι τῆς ὑπὸ νόμον θρησκείας πείθεσθαι ἔκ τε τῶν ἐσωτερικῶν χαρακτήρων καὶ τῶν ἐξωτερικῶν.

---

[148] Τοῦτο σαφῶς ἐκφράζει ὁ ἁγ. Χρυσόστομος (εἰς Ματθ. ὁμιλ. α'. n. 1.)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Α΄.

### Ἐσωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς ὑπὸ νόμον θρησκείας.

§. 65. *Ὅρια.*

*Ἐνταῦθα οὐ λεπτομερῶς θεωρήσομεν τὴν ὑπὸ νόμον θρησκείαν· τοῦτο γὰρ ἂν πολὺ μακρὰν ἡμᾶς ἀγάγοι, καὶ περιττὸν εἴη εἰς τὸ τὴν ἐσωτερικὴν αὐτῆς ἐννοῆσαι ἀξίαν. Ἐπαρκὲς δὲ θεωρῆσαι μόνον καθόλου ἕκαστον τῶν τριῶν συστατικῶν αὐτῆς μερῶν, τ. ε. τὸν νόμον τῆς πίστεως καὶ τῆς ἠθικῆς, τὸν νόμον τῶν τελετῶν καὶ τὸν πολιτικόν·*

§. 66. *Περὶ τοῦ νόμου τῆς πίστεως καὶ τῆς ἠθικῆς.*

I. *Πῶς ἐδίδασκεν ἡ ὑπὸ νόμον θρησκεία περὶ Θεοῦ;*

*Πρὸ πάντων σαφῶς ἐστήριζε τὴν ἀλήθειαν τοῦ ἑνιαίου τοῦ Θεοῦ*[149]*, ὅτε ἐν ἅπασι τοῖς ἐθνικοῖς ἡ πολυθεΐα ἐπεκράτει· „ἄκουε Ἰσραήλ, κύριος ὁ Θεὸς ἡμῶν, κύριος εἷς ἐστι (Δευτερ. ς΄, 4)· ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ (λβ΄, 39)". Προσεκτικοὺς δὲ συνάμα εἰς τὴν οὐσίαν τοῦ Θεοῦ τοὺς Ἰσραηλίτας καθιστᾶσα, ἐξεικόνιζεν αὐτοῖς τὸν Θεὸν α΄, ἀσώματον καὶ ἐντελῶς ἄϋλον, ἐναντίον αὖθις τῆς κοινῆς τῶν ἐθνικῶν πλάνης· „τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτὸν (Ἡσ. μ΄, 18). φυλάξεσθε σφόδρα τὰς ψυχὰς ὑμῶν, (ὅτι οὐκ εἴδετε πᾶν ὁμοίωμα ἐν τῇ ἡμέρᾳ ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός)· μή ποτε ἀνομήσητε καὶ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν (Δευτερ. δ΄, 15, 16)"· β΄. αὐθύπαρκτον καὶ αὐτεξούσιον· „ἐγώ εἰμι ὁ ὢν (Ἐξ. γ΄, 14)· ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεὸς*

---

[149] *Γνωστὸν ἦν ἐν τῇ παλαιᾷ Διαθήκῃ καὶ τὸ μέγιστον μυστήριον τῆς τριάδος τῶν προσώπων ἐν τῷ Θεῷ (Γεν. α΄, 26· γ΄, 22· ια΄, 7· Ψαλμ. λβ΄, 6· Ἡσ. ς΄, 3 κτλ). Ἀλλ᾽ ἕνεκα ἰδίων σοφῶν σκοπῶν, ὥσπερ πολλοὶ τῶν ἁγίων πατέρων ἐνόμιζον, τὸ μυστήριον τοῦτο ἔμενε τότε ἔτι λίαν ἐπικεκαλυμμένον. Βλ. Γρηγ. Θεολ. λόγ. κα΄, 5, περὶ τὸ τέλος. Ἐπιφαν. Αἱρέσ. δ΄, 74, ἀρ. 10. Χρυσοστ. περὶ τοῦ ἀκαταλήπτου κατὰ Ἀνομ. λόγ. ε΄. Ἰσιδώρου Πηλουσ. ἐπιστ. 143.*

(Ησ. μθ', 6)"· γ'. αἰώνιον καὶ ἀμετάβλητον· „κατ' ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· κα πάντες ὡς ἱμάτιον παλαιωθήσονται ..., καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι (Ψαλμ. ρα', 26· παρ. Ἡσ. μ', 28· Μαλ. γ', 6)"· δ'. ἀπεριόριστον καὶ πανταχοῦ παρόντα· „ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου (Ψαλμ. ρλη', 7-11· Δευτερ. δ', 39· Ἰερ. κγ', 23)"· ε'. πάνσοφον καὶ παγγνώστην· „Κύριε σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα (Ψαλμ. ρλη', 4)· ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς (ζ', 10)· μέγας ὁ Κύριος ἡμῶν ... καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμὸς (ρμς', 5· παρ. Ἱερ. κγ', 24· β'. Βασ. ις', 6· Δαν. ιγ', 42)"· ς'. Θεὸν ἰσχυρὸν καὶ παντοδύναμον· „αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν (Ψαλμ. λβ', 9· Ἡσ. μ', 26, 28 καὶ ἀλ.)"· ζ'. ἀληθινὸν καὶ ἁγιώτατον· „ἀληθινὰ τὰ ἔργα αὐτοῦ (Δευτερ. λβ', 4· παρ. ι', 10)·" η'. Θεὸν Πανάγαθον καὶ δικαιότατον· „Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ (Ψαλμ. ρμδ', 9)· δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν· εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτοῦ (ι', 7)"· καὶ καθόλου θ', Ὂν τελειότατον· „μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας (ρμδ', 3)· οὐκ ἔστιν ἅγιος ὡς Κύριος καὶ οὐκ ἔστι πλὴν σοῦ, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν (α'. Βασ. β', 2)".

Ὡς πρὸς τὴν κοινωνίαν τοῦ Θεοῦ τῷ κόσμῳ, ὠνόμαζεν αὐτὸν α'. ποιητὴν καὶ προνοητὴν τῆς οἰκουμένης, „ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν (Ἱερ. λβ', 17)· ἐποίησε τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ πᾶσαν τὴν στάσιν αὐτῶν, τὴν γῆν, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ (Νεεμ. θ', 6)"· καὶ ἔκτοτε μέλει περὶ πάντων (Σοφ. ιβ', 13), καὶ πάντα δοῦλα αὐτῷ (Ψαλμ. ριη', 91), ἀριθμεῖ πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλεῖ (ρμς', 4), ποιεῖ τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*αὐτοῦ πυρὸς φλόγα (ργ', 4), ἀνάγει νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν (ρλδ', 7), ἐξανατέλλει χόρτον τοῖς κτήνεσι, καὶ χλόην ..., ἐξάγει ἄρτον ἐκ τῆς γῆς (ργ', 14), καὶ διοικεῖ τὰ πάντα χρηστῶς (Σοφ· η', 1)"· β'. ποιητὴν καὶ προνοητὴν ειδικῶς τοῦ ἀνθρώπου· „γνῶτε ὅτι Κύριος ... αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς (θ', 3)· ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι (με', 1)· ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες (ρκς', 1)· κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτὴν (Δαν. δ', 22)· θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν, ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν (Παροιμ· β', 7)"·*

II. *Πῶς ἐδίδασκεν ἡ ὑπὸ νόμον θρησκεία περὶ τοῦ ἀνθρώπου; α'· Ὅτι ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν (Σοφ. β', 23), „ἐνδεδυμένον ἰσχὺν (Σειρ. ιζ', 3) καὶ δίκαιον (Ἐκκλ. ζ', 30)", ἐποίησεν αὐτὸν „ἐπ' ἀφθαρσίᾳ (Σοφ· β', 23), ἠλάττωσεν αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσεν αὐτόν, καὶ ... πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ (Ψαλμ. η', 6-9)"· εἶτα δέ, εἰσαγαγὼν αὐτὸν εἰς τὸν παράδεισον τῆς ἡδονῆς, ὡρισμένην ἔδωκεν αὐτῷ ἐντολὴν εἰς ἄσκησιν τῆς θελήσεως αὐτοῦ εἰς τὸ ἀγαθὸν καὶ τὴν βαθμιαίαν ἐπίδοσιν εἰς τὴν ἠθικὴν τελειότητα. Ἀλλὰ β'. ὁ ἄνθρωπος τὴν ἐντολὴν τοῦ πλάστου παρέβη, καὶ τούτου ἕνεκα ἐστερήθη πολλῶν τελειοτήτων καὶ ὑπεροχῶν· ὁ δὲ ἰὸς τῆς ἁμαρτίας ἐπλήρωσε καὶ ἐμόλυνε πᾶσαν τὴν φύσιν τοῦ πεσόντος προπάτορος, ὥστε ἅπαντες οἱ ἀπόγονοι ἐν ἀνομίαις συλλαμβάνονται καὶ ἐν ἁμαρτίαις γεννῶνται (Ψαλμ. ν', 7)· „πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστιν ὁ ποιῶν τὸ ἀγαθὸν οὐκ ἔστιν ἕως ἑνὸς (Ψαλμ. νβ', 4)"· δυστυχίαι παντοειδεῖς κλῆρος τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἐγένοντο (Ἐκκλ. β', 23-26), καὶ „ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον (Σοφ. β', 24)". Ὅμως γ', ὅσῳ ἂν ᾖ ἡ τοῦ ἀνθρώπου πτῶσις βαθεῖα, αὐτὸς οὐκ ἐπαύσατο ἐλεύθερον εἶναι ὄν· ἔναντι αὐτοῦ καὶ νῦν „ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἂν εὐδοκήσῃ, δοθήσεται αὐτῷ (Σειρ. ιε', 11-17, 20)", καὶ τὸ μὲν σῶμα αὐτοῦ, καίτοι τῶν καρπῶν τοῦ δένδρου τῆς ζωῆς στερηθέν, θνητὸν ἐγένετο, ἡ δὲ ψυχὴ κατὰ τὸ πρότερον ἀθάνατος διαμένει·*

ἅμα δὲ „ὁ χοῦς ἡμῶν ἐπιστρέφει ἐπὶ τὴν γῆν, ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέφει πρὸς τὸν Θεόν, ὃς ἔδωκεν αὐτὸ (Ἐκκλ. ιβ', 7· παρ. Σοφ. γ', 1-4)“.

III. *Πῶς ἐδίδασκεν ἡ ὑπὸ νόμον θρησκεία περὶ τοῦ Μεσσίου;* Ὅτι ἐν τῇ παλαιᾷ Διαθήκῃ ἡ περὶ τοῦ Μεσσίου διδασκαλία ἦν, καὶ δὴ ὥσπερ περὶ ἑνὸς ἰδίου προσώπου, μεταξὺ Θεοῦ καὶ ἀνθρώπου μεσσίτου [150], βεβαιοῦσιν ἡμᾶς πρῶτον μὲν πολλὰ σαφέστατα αὐτῶν τῶν Βιβλίων χωρία, ἐν οἷς ἀκριβῶς προλέγονται ὁ χρόνος τῆς τοῦ Μεσσίου ἐλεύσεως, ὁ τόπος τῆς γεννήσεως, ἡ φυλή, ἐξ ἧς ἔδει αὐτῷ γενέσθαι, ὁ θαυματικὸς τρόπος τῆς γεννήσεως ἐκ παρθένου, ἐξεικονίζονται τὰ διακριτικὰ αὐτοῦ ἰδιώματα, τὰ κύρια εἴδη τῆς αὐτοῦ λειτουργίας καὶ πολυάριθμοι τῆς ζωῆς αὐτοῦ περιστάσεις. Ἀλλὰ τὸ ἀξιόπιστον τῆς προφητικῆς τούτων τῶν χωρίων σημασίας κατωτέρω θεωρήσομεν· ἐνταῦθα δὲ σημειώσομεν μόνον, ὅτι ταῦτα ἑνὶ μόνῳ ὡρισμένῳ καὶ ἰδίῳ προσώπῳ φανερῶς προσήκειν δύνανται. Εἶτα δὲ βεβαιοῖ ἡ πάγκοινος πεποίθησις τῶν ἀρχαίων Ἰουδαίων ῥητῶς εἰς ἕνα ὡρισμένον λυτρωτήν, παρὰ Θεοῦ αὐτοῖς ἐπαγγελθέντα. Καὶ αὕτη δὴ ἀπετέλει παρ' αὐτοῖς οὐσιῶδες δόγμα, ὅπερ ὡς τὰ πολλὰ ἐξέφραζον οὕτω. „Omnia, quaecumque memorantur in Lege, Prophetis et Hagiographis, indicant sapientiam hoc est Christum“. [151] Ταύτῃ συνεφώνουν καὶ συμφωνοῦσιν ἀλλήλαις ἅπασαι αἱ ἰουδαϊκαὶ αἱρέσεις, λίαν διάφωνοι ἐν πολλαῖς ἄλλαις διδασκαλίαις, οἷον· ἐκ μὲν τῶν ἀρχαιοτέρων οἱ Φαρισαῖοι, Σαδδουκαῖοι, Ἐσσαῖοι, Ἡρωδιανοί, τῶν δὲ νεωτέρων οἱ Ῥαββινισταὶ καὶ Καραΐται [152]· συνεφώνουν δὲ καὶ συμφωνοῦσι τοῖς Ἰου-

---

[150] Λέγομεν κατὰ τῆς γνώμης νεωτέρων τινῶν Ἰουδαίων, κατακεχωρισμένης, ἐν Histoire des instit. de Moïse et du peuple hébreu, par Salvador, Paris 1828. tom. III, liv. IV.

[151] Vid. apud Huetium-Demonstr. Evangel. propos. VII, pag. 557. Lips. 1703: „οἱ προφῆται ἅπαντες προεφήτευσαν μάλιστα περὶ τῶν ἡμερῶν τοῦ Μεσσίου“, λέγει καὶ τὸ Ταλμοῦδον. Βλ. De l'armonie entre l'Eglise et la Synagogae par Drach. tom. I, pag. 57, Paris 1844.

[152] Ἰωσήπ. Φλαβ. Ἀρχαιολ. βιβλ. ιη', κεφ. β'.· Pugio fidei Raymundi Martini, Lips. 1687, praef. cap. III, IV, V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δαίοις καὶ οἱ Σαμαρῖται (καίτοι ἀμφότεροι οὗτοι ἀλλήλους μισοῦσι), μόνην τὴν Πεντάτευχον τοῦ Μωϋσέως ἀποδεχόμενοι (Ἰωάν. δ΄, 25-29). Καὶ ἰδοὺ διὰ τί, μόλις ἐλθόντος τοῦ ὑπὸ τῶν προφητῶν προῤῥηθέντος χρόνου ἐμφανισθῆναι τὸν Μεσσίαν, οἱ Ἰουδαῖοι οἱονεὶ μόνοι ζητοῦσιν αὐτόν, καὶ βλέποντες τὸν σπάνιον βίον καὶ τὰ ἔργα Ἰωάννου τοῦ βαπτιστοῦ, ἐπίτηδες πέμπουσι πρὸς αὐτὸν ἱερεῖς καὶ Λευΐτας ἐρωτῆσαι, μὴ ὁ Χριστὸς εἴη (Λουκ. γ΄, 15· Ἰωάν. α΄, 19), ὅτε πρίν, ὅσοι ἂν φανήκεισαν ἀπόστολοι τοῦ Θεοῦ, οὐδένα οὕτως ἠρώτησαν. Ἰδοὺ διὰ τί, ὅτε οἱ ἐθνικοὶ μάγοι μετὰ τὴν τοῦ Σωτῆρος γέννησιν, ὑπὸ θαυματικοῦ ὁδηγούμενοι ἀστέρος, εἰς Ἱερουσαλὴμ ἀφικόμενοι ἐπυνθάνοντο, „ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων“, καὶ ὁ Ἡρώδης, „συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ᾽ αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται, εἶπον αὐτῷ· ἐν Βεθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου (Ματθ. β΄, 1-6)“. Ἰδοὺ διὰ τί καὶ ἡ Σαμαρεῖτις ἐν τῇ πρὸς τὸν Σωτῆρα ὁμιλίᾳ ἐξεφράσατο· „οἶδα, ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα (Ἰωάν. δ΄, 26)“, οὐκ εἶπε δέ, ὅτι ὁ Μεσσίας ἦλθεν ἤδη, ἢ πολλοὶ ἐλεύσονται. Ἰδοὺ διὰ τί, ὅτε αὐτὸς ὁ Σωτὴρ ἐδείκνυε τοῖς Ἰουδαίοις τὰς περὶ τοῦ Μεσσίου προφητείας τῆς παλαιᾶς Διαθήκης, καὶ ἀπεδίδου μόνῳ ἑαυτῷ αὐτάς, καὶ ὅτε οἱ Ἀπόστολοι καὶ ἐνώπιον τῶν Ἰουδαίων ἐδείκνυον αὐτὰς καὶ τὴν πλήρωσιν αὐτῶν ἐπὶ μόνου τοῦ Ἰησοῦ Χριστοῦ, οὔτε ὁ Σωτὴρ οὔτε οἱ Ἀπόστολοί ποτε ἤκουσάν τι παρὰ τῶν Ἰουδαίων, ὅτι τοιαῦται προφητεῖαι οὐκ εἰσιν ἐν τῇ παλαιᾷ Διαθήκῃ, ἢ ὅτι πρὸς πολλοὺς ἀνάγονται Μεσσίας.

Ἀλλὰ καὶ παρὰ τοῖς ἐθνικοῖς αὐτοῖς ἦν προσδοκία μεσσίτου τινὸς μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, οἷον, Αἰγυπτίοις, Χαλδαίοις, Ἕλλησι, Ῥωμαίοις καὶ πολλοῖς ἄλλοις, καὶ ἄχρι νῦν διατηρεῖται παρ᾽ Ἰνδοῖς, Κίναις, Ἰαπονίοις καί τισιν Ἀμερικανοῖς[153]. Τὴν διάδοσιν δὲ τῆς πίστεως ταύτης ἐν τοῖς ἐθνικοῖς

[153] Βλ. Schmidt Redemption du genre humain, annoncée par les traditions et les croyances religieuses, figurée per les sacrifices des tous les peuples; καὶ Memoires de l'Academie des inscript. tom. XXXI,

*δυνατὸν ἑρμηνεῦσαι μόνον διссῶς, ἤτοι αὕτη πρὸς αὐτοὺς μετέβη κατὰ παράδοσιν ἀπὸ τῶν προπατόρων, ἐπὶ τῶν πατριαρχῶν ἔτι βιωσάντων, ὅτε αἱ περὶ Μεσσίου ἐπαγγελίαι ὑπὸ τοῦ Θεοῦ ἐδίδοντο διὰ πᾶν τὸ ἀνθρώπινον γένος, ἢ εἰς τοὺς μετὰ ταῦτα χρόνους ἀπὸ τῶν Ἰουδαίων, κοινωνίαν πρὸς αὐτοὺς ἐχόντων. Ἀλλ' ἐν ἀμφοτέροις τούτοις νέα ἐστὶν ἀναντίῤῥητος ἔνδειξις τῆς ἀληθείας, ὅτι ἡ περὶ Μεσσίου διδασκαλία ἦν ἐν τῇ παλαιᾷ Διαθήκῃ.*

*Ἐν δὲ τῇ καινῇ Διαθήκῃ ἡ ἀλήθεια αὕτη ἀνεπτύχθη ἀκριβέστατα· αὐτὸς γὰρ ὁ Σωτὴρ ἐμαρτύρει, ὅτι „τὴν ἡμέραν αὐτοῦ εἶδεν Ἀβραὰμ* (*Ἰωάν. η'*, 56), *πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν* (*Ματθ. ιγ'*, 17) *καὶ βασιλεῖς* (*Λουκ. ι'*, 24)“· *ὅτι περὶ αὐτοῦ ἔγραψεν ὁ Μωϋσῆς* (*Ἰωάν. ε'*, 46), *ἐν αὐτῷ ἐτελέσθησαν „πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν* (*Λουκ. ιη'*, 31), *πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσέως καὶ προφήταις καὶ Ψαλμοῖς* (*κδ'*, 44)“. *Οὕτω δὲ καὶ οἱ ἁγ. Ἀπόστολοι ἐκήρυσσον, „ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, Ἰησοῦν...* (*Ἰωάν. α'*, 46)“· *πάντες οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθ' ἑξῆς, ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας τοῦ Ἰησοῦ Χριστοῦ* (*Πρ. γ'*, 24)· *ὁ Θεὸς προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστὸν* (*γ'*, 18)· *πάντες οἱ προφῆται μαρτυροῦσιν ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ* (*ι'*, 43)“. *Εἰδικῶς δὲ ὑπεστήριζον, ὅτι αὐτὸς ὁ νόμος τῶν τελετῶν τῆς παλαιᾶς διαθήκης „παιδαγωγὸς γέγονεν εἰς Χριστὸν* (*Γαλ. γ'*, 24), *σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων* (*Ἑβρ. ι'*, 1)“, *καὶ ἐτελέσθη καὶ ἐξεπληρώθη ἐν Χριστῷ* (*Ῥωμ. ι'*, 4).

---

p. 81, 207. Biblioth. univers. tom. XX, art. Religion. Genève 1822. *Εἰδικῶς δὲ τὴν τοῦ Ταχίτου μαρτυρίαν* (Hist. libr. V, cap. 13), *τὴν τοῦ Σουητωνίου* (In Vespas. cap. IV, tom. II ed. Tavr. 1824), *τὴν τοῦ Πλουτάρχου περὶ Ἴσιδος καὶ Ὀσίριδος· ἀπάντ. Τόμ. Β'. σελ.* 369, Paris 1624. *Ἐκδ.* Gustav Parthey 1850, *σελ.* 79, *λέγοντος „Διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα, τὴν ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυρὰν καὶ δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον οὐδὲ ἐν φήμαις, ἀλλὰ ἔν τε τελεταῖς ἔν τε θυσίαις, καὶ βαρβάροις καὶ Ἕλλησι πολλαχοῦ περιφερομένην“· κτλ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

IV. *Τίνα πρὸς τὸν Θεὸν καθήκοντα ἐπέτασσε τοὺς Ἰσραηλίτας ἡ ὑπὸ νόμον θρησκεία;* Ὡς βάσιν πάντων τούτων τῶν καθηκόντων ἐνετέλλετο ἀγάπην πρὸς τὸν Θεόν· „ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου (Δευτερ. ς', 5)". Τὸ δὲ οὐσιῶδες τοῦτο καθῆκον εἰδικώτερον ἐξέφραζεν ἐν ταῖς πρώταις τέσσαρσι τοῦ δεκαλόγου ἐντολαῖς, ὧν ἡ μὲν α'. ἐπιτάσσει γνῶναι καὶ σέβεσθαι τὸν ἀληθινὸν Θεόν, ἡ δὲ β'. ἀποφεύγειν τὴν λατρείαν τοῦ ψευδοῦς, ἡ δὲ γ'. μὴ παραβαίνειν τὴν ἀληθῆ λατρείαν καὶ λόγῳ, ἡ δὲ δ', τάξιν φυλάσσειν ἔν τε τῷ χρόνῳ καὶ τοῖς ἔργοις τῆς ἀληθοῦς λατρείας (Ἐξ. κ', 1-12). Ἐπὶ ταύταις δὲ εὐκόλως ἀναπτύσσονται καὶ πάντα τὰ τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν εἰδικώτερα καθήκοντα, ἅτινα ὅμως ἀκριβέστατα καὶ πολλάκις ἐκτέθεινται ἐν διαφόροις τῆς παλαιᾶς Διαθήκης χωρίοις· Καὶ ἡ ὑπὸ νόμον θρησκεία σαφῶς καὶ συχνότατα ἐδίδασκεν, ὅτι ἡ ἀληθὴς τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν ἀγάπη, ἡ ἀληθὴς πρὸς αὐτὸν λατρεία ἀναγκαίως ἐκφράζεσθαι ὀφείλουσιν εἰς τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν αὐτοῦ, τῶν κριμάτων καὶ δικαιωμάτων· „καὶ νῦν Ἰσραήλ, τί Κύριος ὁ Θεός σου αἰτεῖται παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾶν αὐτόν, καὶ λατρεύειν Κυρίῳ τῷ Θεῷ σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, φυλάσσεσθαι τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαι σήμερον (Δευτερ. ι', 12, 13)· καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου, καὶ φυλάξῃ τὰ φυλάγματα αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ πάσας τὰς ἡμέρας (ια', 1· παρ. ς', 1, 13, 17, 18, 24· η', 6, 7, 11)".

V. *Τίνα πρὸς τὸν πλησίον καθήκοντα;* Καὶ ἐνταῦθα βάσις ἡ ἀγάπη ἐτίθετο· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν (Λευΐτ. ιθ', 18)". Εἴδη δὲ τῆς ἀγάπης ταύτης εἰδικώτερον ὡρίζοντο ἐν ταῖς τελευταίαις ἓξ ἐντολαῖς τοῦ δεκαλόγου, ὧν ἡ μὲν ε'. ἐπιτάσσει ἀγαπᾶν καὶ τιμᾶν τοὺς πλησίον, ἐκ τῶν γονέων ἀρχομένη, ἡ δὲ ς'. μὴ βλάψαι τὴν ζωὴν τῶν πλησίον, ἡ δὲ ζ'. τὴν καθαριότητα τῶν ἠθῶν αὐτῶν, ἡ δὲ η'. τὴν ἰδιοκτησίαν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ δὲ θ'. οὔτε λόγῳ αὐτοὺς βλάψαι, ἡ δὲ ι'. μήτε ἐπιθυμῆσαι αὐτοὺς βλάψαι (Ἐξ. κ', 12-19). Ἔτι δὲ εἰδικώτερον διάφορα εἴδη καὶ ἐνδείξεις τῆς πρὸς τὸν πλησίον ἀγάπης ὡρίζοντο καὶ ἐν πολλοῖς ἄλλοις χωρίοις τῆς παλαιᾶς Διαθήκης, οἷον· ἀγάπη, εἴτε σέβας πρὸς τοὺς πρεσβυτέρους (Λευΐτ. ιθ', 32), τὰ ὀρφανὰ καὶ τὰς χήρας, τοὺς ξένους, ὀφειλέτας (Ἐξ. κβ', 21-26· Λευΐτ. ιθ', 13, 33), τοὺς πένητας (Δευτερ. ιε', 7-11), τοὺς δούλους (Ἐξ. κα', 1-6, 20· Δευτερ. ιε', 12, 15· ις', 10, 14), τοὺς κωφοὺς καὶ τυφλοὺς (Λευΐτ. ιθ', 14) κτλ.· ἀγάπην τινὰ καὶ πρὸς αὐτοὺς τοὺς ἐχθρούς· „οὐ μισήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. Καὶ ἐκδικᾶσαί σου ἡ χείρ, καὶ οὐ μηνιεῖς τοῖς υἱοῖς τοῦ λαοῦ σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ἐγώ (εἰμι) Κύριος (Λευΐτ. ιθ', 17, 18)· Ἐὰν συναντήσῃς τῷ βοΐ τοῦ ἐχθροῦ σου ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ· Ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσει αὐτό, ἀλλὰ συνεγερεῖς αὐτὸ μετ' αὐτοῦ (Ἐξ. κγ', 4, 5)".

VI. *Τίνα καθήκοντα τοῦ ἀνθρώπου πρὸς ἑαυτόν;* Ἐν μὲν τῷ δεκαλόγῳ ῥητῶς περὶ τούτου οὐ λέγεται, τὸ μὲν διότι καὶ ἄνευ ἰδίας ἐντολῆς φύσει „οὐδείς ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν (Ἐφ. ε', 29)"· τὸ δὲ καὶ διότι, δεόντως τοῦ ἀνθρώπου τὰ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἐν τῷ δεκαλόγῳ γεγραμμένα καθήκοντα ἐκτελοῦντος, φύσει ὁρισθήσεται καὶ τὸ νόμιμον αὐτοῦ καθῆκον πρὸς ἑαυτόν· Ἐκτὸς δὲ τοῦ δεκαλόγου πολλαί εἰσιν ἐν τῇ παλ. Διαθήκῃ παραινέσεις πρὸς τὸν ἄνθρωπον καὶ περὶ τῶν καθηκόντων αὐτοῦ πρὸς ἑαυτόν· τύπος π. χ. δείκνυται τῆς ἠθικῆς τελειότητος· „ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ Θεὸς (Λευΐτ. ιθ', 2)"· δίδονται παραγγέλματα περὶ τῆς σωματικῆς καθαριότητος, τῆς σωφροσύνης (Ἐξ. κβ', 16, 17· Λευΐτ. κ', 10) κτλ.

VII. *Τίνας προτροπὰς παρίστα αὐτὴ εἰς ἐκπλήρωσιν τῶν ἐντολῶν;* α'. Ἐδείκνυεν, ὅτι αὗται ἐντολαὶ τοῦ Θεοῦ εἰσι, θέλημα Κυρίου Σαβαώθ (Δευτερ. ε', 1-5)· β'. τὴν ἁγιότητα καὶ τὸ μεγαλεῖον τοῦ Νομοθέτου τούτου καὶ Δεσπότου πάσης κτί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεως· „ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος Κύριος ὁ Θεὸς ὑμῶν (Λευϊτ. ιθ', 2)· τὰ σάββατά μου φυλάττεσθε· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν (3)· οὐκ ἐπακολουθήσετε εἰδώλοις· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν (4)· φοβηθήσῃ Κύριον τὸν Θεόν σου· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν (14)"· γ'. ἀνεμίμνησκε τῶν μεγίστων εὐεργεσιῶν, ἃς διέπραξεν ὁ Κύριος διὰ τὸν Ἰσραήλ· „γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοται; οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός; Οὐκ αὐτὸς οὗτός σου ὁ πατὴρ ἐκτήσατό σε, καὶ ἔκτισέ σε; Μνήσθητε ἡμέρας αἰῶνος, σύνετε ἔτη γενεὰς γενεῶν· ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖς σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι (Δευτερ. λβ', 5-7· παρ. Ἰησ. Ναυῆ κγ', 2-13· δ', 17)"· δ'. πολυαρίθμους ἐξεφώνει εὐλογίας καὶ ἐπαγγελίας διὰ τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ δεινὰς ἀπειλὰς καὶ ἀρὰς διὰ τὴν μὴ ἐκπλήρωσιν (Δευτερ. ς', 3, 18, 24, 28).

### §. 67. *Περὶ τοῦ νόμου τῶν τελετῶν.*

*Ὁ τῶν τελετῶν νόμος, παρὰ Θεοῦ διὰ Μωϋσέως δοθείς, ἀκριβέστατα ὥριζε καὶ τὸν τόπον τῆς λατρείας καὶ τοὺς ἱεροὺς χρόνους καὶ τὰς ἱερὰς πράξεις καὶ τὰ ἱερὰ πρόσωπα εἴτε τὴν ἱεραρχίαν· ταῦτα δὲ πάντα μετὰ σοφωτάτου τέλους.*

*Καὶ τόπος μὲν εἰς λατρείαν ὥριστο τεταγμένος τις πρῶτον μὲν ἡ σκηνή, εἶτα δὲ ὁ τοῦ Σολομῶντος ναός· συνεβάλλετο δὲ ὁ τόπος τοῖς Ἰσραηλίταις εἰς ἐκκλησιαστικὴν πρὸς ἀλλήλους ἑνότητα, ζωηρῶς ἀνεμίμνησκεν αὐτοὺς τὸ ἑνιαῖον τοῦ Θεοῦ αὐτῶν, ᾧ λατρεύειν ὑπεχρεοῦντο, καὶ ἰσχυρότερον ἔτρεφεν ἐν αὐτοῖς τὸ αἴσθημα τῆς εὐσεβείας πρὸς αὐτὸν τὸν ναόν, ὥσπερ ἴδιον καὶ διαρκὲς κατοικητήριον τοῦ Κυρίου Σαβαώθ. Ἀλλὰ μᾶλλον τὸ αἴσθημα τοῦτο ἠγείρετο ὑπ' αὐτῆς τῆς κατασκευῆς τοῦ ναοῦ· συνέστη γὰρ ἐκ τριῶν μερῶν, τῆς αὐλῆς, εἰς ἣν ἠφίεντο ἅπαντες οἱ Ἰσραηλῖται, τοῦ ἁγιαστηρίου, εἰς ὃ εἰσέρχεσθαι ἠδύναντο μόνοι οἱ ἱερεῖς, καὶ τοῦ ἁγίου τῶν ἁγίων, εἰς ὃ μόνον ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχετο ὁ ἀρχιερεύς· ἐν τούτῳ ἦσαν ἡ κιβωτός, τὰς πλάκας τῆς Διαθήκης περιέχουσα, ἡ βίβλος τοῦ νόμου, ἡ χρυσῆ στάμνα μετὰ τοῦ μάννα καὶ ἡ τοῦ Ἀαρὼν ῥάβδος, ἅτινα σαφῶς ἐδήλουν τοῖς υἱοῖς Ἰσραὴλ τὰς τοῦ Θεοῦ εὐεργεσίας, ἔτρεφον ἐν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῖς αἰσθήματα ἀγάπης καὶ εὐχαριστίας πρὸς τὸν Θεόν, καὶ ὁρατὸν ἦσαν σημεῖον τῆς ἀοράτου παρουσίας αὐτοῦ ἐν τῷ ναῷ. Ἡ δὲ τοῦ ναοῦ κατασκευὴ μετὰ τῶν διαφόρων αὐτοῦ μερῶν καὶ τῶν ἐν αὐτῷ ἀνωτέραν ἔτι καὶ πνευματικὴν εἶχε σημασίαν, πολλὰ τῶν τῆς βασιλείας τῆς χάριτος τοῦ Χριστοῦ προεικονίζουσα, καὶ ἐδίδασκε τοὺς Ἰσραηλίτας τὴν εἰς τὸν μέλλοντα λυτρωτὴν πίστιν [154].

Οἱ δὲ ἱεροὶ χρόνοι τεταγμένοι ἦσαν ἤτοι εἰς μνήμην μεγάλων γεγονότων καὶ εὐεργεσιῶν τοῦ Θεοῦ πρὸς τοὺς Ἰσραηλίτας, φύσει ἀνεγειρουσῶν ἐν αὐτοῖς εὐγνώμονα πρὸς τὸν εὐεργέτην Θεὸν ἀγάπην, ἢ εἰς ἐκτέλεσιν τελετῶν τινων, εἰκονικῶς τὸν Μεσσίαν δεικνυουσῶν, καὶ τὴν εἰς αὐτὸν πίστιν τρεφουσῶν. Οὕτω, π. χ. τὸ Σάββατον τεταγμένον ἦν εἰς μνήμην τῆς ὑπὸ τοῦ Θεοῦ δημιουργίας τοῦ κόσμου (Ἐξ. κ', 11)· τὸ Πάσχα εἰς μνήμην τῆς ἀπελευθερώσεως τῶν Ἰσραηλιτῶν ἐξ Αἰγύπτου (ιβ', 14-18)· ἡ πεντηκοστὴ εἰς μνήμην τοῦ ἐπὶ τοῦ Σινᾶ δοθέντος νόμου καὶ εἰς πανηγυρικὴν εὐγνωμοσύνην πρὸς τὸν Θεὸν διὰ τοὺς νέους τῆς γῆς καρποὺς (Λευϊτ. κγ', 42, 43)· ἡ ἡμέρα τοῦ καθαρισμοῦ, ἣν διήρχοντο ἐν νηστείᾳ καὶ μετανοίᾳ, διὰ τὴν μεγάλην προσφορὰν τῆς αἱματηρᾶς ὑπὲρ τῶν ἁμαρτιῶν παντὸς τοῦ Ἰσραηλιτικοῦ λαοῦ θυσίας, προεικονιζούσης ἄλλην θυσίαν, ἐπὶ τοῦ Γολγοθᾶ προσενεχθεῖσαν ὑπὲρ τῶν ἁμαρτιῶν παντὸς τοῦ κόσμου (Ἑβρ. θ', 11-25).

Αἱ δὲ ἱερουργίαι καὶ τελεταὶ λίαν πολυάριθμοι ἦσαν. Ἐνταῦθα ἀνάγονται ἐκτὸς τῆς περιτομῆς, ἧς τὸν μυστηριώδη νοῦν εἴδομεν ἤδη (§. 55), καὶ ἥ τις ἐδίδασκε τοὺς Ἰσραηλίτας τὴν περιτομὴν τῆς καρδίας (Δευτερ. ι', 16), διάφορα θυσιῶν εἴδη, οἷον· ὁλοκαύτωσις, ἡ θυσία περὶ ἁμαρτίας, ἡ περὶ ὑπακοῆς καὶ ἄλλαι, καὶ διάφοροι τελεταὶ εἴτε διατάξεις περὶ τροφῆς, περιβολῆς, σωματικῆς καθαριότητος μετὰ μεγίστης μάλιστα ἀκριβείας. Ἡ σημασία τῶν ἱερουργιῶν τούτων καὶ τελετῶν, ὅσῳ ἄν τινες αὐτῶν ἐκ πρώτης ὄψεως μικροῦ λόγου ἄξιαι φαίνωνται, ἦν ὑψίστη·

---

[154] Βλ. τὴν σημασίαν τῆς Σκηνῆς ἐν τῷ Διαγρ. τῆς Ἐκκλ. τῶν Βιβλ. ἱστορίας (Ῥωσσιστὶ συντεταγμένης).

*αἱ μὲν γὰρ αὐτῶν μάλιστα αἱ θυσίαι σκιὰ ἦσαν τῶν μελλόντων ἀγαθῶν* (*Ἑβρ. ι'*, 1) *καὶ ἀέναος διδασκαλία τοῖς Ἰσραηλίταις περὶ τοῦ μέλλοντος Μεσσίου· αἱ δέ, οἷαι μάλιστα αἱ περὶ τροφῆς καὶ περιβολῆς διατάξεις, τέλος εἶχον τοὺς Ἑβραίους τῆς εἰδωλολατρείας προφυλάξαι*[155]*, πρὸς ἣν ἀεὶ ἔτεινον, ἀποχωρίσαι αὐτοὺς τῶν ἐθνικῶν καὶ ἐν τῇ βρώσει καὶ πόσει, καὶ οὕτω πᾶσαν αἰτίαν παρεκτροπῆς τοῦ Ἰσραὴλ διακόψαι ἐκ τῆς ὁδοῦ τῆς ἀληθοῦς πίστεως· αἱ δέ, κυρίως αἱ διατάξεις περὶ σωματικῆς καθαριότητος, συνεργοῦσαι καὶ τῇ ὑγείᾳ τοῦ σώματος καὶ τῇ ἐξωτερικῇ εὐταξίᾳ τῆς κοινωνίας, ἔτεινον πρὸς ὑποστήριξιν καὶ ἀνύψωσιν καὶ τῆς ἐσωτερικῆς καθαριότητος, πρὸς ἀνέγερσιν καὶ τροφὴν τοῦ πνεύματος τῆς εὐσεβείας*[156].

*Τὰ δὲ ἱερὰ πρώσωπα, τὰ τὴν διαρκῆ ἀποτελοῦντα ἱεραρχίαν, περιελαμβάνοντο ἐν μόνῃ τῇ φυλῇ τοῦ Λευΐ, καὶ κατὰ τὰ τρία τοῦ ναοῦ μέρη εἰς τρεῖς διῃροῦντο τάξεις, ὧν τὴν μὲν πρώτην καὶ κατωτάτην κατεῖχον οἱ Λευῖται, τὴν δὲ δευτέραν οἱ ἱερεῖς, τὴν δὲ τρίτην καὶ ὑψίστην ὁ ἀρχιερεὺς εἴτε μέγας ἱερεύς. Τὰ πρόσωπα ταῦτα ἰδίαν εἶχον καθιέρωσιν, ἴδια καθήκοντα, ἴδια δίκαια καὶ διαφορὰς κτλ. Καὶ ἡ σοφὴ αὕτη διάταξις ἕνα σκοπὸν εἶχεν, ἵνα μετὰ μείζονος εὐταξίας, ζήλου καὶ λυσιτελείας διὰ τοὺς πιστεύοντας τελῶνται πάντα τὰ μέρη τῆς ἱερουργίας,*

---

[155] *Ὁ ἅγ. Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ εἰς τὸ α'. κεφ. τοῦ Ἡσαΐου λέγει, ὅτι αἱ περὶ τελετῶν διατάξεις „οὐ προηγουμένως ἐδόθησαν, ἀλλ' ὥστε παιδαγωγίαν γενέσθαι τῆς ἄλλης ἐντεῦθεν αὐτοῖς (Ἰουδαίοις) πολιτείας“ ... καὶ κατωτέρω· „τὸ θῦσαι, καὶ θυμίαμα προσενεγκεῖν, καὶ τηρῆσαι σάββατον, καὶ ὅσα τοιαῦτα πάλιν, οὐχ ἵνα αὐτὰ ταῦτα γίνηται ἁπλῶς, ἀλλ' ἵνα ἔκ τε τούτων μελέτης τῆς τῶν δαιμόνων ἀπάγωνται θεραπείας“. Ταὐτὸ δὲ καὶ Εὐσέβειος (προπαρασκ. εὐαγγελ. βιβλ. α', κεφ. 6) καὶ πολλοὶ τῆς ἐκκλησίας πατέρες* (vid. in Hist. eccles. Natalis Alexandri tom. 1). „Ante offensam, *σημειοῖ καὶ ὁ μακ. Ἱερώνυμος*, Decalogum tantum accipere Israëlitae; post idololatriam vero et blasphemiam multiplices legis caeremonias (Commentar. in cap. 28. 28 Ezechielis).

[156] *Ἀκριβῶς περὶ τούτου λέγεται παρὰ* Gooce *ἐν τῷ συγγράμματι* de vera religione, part. de legis Judaicae divina origine et natura (*Βλ.* tom. II Theolog. Curs. Compl. Paris 1839), *παρὰ Ἀλεξ. Νοὲλ ἐν τῇ Ἱστορίᾳ τῆς παλαιᾶς Διαθήκης* (*Βλ. διήγ. γ'. περὶ τῆς τετάρτης τοῦ κόσμου ἡλικίας*), *παρ' Ἀλεξάνδρῳ Νατάλει ἐν ἐκκλ. ἱστορ. μέρ.* I. *κτλ.*

καὶ ῥῶον δύνωνται ὑποστηριχθῆναι καὶ ἀνατραφῆναι ἐν ἅπαντι τῷ ἰουδαίῳ λαῷ ἡ πίστις καὶ ἡ εὐσέβεια.

§. 68. *Περὶ τοῦ πολιτικοῦ νόμου.*

α΄. Ὁ διὰ Μωϋσέως ὑπὸ τοῦ Θεοῦ δοθεὶς τοῖς Ἑβραίοις πολιτικὸς νόμος ἴδιον εἶχε χαρακτῆρα· ἡ γὰρ ὑπ' αὐτοῦ ὁριζομένη πολιτεία θεοκρατικὴ ἦν. Ἀπελευθερώσας Κύριος ὁ Θεὸς ἐκ τῆς αἰγυπτίου δουλείας τοὺς Ἰσραηλίτας, καὶ πανηγυρικῶς ἀνακαινίσας πρὸς αὐτοὺς ἐπὶ τοῦ Σινᾶ τὴν Διαθήκην, γενομένην καὶ τῷ προπάτορι αὐτῶν Ἀβραὰμ εἰς διατήρησιν ἐν τοῖς ἀπογόνοις αὐτοῦ τῆς ἀληθοῦς θρησκείας καὶ τῶν ἀποκαλύψεων περὶ Μεσσίου, ηὐδόκησεν αὐτοῖς προτεῖναι, εἰ βούλοιντο βασιλέα αὐτὸν ἔχειν καὶ τοὺς νόμους ἐκπληροῦν, οὓς ἂν αὐτοῖς δῷ. Οἱ Ἑβραῖοι ἀπεδέξαντο ταύτην τὴν πρότασιν, καθ' ἣν ὁ Θεὸς ἐδίδου τὴν ἐπαγγελίαν βασιλεύειν αὐτῶν, καὶ προστάτην εἶναι, ἐὰν αὐτῷ ἐν πᾶσιν ὑπήκωσιν, εἰ δὲ μὴ ἠπείλει αὐτοὺς πάσαις ταῖς δυστυχίαις· οἱ δὲ Ἑβραῖοι τελείαν ὑπισχνοῦντο ὑποταγὴν καὶ ὑπακοὴν τῷ οὐρανίῳ Δεσπότῃ, εἰ δὲ μή, ἀπεδέχοντο ἑαυτοὺς ὑποβαλεῖν ὑπὸ τὰς βασάνους αὐτοῦ (ἐξ. ιθ΄-24· λβ΄-λδ΄· Δευτερ. κζ΄-λ΄). Τούτου δ' ἕνεκα ὁ Θεὸς ἦν ἐν στενωτέρᾳ σημασίᾳ βασιλεὺς τῶν Ἑβραίων, ὑπέρτατος αὐτῶν νομοθέτης, ἡγούμενος καὶ κριτὴς (Ἐξ. ιθ΄, 4, 5· Δευτερ. λγ΄, 5· παρ. α΄. Βασ. η΄, 7· ι΄, 18, 19)· ἐδίδου αὐτοῖς ἀμέσως τοὺς νόμους (Δευτερ. ς΄, 20-24)· ἐτίθου ἐπ' αὐτῶν ἄρχοντας καὶ κριτάς, οἵτινες ἐν μὲν ταῖς συνήθεσι περιστάσεσι διῴκουν ἐν ὀνόματι αὐτοῦ (Δευτερ. α΄, 17· ιθ΄, 15), ἐν δὲ οὐσιώδεσιν ἀνήγγελλε τὸ ἑαυτοῦ θέλημα διὰ τοῦ ἀρχιερέως (Ἀριθ· κζ΄, 21· παρ. κριτ. α΄, 1· η΄, 18, 23· α΄. Βασ· κβ΄, 10· ιγ΄, 15), ἢ διὰ προσώπων ἐπίτηδες διὰ τοῦτο ἐκλεχθέντων· ἀνύψου ἄνδρας δι' ἐκπλήρωσιν τῶν ἑαυτοῦ ὁρισμῶν, ἐποίει θαύματα κτλ. Αὐτῷ προσῆκον αὐτοὶ οἱ Ἑβραῖοι (Ἐξ. ιθ΄, 4, 5· Λευϊτ. κε΄, 39-55) καὶ πᾶσαι αἱ αὐτῶν γαῖαι (Λευϊτ. κε΄, 23· παρ· Γεν. μζ΄, 19, 10). Ἡ δὲ Σκηνὴ ἦν οἱονεὶ ἀνάκτορα, ἐν οἷς ὁ Θεός, ὡς ὑπέρτατος Δεσπότης τοῦ λαοῦ αὐτοῦ, ἐδείκνυε τὴν ἑαυτοῦ παρουσίαν (Ἐξ· κε΄, 8). Διὸ καὶ ὁ ἑβραϊκὸς λαὸς ἐκλεκτὸς ἐνομίζετο ἐκ πάντων τῶν λαῶν τῆς γῆς, καθιερωμένος τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θεῷ, ἔθνος ἅγιον, βασίλειον ἱεράτευμα (Ἐξ. ιθ', 5, 6· Δευτερ. ζ, 6).

Κατὰ τὴν πολιτικὴν ταύτην ἐν τῷ ἑβραϊκῷ λαῷ διάταξιν ὁ πολιτικὸς τοῦ Μωϋσέως νόμος στενώτατα τῇ θρησκείᾳ ἡνοῦτο, καὶ δισσὸν εἶχε τέλος ταῖς ἑαυτοῦ διατάξεσι συνεργεῖν τῇ τ' ἐξωτερικῇ εὐποτμίᾳ τῶν Ἰσραηλιτῶν καὶ μάλιστα τῇ ἐπιδόσει εἰς τὴν πίστιν καὶ τὴν ἠθικήν.

Καὶ ταῖς μὲν πρώταις οἱ περὶ γεωργίας ἀνάγονται νόμοι (Λευϊτ. ιθ'· 23· κε', 4, 5, 10-16), περὶ ἐμπορείας (ιθ', 25, 36· Δευτερ. κε', 13-16), περὶ πολεμικῶν (Δευτερ. κ', 1-15), περὶ δικαστικῶν (ις', 19, 20· ἐξ. κα'-κγ'.), περὶ οἰκιακῶν, περὶ δούλων, κτημάτων, σωματικῆς καθαριότητος, βρώσεως, ἐσθῆτος κτλ.[157], καίτοι οἱ νόμοι οὗτοι κατὰ τὸ μᾶλλον ἢ ἧττον ὑπὸ τοῦ χαρακτῆρος τῆς θρησκείας ἐπεσφραγισμένοι εἰσί, καὶ τείνουσι πρὸς στήριξιν αὐτῆς ἐν τῷ λαῷ·

Ταύταις δὲ προσήκουσιν αἱ ἀποτελοῦσαι οἱονεὶ σταθερὸν τοῦ ἐν τῷ δεκαλόγῳ ἠθικοῦ νόμου ὅριον, καὶ ἐπὶ παραβάσει ἑκάστης σχεδὸν ἐντολῆς θάνατον ἀπειλοῦσαι. Καὶ λοιπὸν α'. εἰς διατήρησιν τῆς μὲν πρώτης ἐντολῆς διετάσσετο θανατοῦν τὸν προφήτην, ὃς ἂν εἴποι τῷ Ἰσραήλ, ἵνα „πλανήσῃ αὐτὸν ἀπὸ Κυρίου τοῦ Θεοῦ αὐτοῦ (Δευτερ. ιγ', 5)"· πᾶς δὲ Ἰσραηλίτης ὤφειλε πρῶτος ἀποκαλύψαι καὶ πρῶτος χεῖρα ἐπιβαλεῖν ἐπὶ τοῦ ἀδελφοῦ, τοῦ υἱοῦ, τῆς θυγατρὸς καὶ γυναικός, εἴτις αὐτῶν μυστικῶς εἴποι· „πορευθῶμεν καὶ λατρεύσωμεν Θεοῖς ἑτέροις (Δευτερ. ιγ', 6-10)"· β'. τῆς δὲ δευτέρας νενομοθέτηται, „ἐν φόνῳ μαχαίρας καὶ ἀναθέματι ἀναθεματίσαι πάντας τοὺς κατοικοῦντας ἐν πόλει, μεμολυσμένῃ εἰδωλολατρείᾳ, αὐτὴν δὲ τὴν πόλιν καὶ τὰ σκῦλα αὐτῆς ἐμπρῆσαι, ἵνα ἀοίκητος ᾖ, καὶ οὐκ ἀνοικοδομηθῇ ἔτι (Δευτερ. ιγ', 15, 16)"· ἐπιμελῶς ἐκζητεῖν τὸν ἄνδρα ἢ γυναῖκα, περὶ ὧν κατηγγέλλετο, ὅτι προσεκύνησαν „τῷ ἡλίῳ ἢ τῇ σελήνῃ, ἢ παντὶ τῷ κόσμῳ τῷ ἐκ τοῦ οὐρανοῦ, καὶ λιθοβο-

---

[157] Τὸ πνεῦμα καὶ ἡ ἀξία τούτων τῶν νόμων ἀκριβῶς ἐθεωρήθησαν ὑπὸ Μιχαὴλ ἐν Mosaiches Rect. VI μέρ. 1679-1775, καὶ Σαλβαδώρου ἐν Histoire des instit. de Moïse et du peuple Hebreu, Paris 1828.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῆσαι, ὥστε τελευτῆσαι (ιζ', 25)"· θάνατος τοῖς διδοῦσιν „ἀπὸ τοῦ σπέρματος αὐτῶν ἄρχοντι καὶ τοῖς προστιθεμένοις τῷ Βεελφεγὸρ (Λευϊτ. κ', 2, 3· Ἀριθ. κε', 4, 5)"· θάνατος ἐπετάσσετο φαρμακοῖς, ἐγγαστριμύθοις καὶ ἐπαοιδοῖς, ὥσπερ καὶ τοῖς προσφεύγουσι πρὸς αὐτοὺς (Ἐξ. κβ', 18· Λευϊτ. κ', 6, 27)· τῆς δὲ τρίτης· „λίθοις λιθοβολείτω πᾶσα συναγωγὴ Ἰσραὴλ τὸν ἄνθρωπον, ὃς ἐὰν καταράσηται Θεὸν αὐτοῦ, καὶ ὀνομάζων οὕτω τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω (Λευϊτ. κδ', 15, 16)"· δ'. τῆς δὲ τετάρτης· „ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκ μέσσου τοῦ λαοῦ αὐτῆς, ἡ βεβηλοῦσα τὸ σάββατον, ἔργον ποιοῦσα (Ἐξ λα', 14· λε', 2· Ἀριθ. ιε', 32, 36)"· καθόλου δὲ θάνατος παντὶ τῷ παραβαίνοντι τελετικήν τινα διάταξιν (Λευϊτ. κγ', 29· ιζ', 11, 12)· ε'. τῆς δὲ πέμπτης· πράξεις ὀλιγωρίας πρὸς τοὺς γονεῖς, οἷον· ῥάπισμα, κακολογία, ἀνάθεμα, θανάτῳ καὶ ἀναθέματι κολάζονται (Ἐξ. κα', 15, 17· Λευϊτ. κ', 9· Δευτερ. κζ', 16), καὶ υἱὸς ἀπειθής, κακοήθης καὶ ἀνεπανόρθωτος ἀφαιρεθήτω ἐκ τοῦ μέσσου τοῦ λαοῦ, ὥσπερ κακὸν καὶ μόλυσμα αὐτοῦ (Δευτερ. κα', 18-21)· ς'. τῆς δὲ ἕκτης· κρίσει περιωρίζοντο ἡ ζωή, ἡ ἀκεραιότης ὅλου τοῦ σώματος καὶ ἑκάστου ειδικῶς μέλους, καὶ ἐπετάσσετο ἀποδιδόναι ζωὴν ἀντὶ ζωῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, πόδα ἀντὶ ποδός, χεῖρα ἀντὶ χειρός, τραῦμα ἀντὶ τραύματος κτλ. (Ἐξ. κα', 23-25· Λευϊτ. κδ', 19-29· Δευτερ. ιθ', 16-21)· ζ'. τῆς δὲ ἑβδόμης· θάνατος ἐπὶ τῇ αἱμομυξίᾳ καὶ καθόλου τῇ ἀκρατείᾳ (Ἐξ. κβ', 16, 17· Λευϊτ. κς', 10-21)· η'. τῆς δὲ ὀγδόης· ὑπὸ τοῦ αὐστηροῦ δικαιώματος τῆς ἀντεκδικήσεως ἐξησφάλιστο ἡ περιουσία τῶν πολιτῶν καὶ πᾶσα, καὶ δὴ καὶ ἐλαχίστη, μείωσις αὐτῆς (Ἐξ. κα', 33-36· κβ', 1-11· Λευϊτ. κδ', 21)· θ', τῆς δὲ ἐννάτης· ὁ ἐξελεγχθεὶς ψευδομάρτυς τῇ αὐτῇ ὑποβάλλεται ποινῇ, ᾗ ἂν προσήκῃ τῷ συκοφαντηθέντι, εἰ ἔνοχος ἀπεδείκνυτο (Δευτερ. ιθ', 19)· εἰς διατήρησιν δὲ μόνης τῆς δεκάτης ἐντολῆς, αὐτὰς ἀπαγορευούσης τὰς ἐπιθυμίας καὶ τοὺς διαλογισμούς, ἐναντία τῆς πρὸς τὸν πλησίον ἀγάπης ὄντα, οὐκ ἦσαν καὶ οὐκ ἠδύναντο ἴδιαι εἶναι πολιτικαὶ διατάξεις, αἵτινες, περὶ τὸ ἐξωτερικὸν μόνον ἀσχολούμεναι, οὐχ οἷαι ἦσαν καὶ ἐπὶ τὸ ἐσωτερικὸν ἐπεκταθῆναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

3. Ἡ ἀνάγκη τῆς διαφυλάξεως τῶν νόμων τῆς ἠθικῆς διὰ τῶν πολιτικῶν νόμων καὶ τῆς αὐστηρότητος τῶν ποινῶν ἐπὶ πάσαις ταῖς τῆς θρησκείας παραβάσεσιν ἑρμηνεύεται ά, ἐκ τοῦ χαρακτῆρος τῶν Ἑβραίων, οἵτινες, κατὰ τὴν μαρτυρίαν πάσης τῆς περὶ αὐτῶν ἱστορίας, ἔτεινον πρὸς τὴν εἰδωλολατρείαν καὶ καθόλου εἰς τὴν παράβασιν τοῦ θελήματος τοῦ θεοῦ αὐτῶν, καίτοι εἶχον πάσας τὰς ἐντολάς, πᾶσαν τὴν ὑπερβάλλουσαν πρὸς αὐτοὺς πατρῴαν ἀγάπην αὐτοῦ, πάντα τὰ θαύματα, τὴν δαψίλειαν καὶ τὰς εὐεργεσίας, ὥστε μετὰ πολυαρκεῖς πείρας οὐδὲν ἄλλο ὑπελείπετο μέσον πρὸς διατήρησιν αὐτῶν ἐν τῇ ὑπακοῇ τοῦ νόμου, εἰ μὴ ὁ φόβος τῶν αὐστηροτάτων ποινῶν (Ἰεζεκ., 3-25. Γαλ. γ', 19 [158]). β'. ἐκ τοῦ ἰδίου αὐτῶν προορισμοῦ· καὶ γὰρ ἐξελέχθησαν, ἵνα ἐν ἑαυτοῖς διατηρήσωσιν ἐν τῇ παγκοίνῳ τῶν ἠθῶν διαφθορᾷ τὰ τῆς ἀληθοῦς θρησκείας καὶ τῶν θείων ἀποκαλύψεων σπέρματα δι' ἅπαντας τοὺς ἀνθρώπους· τοσούτῳ δὲ μᾶλλον ἔδει πᾶσι χρῆσθαι πρὸς τὸ διατηρῆσαι τὸν λαὸν τοῦτον ἔν τε τῇ πίστει καὶ τῇ ἠθικῇ κτλ. γ', ἐκ τῆς ἰδίας τῶν Ἑβραίων κοινωνίας τῷ θεῷ, τοιούτους αὐτοῖς νόμους ἠθικούς τε καὶ πολιτικοὺς δόντι, ὃς ηὐδόκησε μάλιστα θεὸς αὐτῶν κληθῆναι, ἐφρόντιζε μᾶλλον περὶ αὐτῶν ἢ περὶ πάντων τῶν ἄλλων λαῶν, καὶ οὕτως, ὅπως οὐδεὶς πατὴρ περὶ τὰ ἴδια τέκνα μεριμνᾶν δύνηται· ἀπηλευθέρωσεν αὐτοὺς ἐξ Αἰγύπτου, χάριν αὐτῶν πλεῖστα διεπράξατο θαύματα, ἐδωρήσατο αὐτοῖς κληρονομίαν ἀρίστην γῆν, ῥέουσαν μέλι καὶ γάλα, οὐδενὸς ὑπὲρ αὐτῶν ἐφείσατο. Ἀντὶ ταύτης οὖν τῆς ἀγάπης καὶ τῶν εὐεργεσιῶν οὐ δίκαιος ἦν τελειοτάτην ὑπακοὴν καὶ εὐπείθειαν ἑαυτῷ ἀπαιτεῖν παρ' αὐτῶν μᾶλλον ἢ παρ' ἄλλου τινός; Καὶ οἱ παῖδες Ἰσραὴλ δι' ἑκάστην αὐτῷ ἀπείθειαν οὐκ ἄξιοι ἦσαν ὄντως θανατικῆς ποινῆς; Τὸ δὲ δίκαιον τούτων αὐτοὶ μόνοι ἐντελῶς ἐπέγνωσαν, ἑκόντες τοσούτῳ αὐστηροῖς ὑποβληθέντες νόμοις, βασιλέα ἑαυτῶν τὸν θεὸν ἀναδεξάμενοι, καὶ ὑποσχόμενοι ἀντὶ τῆς

---

[158] Τὴν αὐτὴν γνώμην ἐκφράζουσι καὶ πολλοὶ ἅγιοι Πατέρες ἐν τῇ ἑρμηνείᾳ εἰς τὸ κ', κεφ. τοῦ Ἰεζεκιὴλ καὶ μάλιστα εἰς τὸν 25 στίχον τοῦ αὐτοῦ κεφ. Τούτων δ' ἀποσπάσματα ἀπαντῶσιν in Natalis Alexandri Hist. Ecclesiast. Tom. I.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραβάσεως τοῦ θελήματος αὐτοῦ παντοίας φέρειν ποινάς. Προσθετέον δέ, ὅτι αὕτη ἡ αὐστηρότης τοῦ νόμου, ὃν ἐντελῶς οὐχ οἷοι ἦσαν οἱ Ἑβραῖοι ἐκπληρῶσαι, τοσούτῳ βαθύτερον ἐδίδου αὐτοῖς κατανοεῖν τὴν ἀναξιότητα αὐτῶν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοσούτῳ ἰσχυρωτέραν διήγειρεν ἐν αὐτοῖς τὴν πίστιν εἰς τὸν ἐπαγγελθέντα Μεσσίαν, καὶ αὐτοὺς ἐβίαζεν ἐπιθυμεῖν τῆς ἱλαρᾶς αὐτοῦ ἐλεύσεως.

§. 69. *Περὶ τῆς μεγάλης ἀξίας τῆς ὑπὸ νόμον θρησκείας.*

Καὶ λοιπὸν ἡ ὑπὸ νόμον θρησκεία ἐν πᾶσι τοῖς μέρεσιν αὐτῆς φέρει ἐφ' ἑαυτῆς τὴν ἀνεξάλειπτον σφραγίδα τῆς ὑψίστης σοφίας· μόνος γὰρ σκοπὸς αὐτῆς ἦν, ἵνα ἐν τοῖς Ἰσραηλίταις τὴν πίστιν εἰς ἕνα Θεὸν ἀόρατον, ποιητὴν καὶ προνοητὴν τῆς οἰκουμένης, διδάξῃ ἀξίως αὐτὸν σέβεσθαι, καὶ ἐν πᾶσι τὸ θέλημα αὐτοῦ ποιεῖν, διατηρήσῃ ἐν αὐτοῖς, καὶ δι' αὐτῶν ἐν παντὶ τῷ κόσμῳ, τὴν πίστιν καὶ τὰς θείας ἐπαγγελίας περὶ τοῦ μέλλοντος λυτρωτοῦ τοῦ κόσμου, παιδεύσῃ αὐτοὺς λαὸν ἀληθῶς εὐσεβῆ, ὥσπερ σπέρμα ἅγιον πρὸς ἁγιασμὸν πάσης τῆς ἀνθρωπότητος. Καὶ πρὸς τοῦτο ἀμέσως ἔτεινον ὁ τῆς πίστεως νόμος, παραδιδοὺς τοσούτῳ ἐντελῆ διδασκαλίαν περὶ τοῦ Θεοῦ, τοῦ ἀνθρώπου καὶ τοῦ Μεσσίου, καὶ ὁ ἠθικός, τὸν ἄνθρωπον ἐπιτάσσων τοσούτῳ καθαροὺς κανόνας τῆς ἀγάπης πρὸς τὸν Θεόν, τὸν πλησίον καὶ πρὸς ἑαυτόν· πρὸς τοῦτο δὲ μάλιστα ἔτεινον καὶ ὁ τῶν τελετῶν νόμος καὶ ὁ πολιτικός, ὥστε ἅπας ὁ βίος τοῦ Ἰσραηλίτου ὅ τε ἰδιωτικὸς καὶ δημόσιος ὑπὸ τῆς πίστεως ἐπληροῦτο, καὶ ἅπασαι αἱ αὐτοῦ πράξεις ὤφειλον ἀδιάλειπτος τῷ Θεῷ λατρεία εἶναι. Ἐν δὲ τῇ βρώσει καὶ ἐσθῆτι, ἐν τῇ καθαριότητι τοῦ σώματος καὶ τῆς οἰκίας ὁ Ἰσραὴλ οὐ μόνην τὴν περὶ τοῦ ἑαυτοῦ Θεοῦ ἀνάμνησιν ὁρᾷ, ἀλλὰ καὶ ποιεῖ τὸ θέλημα αὐτοῦ. Ὁ Ἰσραὴλ οἰκεῖ ἐν ἀρίστῃ γῇ, ἀλλ' αὕτη ἐστὶ τοῦ Θεοῦ· αὐτῷ εἰσιν ἰσχυραὶ πόλεις, ὡραῖοι οἶκοι, ἀλλ' αὐτὰ ὁ Θεὸς ἔδωκεν αὐτῷ· ὁ πρωτότοκος ἑκάστου Ἰσραηλίτου ἢ τοῦ κτήνους αὐτοῦ κλῆρός ἐστι τοῦ Θεοῦ, καὶ πᾶν καθόλου ἀγαθὸν προσδοκᾷ καὶ ἀξιοῦται εὐθὺ ἀπὸ τοῦ Θεοῦ. Ἐκ τῆς εὐλογίας τοῦ Θεοῦ τοῦ θερισμοῦ ἄρχεται, ἐν τῇ χαρᾷ τῆς εὐλογίας διατελεῖ θερίζων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ συντελεῖ τὸν θερισμὸν ζωηρᾷ εὐχαριστίᾳ· οὐ τρώγει κόκκους, οὔτε καρποῦ γεύεται, μὴ ἀφιερώσας μέρος αὐτῶν τῷ Κυρίῳ. Εὐτυχήσας δέ, προσφέρει εὐχαριστηρίους τῷ Θεῷ θυσίας, καὶ παρασκευάζει συμπόσιον, οὗ μετέχουσι παρ' αὐτῷ ἐκτὸς τῆς οἰκογενείας χήρα καὶ ὀρφανός, παρεπίδημός τε καὶ Λευΐτης (Δευτερ. ιβ', 4-19)· τρώγει καὶ εὐθυμεῖ ἔναντι τοῦ Κυρίου (ιϛ'. 11), ἀλλ' οὐχὶ πρὸς κόρον, ἀλλ' ἵνα διδαχθῇ φοβεῖσθαι τὸν Κύριον (ιδ', 22-29). Τῷ Κυρίῳ ἀφιεροῖ τὴν πρωΐαν καὶ τὴν ἑσπέραν, τὴν ἀρχὴν τοῦ μηνὸς καὶ ἔτους· πᾶσαι αἱ ἑορταὶ αὐτοῦ, ταχθεῖσαι εἰς μνήμην γεγονότων, τὴν ἐθνικὴν αὐτοῦ ἀνεξαρτησίαν ὑποστηριξάντων, ἐκκλησιαστικαί εἰσιν ἑορταί, καὶ ἐν τοῖς σαββατικοῖς ἔτεσι καὶ ἰωβηλαίοις ἐξασκεῖ τὴν ἀγαθὴν αὐτοῦ θέλησιν, ἢ λατρεύει τῷ Θεῷ, ἢ διδάσκεται λατρεύειν. Οὐδὲν ἀκάθαρτον ἀνέχεται, διότι ἐν μέσῳ αὐτοῦ κατοικεῖ ὁ ἅγιος αὐτοῦ Θεὸς (Δευτερ. κγ', 13-14· Λευΐτ. ιγ', 46· ιε', 23). Εἰσὶ δὲ τῷ Ἰσραηλίτῃ γραπτοὶ νόμοι, ἀλλ' οὗτοι ἐκ Θεοῦ εἰσιν· ἄρχοντες καὶ κριταί εἰσιν, ἀλλ' αὐτοὺς ἐκλέγει ὁ Θεός, καὶ πολλὰ αὐτὸς ἀποφαίνεται ἀντ' αὐτῶν. Ὁ Θεὸς πάντα ἐστὶ τῷ Ἰσραηλίτῃ, καὶ βασιλεύς, ᾧ μόνῳ δασμὸν δίδωσιν (Ἐξ. λ', 13, 14), καὶ ὑπέρτατος νομοθέτης, ἕκαστον νόμον καθαγιάζων τῷ βασιλικῷ ἑαυτοῦ ὀνόματι (Λευΐτ. ιθ-κγ'), καὶ ὑπέρτατος κριτής, ἐμμέσως καὶ ἀμέσως περὶ ἀμφιβόλων ἀποφαινόμενος ὑποθέσεων (Ἀριθ. κα', 1-11· Δευτερ. ιζ', 8-12 καὶ ἀλλ.), καὶ ἀνώτατος ἐν πολέμῳ ἄρχων, ὁρίζων, κατὰ τίνος πολεμεῖν, τίνος φείσασθαι, καὶ τίνα εἰς τέλος ἀφανίσαι, αὐτὸς τοῖς παισὶ τοῦ Ἰσραὴλ βοηθῶν ἐν τῇ μάχῃ, καὶ μετέχων τῶν λαφύρων (Ἀριθ. λγ', 37-44) κτλ.

Πόθεν οὖν ἠρύσατο ὁ Μωϋσῆς τὴν σοφὴν ταύτην διοίκησιν, ὑπ' αὐτοῦ μεταδοθεῖσαν τῷ Ἰσραηλιτικῷ λαῷ; Ἔκ τινος γὰρ τῶν γειτόνων καὶ καθόλου συγχρόνων λαῶν ἀρύσασθαι οὐκ ἠδύνατο· διότι, πάντων τούτων βεβυθισμένων ἐν τῷ ἐθνισμῷ, καὶ τοῖς εἰδώλοις προσκυνούντων, μόνος ὁ Μωϋσῆς ἐκήρυσσε τὴν διδασκαλίαν περὶ τοῦ ἑνὸς Θεοῦ, τελειοτάτου πνεύματος, πᾶσαν ἀπαγορεύων τοῖς εἰδώλοις προσκύνησιν· καὶ πάντων τούτων τῶν λαῶν ἐν ταῖς ἐπιθυμίαις τῆς ἑαυτῶν καρδίας πορευομένων καὶ ἐν τῇ ἀσεβείᾳ πνιγομένων κατὰ τὰς ἐννοίας περὶ τῶν ψευδῶν

αὐτῶν ἀγαθῶν, μόνος ὁ Μωϋσῆς ἀνήγγειλε καθαρωτάτους τῆς ἠθικῆς κανόνας, καὶ ἅπαντα ἐπενόησε τὰ προσήκοντα εἰς ὑποστήριξιν αὐτῆς ἐν τῷ λαῷ αὐτοῦ. Καὶ κατὰ τὴν ὁμολογίαν αὐτῶν τῶν ἐθνικῶν λογίων, ἔδωκε τοῖς Ἰσραηλίταις θρησκείαν, ὅλως ἀνόμοιον πάσαις ταῖς ἄλλαις, ταῖς ἐν τῷ κόσμῳ ὑπαρχούσαις[159]· ἔδωκε τελετὰς νέας, ἀγνώστους τοῖς ἄλλοις λαοῖς, καὶ ἐμόρφωσε τοὺς Ἰουδαίους λαὸν ἐντελῶς χωριστὸν καὶ διάφορον τῶν ἄλλων λαῶν, παρ' ᾧ ἀκάθαρτον ἐνομίζετο ὅ περ παρ' ἄλλοις ἱερόν· καὶ ἐπιτρεπτὸν ὅ περ παρ' ἄλλοις ἀπαγορευτόν[160]. Ἀλλὰ καὶ οἱ πολιτικοὶ τοῦ Μωϋσέως νόμοι, τοῖς συγχρόνοις τῶν ἐθνικῶν νόμοις παραβαλλόμενοι, ὑπερέχουσιν αὐτῶν ἐντελῶς καὶ ὥσπερ σοφὸν μέσον διὰ τὴν ἠθικὴν τοῦ λαοῦ ἀγωγήν, καὶ κατὰ τὴν φύσιν αὐτῶν, ὥσπερ νόμοι καθαρῶς πολιτικοί[161]. Ἐὰν δὲ περὶ τῆς ἀρχῆς τῆς ὑπὸ νόμον Θρησκείας αὐτὸν τὸν Μωϋσέα ἐρωτήσωμεν καὶ τοὺς προαγωγοὺς τοῦ μεγάλου ἔργου αὐτοῦ προφήτας, ἐὰν πάντας ἐρωτήσωμεν τοὺς Ἰσραηλίτας, ἀκούσαντας καὶ ἰδόντας τὸν Μωϋσέα καὶ τοὺς προφήτας, ἀποκρινοῦνται πρὸς ἡμᾶς, ὅτι ἡ διδασκαλία αὕτη καὶ διάταξις, καθ' ἑαυτὰς τέλειαι καὶ διάφοροι πασῶν τῶν ἄλλων διδασκαλιῶν καὶ διατάξεων, ὅτι ἕλκουσι τὴν ἑαυτῶν ἀρχὴν ἀμέσως ἐκ τοῦ Θεοῦ, ὅτι ὁ Μωϋσῆς καὶ οἱ προφῆται μόνον ἀπόστολοι καὶ ὄργανα τῶν ἀποκαλύψεων αὐτοῦ ἦσαν. Καὶ ἡ ἀπόκρισις αὕτη

---

159 *Διοδώρ. Σικελ. ἀποσπάμ. (παρὰ Φωτίου Βιβλιοθ. κώδ. 244). Στράβ. Γεωγραφ. βιβλ. ις'. „Ἔφη γὰρ ἐκεῖνος (Μωϋσῆς) καὶ ἐδίδασκε, λέγει ὁ Στράβων, ὡς οὐκ ὀρθῶς φρονοῦσιν οἱ Αἰγύπτιοι θηρίοις εἰκάζοντες καὶ βοσκήμασι τὸ θεῖον οὐδ' οἱ λίβυες, εὖ δ' οὐδ' οἱ Ἕλληνες, ἀνθρωπομόρφους τυποῦντες. Εἴη γὰρ ἐν τούτῳ μόνον Θεὸς τὸ περιέχον ἡμᾶς ἅπαντας καὶ γῆν καὶ θάλατταν... Τούτου δὴ τίς ἂν εἰκόνα πλάττειν θαῤῥήσειε νοῦν ἔχων ὁμοίαν τινὰ τῶν παρ' ἡμῖν, ἀλλ' ἐᾶν δεῖ πᾶσαν ξοανοποιΐαν τέμενος ἀφορίσαντας καὶ σηκὸν ἀξιόλογον τιμᾶν εἴδους χωρίς“...*

160 Moses, quo sibi in posterum gentem firmaret, novos ritus contrariosque caeteris mortalibus indidit: profana illic omnia, quae apud nos sacra; rursum concessa apud illos, quae nobis incesta ... et caet. Tacit. Histor. libr. V., cap. 3. *παράβ.* Juvenal. Satyr. XIV., 95-100.

161 Brunati, Critique des anciens législations païennes et défence de la législation Mosaïque (In Démonstr. Evangelic. Tom. XIV., pag. 457. Paris 1843).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἀξία ἐστὶ τῆς ἡμῶν πίστεως κατ' αὐτὴν τὴν ἰδιότητα τοῦ ὑποκειμένου, περὶ οὗ ὁ λόγος· τοιαύτη γὰρ Θρησκεία, ὥσπερ ἡ ὑπὸ νόμον, ὄντως λίαν ἀξία τοῦ Θεοῦ ἐστιν· ἰδίως δὲ ἀξία ἐστί, καὶ γὰρ αὕτη αἰσθητῶς ἐπεσφράγισται καὶ τοῖς ἐξωτερικοῖς ἀναντιῤῥήτοις χαρακτῆρσι τῆς ἀληθοῦς τοῦ Θεοῦ ἀποκαλύψεως.*

## Β'.

### Ἐξωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς ὑπὸ νόμον Θρησκείας.

§. 70. *Ἀπαρίθμησις αὐτῶν.*

*Ἐνταῦθα ἐννοοῦμεν ά, τὸν ἀτομικὸν χαρακτῆρα τοῦ θείου νομοθέτου τοῦ ἑβραϊκοῦ λαοῦ Μωϋσέως, β', τὰ θαύματα, γ', τὰς προφητείας αὐτοῦ, δ', τὸν ἀτομικὸν χαρακτῆρα τῶν μετ' αὐτὸν προφητῶν, ε', τὰ θαύματα, ϛ', τὰς προφητείας αὐτῶν.*

§. 71. *Χαρακτὴρ τοῦ Μωϋσέως.*

*Ἐν παντὶ τῷ βίῳ τοῦ Μωϋσέως ἀδύνατόν ἐστι καὶ ἐλάχιστον κατιδεῖν ἴχνος φιλαυτίας καὶ φιλοκερδείας. Καταφρονήσας γὰρ πάντα τὰ λαμπρὰ τοῦ κόσμου ἐν τοῖς ἀνακτόροις τῶν Φαραώ, ἀπῆλθεν εἰς γῆν Μαδιάμ, ἐν ᾗ τεσσαράκοντα ὅλα ἔτη διήγαγεν ἐν ἀγνοίᾳ, τὴν ποιμαντικὴν ἐπιμελούμενος. Ὑπήκων δὲ τῇ θείᾳ φωνῇ, οὐκ ἀπεποιήσατο τεσσαράκοντα ἄλλα ἔτη ἐν ἐρήμῳ πάσας τὰς ἀνάγκας ὑπομεῖναι καὶ τὰς πικρίας, λαοῦ ἀχαλινώτου καὶ ἀεὶ μεμψιμοίρου ἡγούμενος. Πάντα δὲ τὸν χρόνον τοῦτον οὐδὲν κέρδος ἔλαβεν, ὥσπερ αὐτὸς ὁμολογεῖ ἐν τῇ πρὸς τὸν Θεὸν εὐχῇ, οὔτε δι' ἑαυτὸν οὔτε διὰ τὸν οἶκον αὐτοῦ παρὰ λαοῦ, ὑπὲρ οὗ πάντα ἐθυσίαζεν (Ἀριθ. ιϛ',* 15)· *Μετὰ δὲ λίαν πολύμοχθον καὶ κοινωφελῆ βίον εἰς τὸν τάφον κατερχόμενος, οὔτε πλούτη, οὔτε ἀξιώματα κατέλιπε τοῖς ἑαυτοῦ ἀπογόνοις, διάδοχον τὸν Ἰησοῦν, ἄνδρα ἑτέρας φυλῆς, ἐκλεξάμενος. Ἀλλ' οὐδ' ἑαυτοῦ ἐφείσατο ἐν τοῖς συγγράμμασιν, ἐν αὐτοῖς ἐγγράψας δι' ἅπαντας τοὺς μετ' αὐτὸν τὰς ἰδίας ἀδυναμίας καὶ ἀτελείας, οὐδαμῶς ἐπιμελούμενος ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι· πολλάκις γὰρ μνείαν ποιεῖται τοῦ ἑαυτοῦ ἁμαρτήματος, κωλύσαντος αὐτὸν τῆς εἰσόδου εἰς τὴν ἐπαγγελθεῖσαν γῆν (Ἀριθμ. κ',* 12, 24· *Δευτερ. α',* 17)· *περὶ τῶν ἰδίων ὅμως προτερημάτων, ὅτι, π. χ. ἐν τοῖς βασιλείοις τοῦ Φαραὼ ἐκ παιδὸς ἐπαιδεύθη „πάσῃ σοφίᾳ Αἰ-*

γυπτίων, καὶ ἦν δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις" (Πράξ. ζ', 22), περὶ τούτου καὶ τῶν ὁμοίων[162] οὔτε λέξιν ἔφη. Πόσον ὅμως θερμῶς τὸν πάτριον ἠγάπα λαόν! Ὑπὲρ τούτου γὰρ τοῦ ἀγνώμονος καὶ ἀναξίου λαοῦ ἀσμένως ἔφερε τεσσαράκοντα ἔτη πάσας τὰς στερήσεις, τοὺς μόχθους καὶ τὰς πικρίας ἐν τῇ ἐρήμῳ, καὶ ἐκ τῆς βίβλου, ἐν ᾗ ἐνέγραψεν αὐτὸν ὁ Θεός, ἐξαλειφθῆναι ἠβούλετο (Ἐξ. λβ', 32). Τίς δὲ ἐν Θεῷ ζῆλος ἀδιαλείπτως κατέτρωγε τὸν σπάνιον τοῦτον ἄνδρα! Οὐ γὰρ μόνον παρέδωκε τοῖς Ἰσραηλίταις πᾶν τὸ θέλημα τοῦ Θεοῦ ἐν τῷ σιναίῳ νόμῳ, ἀλλὰ καὶ τὸν ἔπειτα χρόνον συνεχῶς ὑπεμίμνησκεν αὐτοῖς τὸ ἁγιώτατον τοῦτο θέλημα· ὡμίλει πρὸς αὐτοὺς εἰς πᾶσαν περίπτωσιν, προέτρεπεν εἰς τὴν εὐσέβειαν, ἐδίδασκε τὴν λατρείαν, ἀπηγόρευε τῶν ἁμαρτημάτων. Τούτοις δὲ καὶ τὰ τελευταῖα τοῦ ἑαυτοῦ βίου ἀνέθηκεν· ἐν γὰρ τῷ ἐξιτηρίῳ καὶ ἐπικλῶντι λόγῳ πρὸς τοὺς Ἰσραηλίτας τῷ οὐρανῷ καὶ τῇ γῇ ἐδέετο αὐτῶν πιστῶν τῷ Θεῷ τῶν πατέρων εἶναι. Τοιοῦτον οὖν ὑψηλὸν ἔχων χαρακτῆρα, ὃς ἄκων διεγείρει πίστιν εἰς αὐτόν, καὶ ἀποδιώκει πᾶσαν ἀπάτης ὑπόνοιαν, διεπράξατο ἔτι εἰς στήριξιν τῆς θείας αὐτοῦ ἀποστολῆς πολυάριθμα θαύματα.

### §. 72. Θαύματα τοῦ Μωϋσέως.

I. Ταῦτα εἰς δύο διαιρετέα, ὧν τὰ μὲν ἐξετελέσθησαν δι' αὐτοῦ τοῦ Μωϋσέως, τὰ δὲ μόνον χάριν τοῦ Μωϋσέως τῇ ἀμέσῳ τοῦ Θεοῦ δυνάμει, τ. ε. εἰς μαρτύριον, ὅτι ὁ Μωϋσῆς ὄντως οὐκ ἀφ' ἑαυτοῦ ἐποίει, ἀλλ' ἕνεκα τῆς ἀπὸ τοῦ Θεοῦ ἀποστολῆς. Καὶ ἐκείνοις μὲν προσήκουσι σημεῖα, ὑπὸ τοῦ Μωϋσέως τελεσθέντα ενώπιον τῶν Ἰσραηλιτῶν πρεσβυτέρων ἐν Αἰγύπτῳ, τὴν εἰς αὐτὸν πίστιν αὐτῶν διεγείραντα· οἷα, ἡ μεταβολὴ τῆς ῥάβδου εἰς ὄφιν ἐνώπιον τοῦ Φαραώ· αἱ δέκα πληγαί, μετὰ ταῦτα συμβᾶσαι, ὧν ἑκάστη προείρητο ὑπὸ τοῦ Μωϋσέως, ἤρχετο δὲ καὶ ἐπεραιοῦτο κατὰ τὸν λόγον αὐτοῦ, πίπτουσα ἐπὶ τοὺς Αἰγυπτίους καὶ οὐκ ἐπὶ τοὺς Ἰσραηλίτας· ἡ διάβασις διὰ τῆς ἐρυθρᾶς θαλάσσης, διχοτομηθείσης διὰ τοὺς Ἰουδαίους τῇ τοῦ Μωϋσέως ῥάβ-

---

[162] Οἷα, π. χ. ἡ αἰγυπτία περὶ Μωϋσέως παράδοσις, ὑπὸ Ἀρταπάνου διασωθεῖσα. Βλ. παρ' Εὐσεβ. Εὐαγγελ. προπαρασκ. Θ', κεφ. κζ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δῳ, εἶτα δὲ καταπιούσης πάντας τοὺς Αἰγυπτίους· ἡ γλύκανσις ξύλῳ τῶν πικρῶν ναμάτων τῆς Μεῤῥᾶς· ἡ ἐκ τῆς πέτρας τοῦ ὄρους Χωρὴβ ἐξαγωγὴ ὕδατος· ἡ κατὰ Ἀμαληκιτῶν νίκη ἕνεκα τῆς τοῦ Μωϋσέως εὐχῆς κλπ. Ταῦτα δέ εἰσιν ἡ βάτος, ἐν ᾗ ὁ Θεὸς ηὐδόκησε φανῆναι τῷ Μωϋσῇ, καιομένη, ἀλλ' οὐ κατακαιομένη· ὁ νεφέλειος στῦλος, ὅς καθ' ἅπασαν τὴν ἐν τῇ ἐρήμῳ τῶν Ἑβραίων πορείαν ἐδείκνυε τὴν ὁδόν, ὥριζε τὸν τόπον καὶ χρόνον πρὸς ἀνάπαυσιν, ἐπεσκίαζε τὴν ἡμέραν, καὶ ἐφώτιζε τὴν νύκτα· τὸ μάννα, ἑκάστην πρωΐαν οὐρανόθεν κατερχόμενον, ὅπερ τὰς μὲν πέντε ἡμέρας τῆς ἑβδομάδος συνελέγετο κατὰ τὴν χρῆσιν ἑκάστης ἡμέρας, τὴν δὲ ἕκτην διπλάσιον, καὶ τὸ σάββατον μόνον ἀπὸ τῆς προτεραίας μένον ἀβλαβές· ὁ καπνός, ἡ ἀστραπή, ἡ βροντή, ἡ φλόξ, ὁ σεισμὸς καὶ ὁ τῶν σαλπίγγων φθόγγος, τὴν τοῦ Θεοῦ ἐμφαίνοντα παρουσίαν ἐπὶ τοῦ ὄρους Σινᾶ κατὰ τὴν παράδοσιν τοῦ νόμου· ἡ ποινὴ τῶν Ναδὰβ καὶ Ἀβιούδ, υἱῶν τοῦ Ἀαρών, ἕνεκα τῆς ἀνάψεως τοῦ θυμιάματος ἐκ πυρὸς ἀλλοτρίου· αἱ καταλαβοῦσαι ποιναὶ τὸν Κορέ, Δαθὰν καὶ Ἀβηρὼν σὺν τοῖς ὁμόφροσιν· αἱ ἀδιάλειπτοι ποιναὶ τὸ μὲν αἰφνηδίῳ πυρί, τὸ δὲ λιμῷ, τὸ δὲ ὄφεσι, χιλιάδας καταστρέψασαι Ἰσραηλιτῶν ἕνεκα γογγυσμοῦ, ἀπειθείας καὶ στάσεως κατὰ Μωϋσέως· ἡ ἴασις ἐκ τοῦ δήματος τῶν ὄφεων μόνῳ βλέμματι ἐπὶ τὴν χαλκῆν εἰκόνα τοῦ ὄφεως, ἀνιδρυθεῖσαν ὑπὸ τοῦ Μωϋσέως κατ' ἐντολὴν τοῦ Θεοῦ κτλ.

II. Τὴν δὲ ἱστορικὴν ἀξιοπιστίαν τῶν θαυμάτων τούτων βεβαιοῦσιν·

α'. Ἡ περὶ αὐτῶν μαρτυρία αὐτοῦ τοῦ Μωϋσέως, τοῦ διαδόχου αὐτοῦ Ιησοῦ τοῦ Ναυῆ καὶ τῶν ἑπομένων ἱερῶν Ἰουδαίων συγγραφέων. Καὶ ἡ μαρτυρία αὐτοῦ τοῦ Μωϋσέως πολλοῦ ἐστὶν ἀξία· περὶ τούτων γὰρ τῶν θαυμάτων λέγει κοινῇ ἐνώπιον ἁπάντων τῶν Ἰσραηλιτῶν, ὥσπερ ἐνώπιον αὐτοπτῶν, διὰ τούτων ἔπειθεν αὐτοὺς πιστοὺς τῷ Θεῷ τῶν πατέρων εἶναι, καὶ συνάμα ἐπετίμα διὰ τὴν ἀπείθειαν καὶ ἀχαριστίαν (Ἐξ. ιθ', 4· Δευτερ. λβ', καὶ ἀλ.). Πῶς οὖν θαῤῥήσειεν ὁ Μωϋσῆς οὕτως ἄγειν, εἰ μηδὲν τοιοῦτον ἐγένετο; πῶς δὲ τολμήσειε περὶ ἑαυτοῦ διηγεῖσθαι τοῖς συγχρόνοις τοιαῦτα θαυματικὰ ἔργα, ἅ τινα οὐ-

δαμῶς ἐποίει; Πῶς δὲ ἅπας οὗτος ὁ λαός, περὶ τὰς διακοσίας μυριάδας ὤν, τοσούτῳ ἀλόγιστος ἂν εἴη, ὥστε φανερωτάτῳ πιστεῦσαι ἐπινοήματι; Καὶ ὅμως οἱ Ἑβραῖοι ἐπίστευσαν τοῖς λόγοις τοῦ Μωϋσέως· παρέλαβον γὰρ ἐκ τῶν χειρῶν τοῦ ἑαυτῶν νομοθέτου πάσας τὰς αὐτοῦ βίβλους, ἐν αἷς ἀκριβῶς ἱστοροῦνται τὰ θαύματα αὐτοῦ, πρὸς δὲ καὶ μετὰ πλήρους πίστεως καὶ σεβασμοῦ. Τί οὖν τοῦτο δηλοῖ; Ἔστω, ὁ Μωϋσῆς ἐν τῇ πεντατεύχῳ ἐθώπευέ πως τοὺς Ἰσραηλίτας, ἐπιθυμῶν πρὸς ἑαυτὸν αὐτοὺς προσελκύσαι. Ἀλλ' ἀντὶ τοῦ θηρεύειν τὴν εὔνοιαν αὐτῶν θωπείᾳ, ἀκαταπαύστως ἐπιπλήττει αὐτοῖς τὸ σκληροτράχηλον καὶ τὸ βάναυσον τῆς καρδίας, τὴν πρὸς τὸν Θεὸν ἀχαριστίαν, τὰς στάσεις, τὴν εἰδωλολατρείαν. Καὶ οὔτε τῆς φυλῆς τοῦ Ῥουβὶν ἐφείσατο, ἀκριβῶς περιγράψας τὴν τοῦ γενάρχου αὐτῆς ἁμαρτίαν, ἧς ἕνεκεν ὑπέκυψε τοσούτῳ δυσφορήτῳ ὀνειδισμῷ ἀπὸ τοῦ παροξυνθέντος γεννήτορος (Γεν. λε', 22· μθ' 3)· οὔτε τῆς τοῦ Ἰούδα, ἐξεικονίσας τὸ ἁμάρτημα αὐτοῦ, ἀναιδῆ ἀποτελέσματα ἔχον (Γενεσ. λη')[163]. Εἰ δὲ οἱ Ἰουδαῖοι, καίπερ τούτων οὕτως ἐχόντων, μετὰ μεγίστου σεβασμοῦ παρέλαβον παρὰ τοῦ Μωϋσέως τὴν Πεντάτευχον, δῆλον, ὅτι ἐντελῶς ὡμολόγουν τὸ ὀρθὸν παντὸς τοῦ περιεχομένου ἐν ταῖς βίβλοις ταύταις, καὶ τῇ παραδοχῇ αὐτῶν ἐμαρτύρουν τὸ ἀξιόπιστον πάντων τῶν ὑπὸ τοῦ Μωϋσέως περιγεγραμμένων θαυμάτων. Ἀξία δὲ λόγου ἐστὶν ἡμῖν καὶ ἡ τοῦ διαδόχου τοῦ Μωϋσέως Ἰησοῦ τοῦ Ναυῆ μαρτυρία, τὸ μέν, ὥσπερ μαρτυρία αὐτόπτου πάντων τῶν θαυμάτων τούτων, τὸ δέ, διότι ὑπεστηρίχθη ὑπ' ἀπείρων ἄλλων αὐτοπτῶν. Παρὰ τῷ τάφῳ κείμενος Ἰησοῦς ὁ τοῦ Ναυῆ, συνάγει πάσας τὰς φυλὰς τοῦ Ἰσραὴλ εἰς Σηχέμ, καί, ἐξορκίζων πιστὰς τῷ Κυρίῳ εἶναι, ὑπομιμνήσκει τὰ ὑπὲρ αὐτῶν ὑπὸ τοῦ Θεοῦ τελεσθέντα σημεῖα καὶ ἐνώπιον αὐτῶν ἐν Αἰγύπτῳ καὶ τῇ ἐρήμῳ· „ὁ δὲ λαὸς ἀποκριθεὶς εἶπε· μὴ γέ-

---

[163] Οὐχ οὕτω γράφουσι τὴν ἱστορίαν οἱ συνήθεις ἱστορικοί· ὁ Φλάβιος, π. χ., ἀπεσιώπησεν ἐν ταῖς Ἀρχαιολογίαις τῶν Ἑβραίων καὶ περὶ τῆς αἱμομυξίας τοῦ Ἰούδα τῇ Θάμαρ καὶ περὶ τῆς προσκυνήσως τῶν Ἰσραηλιτῶν τῷ χρυσῷ μόσχῳ καὶ περὶ τῆς ἀναισχυντίας αὐτῶν ταῖς θυγατράσι Μωὰβ (Ἀριθ. κε').

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοιτο ἡμῖν καταλείπειν Κύριον, ὥστε λατρεύειν θεοῖς ἑτέροις. Κύριος γὰρ ὁ Θεὸς ἡμῶν ἐστιν· αὐτὸς ἀνήγαγεν ἡμᾶς καὶ τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δούλων, καὶ ὃς ἐποίησεν ἡμῖν τὰ σημεῖα τὰ μεγάλα ταῦτα· (Ναυῆ κδ', 16, 17)". Ἀξία δε λόγου καὶ ἡ τῶν ἐπακολουθησάντων ἰουδαίων συγγραφέων μαρτυρία· αὕτη γὰρ ἐνδείκνυσιν ἡμῖν, ὅτι ἐπὶ Μωϋσέως μόνον καὶ Ἰησοῦ τοῦ Ναυῆ καὶ μετ' αὐτοὺς οἱ Ἑβραῖοι ἀδιαλήπτως ἐπίστευον τοῖς θαύμασι τοῦ Μωϋσέως, καὶ τὴν περὶ αὐτῶν μνήμην παρεδίδοσαν ἀπὸ γένους εἰς γένος· Καὶ γὰρ περὶ αὐτῶν λέγεται ἐν τῇ βίβλῳ τῶν Κριτῶν (β', 1-12· ς', 9-13)· αὐτὰ ψάλλει ἔπειτα ὁ ἐστεμμένος Ψαλμῳδὸς τοῦ Ἰσραὴλ (Ψαλ. οζ', 12-56· ρε', 5-25· ρλε', 10-23 κτλ.), καὶ τὰς θεοπνεύστους αὐτοῦ ᾠδὰς πολλοὺς αἰῶνας ἀντήχουν οἱ τοῦ Ἱεροσολημιτικοῦ ναοῦ θόλοι εἰς ἐπήκοον πολλῶν διαδοχικῶν γενεῶν τοῦ Ἰουδαίου λαοῦ ἡ περὶ αὐτῶν διήγησις ἀπαντᾷ ἐν τῇ βίβλῳ Ἰουδὴθ (ε', 11-16), καὶ ἐν τῇ τῆς Σοφίας Σολομῶντος (ι', 15-21)· αὐτὰς οὐ σπανίως ὑπομιμνήσκουσι τῷ ἀγνώμονι Ἰσραηλιτικῷ λαῷ καὶ οἱ Προφῆται (Ἐξ. να', 9-11· ξγ', 11-15· Ἱερ. λβ', 20, 21).

β'. Διατάξεις τινές, ἑορταὶ καὶ ἱεροὶ ὕμνοι τῶν Ἑβραίων, καὶ εἰς ἡμᾶς διασωθέντες, ὥσπερ ζῶντα μνημεῖα τῶν τοῦ Μωϋσέως θαυμάτων καὶ ἄλλων συγχρόνων αὐτῷ γεγονότων. Καὶ γὰρ μέχρι καὶ νῦν οἱ Ἰουδαῖοι τελοῦσι τὸ ἑαυτῶν πάσχα, ὅπερ σαφῶς ἐμφαίνει αὐτοῖς τὴν ἐξ Αἰγύπτου αὐτῶν ἔξοδον καὶ τὴν διὰ τῆς ἐρυθρᾶς θαλάσσης διάβασιν· καὶ νῦν ἔτι ᾄδουσιν εἰς δόξαν τοῦ Θεοῦ τῶν πατέρων τὴν ὑψηλὴν τοῦ Μωϋσέως ᾠδήν, ψαλεῖσαν ὑπὸ τῶν προπατόρων μετὰ τὴν διὰ τῆς θαλάσσης ταύτης διάβασιν. Ἡ δὲ τῆς πεντηκοστῆς ὑπ' αὐτῶν τελουμένη ἑορτὴ ἀναμιμνήσκει τὴν σιναίαν νομοθεσίαν, καὶ ἡ τῆς σκηνοπηγίας τὴν θαυμασίαν αὐτῶν πορείαν ἐν τῇ ἀραβικῇ ἐρήμῳ. Πολλὰ δὲ καὶ ἄλλα μνημεῖα, καίπερ μέχρι νῦν οὐ διασωθέντα, ἐπὶ πολὺ ὑπεμίμνησκον τοῖς ἀπογόνοις τὰ θαυματικὰ γεγονότα, ἐπὶ Μωϋσέως γενόμενα· οἷα αἱ δύο πέτριναι πλάκες, ἐφ' ὧν ἐγκεχαραγμέναι ἦσαν αἱ δέκα ἐντολαί, ἡ χρυσῆ στάμνα σὺν τῷ θαυματικῷ μάννα καὶ τῇ θαυματικῇ τοῦ Ἀαρὼν ῥάβδῳ, θείᾳ ἐπιταγῇ διατηρηθεῖσαι ἐν τῇ Σκηνῇ „εἰς σημεῖον" τῶν ἐπελευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σομένων γενεῶν (Ἐξ. ιϛ', 33-36. Ἀριθ. ιζ', 10), „αἱ ἐλαταὶ λεπίδες", κατεσκευασμέναι „ἐκ τῶν χαλκῶν πυρείων" Κορέ, Δαθὰν καὶ Ἀβηρών, γενόμεναι „περίθεμα τῷ θυσιαστηρίῳ καὶ εἰς σημεῖον τοῖς υἱοῖς Ἰσραὴλ (Ἀριθ. ιϛ', 37-40)", ὁ χαλκοῦς ὄφις, ὑπὸ Μωϋσέως ἀνιδρυθεὶς εἰς ἴασιν τῶν δηχθέντων ὑπὸ τῶν ὄφεων, καὶ μέχρις Ἑζεκίου, βασιλέως τοῦ Ἰσραήλ, διασωθείς.

γ'. Ἅπασα ἡ τοῦ Ἰσραηλιτικοῦ λαοῦ ἱστορία ἀπὸ τῆς ἐξόδου ἐξ Αἰγύπτου μέχρι τοῦ θανάτου Μωϋσέως· αὕτη γὰρ ἐκτίθησι πράξεις, διὰ τῶν θαυμάτων τοῦ Μωϋσέως τελεσθείσας. Πῶς δὲ οἱ Ἰουδαῖοι ἐνεπιστεύσαντο τῷ Μωϋσῇ, καί, καίτοι ἀσθενεῖς καὶ κεκμηκότες ἐκ τῶν βαρειῶν ἐν Αἰγύπτῳ ἐργασιῶν, ἀπετόλμησαν μετ' αὐτοῦ ἐλθεῖν, ἵνα ἀγωνίσονται πρὸς ἔθνη πολυάριθμα καὶ πολεμικὰ ὑπὲρ τῆς ἐπαγγελθείσης γῆς; Εἰ μὴ πάμπαν ἀδύνατόν ἐστίν, ὅμως λίαν δύσκολον ἑρμηνεῦσαι τὸ γεγονὸς τοῦτο, ἐὰν μὴ ἀποδεξώμεθα, ὅτι ὁ Μωϋσῆς προέπεισε τοὺς Ἰσραηλίτας τοῖς ἑαυτοῦ θαύμασι, τὴν ἰδίαν ἀρωγὴν τοῦ Θεοῦ ὑπισχνούμενος. Πῶς δὲ ὁ Αἰγύπτιος βασιλεὺς συνήνεσεν ἄνευ πάσης αἱματοχυσίας αἴφνης στερηθῆναι περὶ τὰς διακοσίας μυριάδας τῶν ἑαυτοῦ ὑπηκόων, ἐκτελούντων πρὶν πάσας τὰς βαρείας ἐργασίας ἐν τῷ βασιλείῳ αὐτοῦ; Τοῦτο ἐντελῶς ἀνερμήνευτόν ἐστιν, ἐὰν μὴ ἀποδεξώμεθα, ὅτι ὁ ἡγούμενος τοῦ Ἰσραὴλ ἐξεβιάσατο τῷ Φαραὼ τὴν λυπηρὰν αὐτῷ ταύτην συναίνεσιν διὰ τῶν δεινῶν αὐτοῦ θαυμάτων. Πῶς ἅπας ὁ Ἑβραῖος λαὸς τεσσαράκοντα ὅλα ἔτη ὑπάρχειν ἠδύνατο ἐν τῇ ἀπόρῳ ἀραβικῇ ἐρήμῳ, μηδὲν σχεδὸν παρεχούσῃ πρὸς βρῶσιν καὶ πόσιν, ἐὰν οὐκ ὀρθὸν ᾖ, ὅτι ἐτρέφετο ἀδιαλείπτως τῷ οὐρανόθεν καταπίπτοντι θαυματικῷ μάννα, καὶ ἐλάμβανεν ἐν ἀνάγκῃ πόσιν ἐκ πετρῶν; Πῶς ὁ Ἰσραηλιτικὸς λαός, στασιώδης καὶ ἀπειθὴς ὤν, εἰρηνικῶς παρέλαβε παρὰ τοῦ Μωϋσέως αὐστηροὺς νόμους, διὰ πᾶσαν σχεδὸν ἁμαρτίαν θάνατον ἀπειλοῦντας; Πῶς ὁ λαὸς οὗτος, πολλάκις ἐπαναστὰς κατὰ τοῦ Μωϋσέως, οὐκ ἐστέρησεν αὐτὸν τῆς ἀρχῆς καὶ τῆς δυνάμεως, ἀλλ' ἐκ νέου πλήρει ὑπακοῇ παρεδόθη αὐτῷ; Τὰ θαύματα, μόνα τὰ θαύματα τοῦ Μωϋσέως ἠδύναντο ταῦτα πρᾶξαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δ'. Μνεία τούτων τῶν θαυμάτων διεσώθη καὶ παρὰ τοῖς ἐθνικοῖς. Ἰώσηπος γὰρ ὁ Φλάβιος ἐν τῷ κατὰ Ἀπίωνος συγγράμματι μαρτυρεῖ, ὅτι αὐτοὶ οἱ Αἰγύπτιοι ἄνδρα θαυμαστὸν καὶ θεῖον τὸν Μωϋσέα ἡγοῦντο*[164]). *Ἀρτάβανος δὲ ὁ ὑπ' Εὐσεβείου ἐπαινούμενος εἰσάγει παράδοσιν, ἐν τοῖς Ἱεραπολίταις διασωθεῖσαν, περὶ τῆς διαβάσεως τῶν Ἰσραηλιτῶν διὰ τῆς ἐρυθρᾶς θαλάσσης, ἐν πᾶσι συνᾴδουσαν τῇ Μωσαϊκῇ διηγήσει*[165]· *καὶ Νουμήνιος ὁ Πυθαγόρειος φιλόσοφος διηγεῖται, ὅτι οἱ Αἰγύπτιοι, καταπαῦσαι βουλόμενοι τὰ τραύματα, οἷς κατέφθειρεν αὐτοὺς Μωϋσῆς, ἀνὴρ λίαν ἰσχυρὸς τῇ προσευχῇ ἐνώπιον τοῦ Θεοῦ, ἀντέθηκαν αὐτῷ δύο τῶν ἐνδόξων μάγων Ἰάννιον καὶ Ἄμβριον*[166]· *ὁ Πλίνιος*[167], *Ἀπολλώνιος ὁ Μολώνιος*[168], *Κέλσος*[169] *καὶ ἄλλοι διηγοῦντο τήν δε τὴν παράδοσιν, Μωϋσῆς εἴη μάγος, ὑπερβαίνων πάντας τοὺς μάγους τῇ τέχνῃ*[170].

III. *Τοσούτῳ δὲ πασίδηλόν ἐστι καὶ τὸ ἀξιόπιστον τῶν τοῦ Μωϋσέως θαυμάτων, ὥσπερ ὑπερφυσικῶν γεγονότων·*

*α'· ἐξ αὐτῆς τῆς οὐσίας αὐτῶν· πάντα γὰρ ταῦτα ἀναντιῤῥήτως ὑπερβαίνουσι τὰς δυνάμεις καὶ τὴν ἰσχὺν τοῦ ἀνθρώπου, καὶ οὐδαμῶς γενέσθαι ἠδύναντο φυσικῶς οἷς μηχανήμασιν ὑπὸ Μωϋσέως ἐτελοῦντο. Μόνῳ τῷ λόγῳ αὐτοῦ ἢ μόνῃ τῇ νεύσει ἅπασα ὑπῆκεν ἡ φύσις, ὅτε κατέφθειρε τὴν Αἴγυπτον ταῖς δειναῖς δέκα πληγαῖς· ὑπῆκον δέ, ειδικῶς, ὁ οὐρανός, καταπέμπων καθ' ἑκάστην μάννα θαυματικῆς ἰδιότητος εἰς τροφὴν τῶν Ἰσραηλιτῶν ἐν τῇ ἐρήμῳ· ἡ γῆ, πολλάκις ἀνοίξασα τοὺς ἑαυτῆς κόλπους, καὶ καταπιοῦσα τοὺς ἐνόχους· ἡ θάλασσα, τὸν ἑαυτῆς ἀποκαλύψασα βυθὸν πρὸς διάβασιν τῶν Ἰσραηλιτῶν, καὶ τάφος καταστᾶσα τοῖς καταδιώκουσιν αὐτοὺς Αἰγυπτίοις· αἱ πέτραι,*

---

[164] *Κατὰ Ἀπίων. α', κεφ. λα'.*

[165] *Προπαρασκ. εὐαγγελ. θ', κεφ. κζ'.*

[166] *Παρ' εὐσεβ προπαρασκ. εὐαγγελ. θ', κεφ. η'.*

[167] Histor. Natural. XXX, cap. 2.

[168] *Παρ' Ἰωσήπ. Φλαβ. κατὰ Ἀπίων. β', κεφ. ς'.*

[169] *Παρ' Ὠριγέν. κατὰ Κέλσ. α', ἀρ.* 26.

[170] *Ἀπολογίαν ὑπὲρ ἑκάστου τῶν θαυμάτων τοῦ Μωϋσέως συνέταξεν ὁ Γλαῖρος ἐν τῷ συγγράμματι* les livre saints vengés, tom. I, Paris 1845.

ἐξ ἑαυτῶν ὕδωρ ἀναβλύζουσαι. Πῶς οὖν δυνατόν ἐστι νομίζειν, ὅτι ταῦτα ἐξετελοῦντο ἄνευ ἰδίας τοῦ Θεοῦ συνεργείας;

β'. Ἐκ τοῦ τρόπου τῆς διαπράξεως αὐτῶν καὶ τῶν περιστάσεων, αἷς ἐγένοντο. Ὁ Μωϋσῆς ἐποίει τὰ θαύματα ἄνευ πάσης προπαρασκευῆς μόνῳ τῷ λόγῳ ἢ νεύσει τῆς χειρὸς ἢ προσευχῇ πρὸς τὸν Θεόν· ἐπετέλει δὲ οὐ κρύφα ἐνώπιον ὀλίγων μαρτύρων, ἀλλὰ κοινῇ, τὰ μὲν ἐνώπιον δύο ἐθνῶν τοῦ Αἰγυπτίου καὶ τοῦ Ἰσραηλιτικοῦ, τὰ δὲ ἐνώπιον παντὸς τοῦ Ἰσραὴλ ἢ τοὐλάχιστον τῶν πρεσβυτέρων αὐτοῦ. Οὐδ' ἐζήτει ἐπὶ τούτῳ ἰδίους τινὰς τόπους, οὐδὲ προσεδόκα περιστάσεις, ἀλλ' ἀεὶ καὶ πανταχοῦ θαύματα ἐποίει, ἀνάγκης μόνον ἐπικειμένης. Καί τινα τῶν θαυμάτων τούτων (τὸ μάννα, ὁ τῆς νεφέλης στῦλος) διετέλουν τεσσαράκοντα ὅλα ἔτη ὄντα ἐνώπιον ἁπάντων τῶν Ἰσραηλιτῶν· πάντα δὲ καθόλου λίαν διάφορα πρὸς ἄλληλα ἦσαν, δι' οὗ ἀναιρέπεται πᾶσα ὑπόνοια νοθείας.

γ'. Ἐκ τοῦ τέλους αὐτῶν. Τὸ τέλος τῶν θαυμάτων τοῦ Μωϋσέως ἦν δεῖξαι, ὅτι αὐτὸς μὲν ἀληθὴς τοῦ Θεοῦ ἀπόστολός ἐστιν, ὁ δὲ Κύριος ὁ ἀληθὴς Θεός· ἄρα καὶ ἡ διὰ Μωϋσέως δοθεῖσα τοῖς Ἰσραηλίταις θρησκεία ἀληθής ἐστι θεία ἀποκάλυψις. „Ἐὰν μὴ πιστεύσωσί μοι μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου· ἐροῦσι γάρ, ὅτι οὐκ ὦπταί σοι Κύριος ὁ Θεός, τί ἐρῶ πρὸς αὐτούς"; ἠρώτα ὁ Μωϋσῆς τὸν Θεόν, πεμπόμενος ὑπ' αὐτοῦ τοὺς Ἰσραηλίτας ἐξ Αἰγύπτου ἐξαγαγεῖν. Ὁ Θεὸς τότε, δύο ἐνώπιον αὐτοῦ ποιήσας θαύματα, ἔφη. „Ἐὰν μὴ πιστεύσωσί σοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσί σοι τῆς φωνῆς τοῦ σημείου τοῦ ἐσχάτου (Ἐξ. δ', 1-8)". Καὶ ἡ πεῖρα ταχέως ἐμαρτύρησεν, ὅτι, ὅτε ὁ Μωϋσῆς „ἐποίησε τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ, ἐπίστευσεν ὄντως ὁ λαὸς αὐτῷ, καὶ ἐχάρη, ὅτι ἐπεσκέψατο ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ (δ', 30, 31)". Μετὰ δὲ αὖθις εἶπεν ὁ Θεὸς τῷ Μωϋσῇ· „ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραώ, καὶ πληθυνῶ τὰ σημεῖά μου καὶ τὰ τέρατά μου ἐν γῇ Αἰγύπτῳ ..., καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος (ζ', 3-5)"· καὶ κατωτέρω· „εἴσελθε πρὸς Φαραώ· ἐγὼ γὰρ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἑξῆς ἐπέλθῃ τὰ σημεῖά μου ταῦτα ἐπ' αὐτούς·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅπως διηγήσησθε εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν, καὶ τοῖς τέκνοις τῶν τέκνων ὑμῶν, ὅσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις, καὶ τὰ σημεῖά μου, ὅσα ἐποίησα ἐν αὐτοῖς, καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος (Ἐξ. ι΄, 1-3)". Ἀλλ' ἡ εἰδικωτέρα τῶν τοῦ Μωϋσέως θαυμάτων θεωρία ἐνδείκνυσιν, ὅτι ἕκαστον αὐτῶν ἐκτὸς τοῦ κοινοῦ τούτου τέλους εἶχε καὶ εἰδικὰ τέλη, ἅτινα ἀεὶ ἦσαν τῷ λαῷ τοῦ Θεοῦ εὐεργετικώτατα ἢ καὶ ἀναπόδραστα (ἡ διάβασις, π. χ. διὰ τῆς ἐρυθρᾶς θαλάσσης, τό μάννα, ὁ χαλκοῦς ὄφις κτλ).

§. 73. *Περὶ τῶν προφητειῶν τοῦ Μωϋσέως.*

Ὁ Μωϋσῆς μέγας ἦν θαυματουργὸς καὶ μέγας προφήτης. Ἐκ δὲ τῶν πολλῶν αὐτοῦ προφητειῶν ἐπαρκεῖ τινα δεῖξαι.

α΄. Προεῖπε τὰ πλείω τῶν θαυμάτων, ἃ ἐν Αἰγύπτῳ καὶ τῇ ἐρήμῳ ἐποίησεν, οἷον, 1, ἑκάστην τῶν δέκα πληγῶν τῶν Αἰγυπτίων, τὴν ἀρχὴν καὶ τὸ τέλος αὐτῶν (Ἐξ. ζ΄-ια΄)· „τάδε λέγει Κύριος· ἐν τούτῳ γνώσῃ, ὅτι ἐγὼ Κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα (ζ΄, 17). Καὶ ἐποίησαν οὕτω Μωϋσῆς καὶ Ἀαρών, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος ..., καὶ μετέβαλε πᾶν ὕδωρ τὸ ἐν τῷ ποταμῷ εἰς αἷμα (20)"· 2, ἡ ὑπὸ τοῦ Θεοῦ ἀποστολὴ τῆς ὀρτυγομήτρας εἰς ἔδεσμα τῶν Ἰσραηλιτῶν· „καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· εἰσακήκοα τὸν γογγυσμὸν τῶν υἱῶν Ἰσραήλ· λάλησον πρὸς αὐτούς, λέγων· τὸ πρὸς ἑσπέραν ἔδεσθε κρέα ..., καὶ γνώσεσθε, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἀνέβη ὀρτυγομήτρα, καὶ ἐκάλυψε τὴν παρεμβολὴν (ις΄, 11-13)"· 3, τὸν θάνατον πάντων τῶν Ἰσραηλιτῶν ἐν τῇ ἐρήμῳ ἀπὸ εἰκοσαετοῦς, ἐκτὸς Ἰησοῦ τοῦ Ναυῆ καὶ Χάλεβ· „ἐν τῇ ἐρήμῳ ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν, καὶ πᾶσα ἡ ἐπισκοπὴ ὑμῶν, καὶ πάντες οἱ κατηριθμημένοι ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, ὅσοι ἐγόγγυσαν ἐπ' ἐμοί ...· ἀλλ' ἢ Χάλεβ Ἰεφοννή, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ (Ἀριθ. ιδ΄, 29, 30)", καὶ ὄντως ἐπὶ τῆς τρίτης ἀπαριθμήσεως τοῦ λαοῦ, ἐν ταῖς πεδιάσι Μωὰβ παρὰ τῇ Ἱεριχὼ γενομένης, ἤδη „οὐκ ἦν ἄνθρωπος τῶν ἐπεσκεμμένων ὑπὸ Μωϋσῆ καὶ Ἀαρὼν ..., ἐν τῇ ἐρήμῳ Σινᾶ ... καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς, πλὴν Χάλεβ υἱὸς Ἰεφοννή,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ Ἰησοῦς υἱὸς Ναυῆ (Ἀριθ. κς', 64, 65)"· δ'. τὴν ἀτυχῆ μοῖραν τοῦ Κορὲ καὶ πάντων τῶν αὐτῷ ὁμοφρόνων (ις', 28-32) κτλ. Ἐκ πρώτης δὲ ὄψεως ἐπὶ τὰς προῤῥήσεις ταύτας, τὴν ὑπόθεσιν αὐτῶν, τὸ οριστὸν καὶ τὴν ἐκπλήρωσιν, ἀποκαλύπτεται ἡ εντελὴς εἰς αυτας ἀξιοπιστία.

β'. Δοὺς τοῖς Ἰσραηλίταις τὸν νόμον ἑορτάζειν τὸ ἔτος τῶν σαββάτων (τ. ε. πᾶν ἕβδομον ἔτος), μὴ ἀροτριᾶν ἐν αὐτῷ τοὺς ἀγρούς, μηδὲ τοὺς ἀμπελῶνας τρυγᾶν, καὶ ὅ τι ἡ γῆ ἀφ' ἑαυτῆς βλαστάνει παρέχειν τοῖς δούλοις καὶ ζώοις (Λευϊτ. κε', 4-8), ἐκ προσώπου τοῦ Θεοῦ λέγει· „ἐὰν δὲ λέγητε· τί φαγόμεθα ἐν τῷ ἔτει τῷ ἑβδόμῳ (τούτῳ), ἐὰν μὴ σπείρωμεν, μηδὲ συναγάγωμεν τὰ γεννήματα ἡμῶν; καὶ ἀποστελῶ τὴν εὐλογίαν μου ὑμῖν ἐν τῷ ἔτει τῷ ἕκτῳ, καὶ ποιήσει τὰ γεννήματα αὐτῆς εἰς τὰ τρία ἔτη· καὶ σπερεῖτε τὸ ἔτος τὸ ὄγδοον, καὶ φάγεσθε ἀπὸ τῶν γεννημάτων παλαιὰ ἕως τοῦ ἔτους τοῦ ἐννάτου· ἕως ἂν ἔλθῃ τὸ γέννημα αὐτῆς φάγεσθε παλαιὰ παλαιῶν (20-22)". Καὶ τοῦτο δὲ ἔν τινι σημασίᾳ τὸ θαῦμα, καθ' ὃ πᾶν ἕκτον ἔτος μετὰ τὸ σαββάτιον ἡ ἰουδαία γῆ ἀφθόνους ἔφερε καρπούς, επαρκοῦντας ἐπὶ τρία ὅλα ἔτη, διήρκεσεν αἰῶνάς τινας· τὸ δὲ σαββάτιον ἔτος οἱ Ἑβραῖοι ἑώρταζον μέχρι τοῦ ἐσχάτου χρόνου (α'. Μακκ. ς', 49), οὗ ἕνεκα, κατὰ τὴν μαρτυρίαν τοῦ Φλαβίου, Ἀλέξανδρος ὁ Μακεδών, εἶτα δὲ οἱ Ῥωμαῖοι, τὴν Παλαιστίνην καταλαβόντες, οὐκ ἐλάμβανον παρὰ τῶν Ἰουδαίων αἰτήσει αὐτῶν φόρους τὰ σαββάτια ἔτη [171]. Τίς οὖν ἠδύνατο τοῖς Ἰσραηλίταις τοιοῦτον δοῦναι νόμον; τίς ἠδύνατο αὐτοῖς ὑπισχνεῖσθαι, ὅτι ἕκαστον ἕκτον ἔτος ἡ γῆ αὐτῶν οἴσει ἀφθονώτατον θέρος; τίς προϊδεῖν τοῦτο ἠδύνατο; Ἔστω, ὁ Μωϋσῆς καὶ μόνος ἐγίνωσκε τὴν καρποφορίαν τῆς Παλαιστίνης· ἀλλ' ἐγίνωσκεν ὡσαύτως, ὅτι συνεχῶς ἄκαρπος αὐτὴ ἦν, καὶ ἐπ' αὐτῆς ἐμαίνετο λιμός, ὥσπερ αὐτὸς περιγράφει (Γεν. ιβ', 10· κς', ι· μβ', 5· μζ', 4). πῶς δὲ ἐθάῤῥησε τοὺς Ἰσραηλίτας ἐπιβεβαιῶσαι, ὅτι ὡρισμένους χρόνους ἡ γῆ αὐτῶν ἀφεύκτως καρποφορωτάτη ἔσται, ὅτι ῥητῶς τὸ ἕκτον ἔτος μετὰ τὸ σαββάτιον προσοίσει αὐτοῖς καρ-

---

[171] Ἀρχαιολ. ια', κεφ. η'.· ιδ', κεφ. ι'.

πούς ἐπὶ τρία ὅλα ἔτη, καὶ οὗ ἕνεκα τὸ ἕβδομον ἔτος οὐδὲν οφείλουσιν οἱ Ἑβραῖοι σπείρειν; Ταῦτα προϊδεῖν ἠδύνατο καὶ ἐγγυηθῆναι μόνος, οὗ ἐν τῇ δεξιᾷ ἡ ἐπὶ τῆς φύσεως ἐξουσία, καὶ ὃς μόνος οἷός ἐστιν ἐκτελέσαι ὁμοίαν προφητείαν.

γ΄. ὁ Μωϋσῆς ὑπισχνεῖτο τοῖς Ἰσραηλίταις, ὅτι ποτὲ ὁ Θεὸς ἀναστήσει αὐτοῖς Προφήτην, αὐτῷ ὅμοιον· „Προφήτην ἐκ μέσου σου ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμέ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε (Δευτερ. ιη΄, 15)“. Οὔπω δὲ λέγοντες, τίνι κυρίως προσήκει ἡ προφητεία αὕτη, ὀφείλομεν ὁμολογῆσαι, ὅτι ἀφ᾽ ἑαυτοῦ ὁ Μωϋσῆς οὐκ ἠδύνατο αὐτὴν ἐκφράσαι· τ. ε. οὐκ ἠδύνατο κατὰ τοὺς φυσικοὺς λογισμοὺς ὑπισχνεῖσθαι τοῖς Ἰουδαίοις, ὅτι παρ᾽ αὐτοῖς φανήσεται, προϊόντος τοῦ χρόνου, ἕτερος ἀληθὴς προφήτης· ἡ γὰρ ἐμφάνισις ἀληθῶν προφητῶν ἄηθες, ὑπερφυσικόν ἐστι, καὶ ὅλως ἀπὸ μόνου τοῦ Θεοῦ ἐξαρτᾶται. Ἄρα ἐκ μόνου τούτου τοῦ χαρακτηριστικοῦ ἀδύνατον μὴ ἐνταῦθα ἀληθῆ εἶναι προφητείαν. Ἀλλ᾽ ἐπειδὴ πάντων τῶν ἔπειτα προφητῶν ἐν τῷ Ἰσραὴλ μόνος ὁ Μεσσίας, Θεάνθρωπος, ἐν τῇ κυρίᾳ σημασίᾳ, τῷ Μωϋσῇ ὅμοιος ἦν κατὰ τὸ μεσσίτης εἶναι μεταξὺ Θεοῦ καὶ ἀνθρώπου, λυτρωτὴς τοῦ νέου Ἰσραὴλ ἐκ τῆς πνευματικῆς Αἰγύπτου, νομοθέτης καὶ βασιλεὺς εἴτε ὑπέρτατος Δεσπότης, καὶ κατὰ τὴν ἄπειρον πληθὺν τῶν θαυμάτων· δηλοῖ, ὅτι ὀρθῶς ὁ Μωϋσῆς ἀπεφήνατο τὴν προφητείαν ταύτην ιε΄, αἰῶνας πρὸ τοῦ γεγονότος [172].

δ΄. Ἀσπαζόμενος πρὸ τῆς τελευτῆς τοὺς Ἰσραηλίτας ὁ Μωϋσῆς βεβαιοῖ αὐτούς, ὅτι ἐὰν πιστοὶ τῷ Θεῷ τῶν πατέρων ἐμμείνωσιν, „ἐὰν ἀκοῇ εἰσακούσωσι Κυρίου τοῦ Θεοῦ αὐτῶν, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ“, καταπέμψει ὁ Θεὸς ἐπ᾽ αὐτοὺς πάσας τὰς αὐτοῦ εὐλογίας, ποιήσει αὐτοὺς λαὸν εὐδαιμονέστατον ἐπὶ τῆς γῆς, ὑποτάξει αὐτοῖς τοὺς αὐτῶν ἐχθρούς, καὶ ἐκτελέσει ὑπὲρ τοῦ πιστοῦ αὐτοῦ λαοῦ τοιαῦτα σημεῖα καὶ θαύματα, οἷα καὶ ἐν Αἰγύπτῳ καὶ τῇ ἐρήμῳ ὑπὲρ αὐτοῦ ἐποίει· τοῦτο δὲ ἔργῳ ἐκπεπλήρωται ἐπὶ Ἰησοῦ του

[172] Βλ. Χριστ. ἀναγν, 1831, XLI, 290: προφητεία τοῦ Μωϋσέως περὶ ὁμοίου αὐτῷ προφήτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



Ναυῆ, Σαμψών, Γεδεών, Ἐζεκίου καὶ ἐπὶ ἄλλων. Ἐὰν ὅμως „μὴ εἰσακούσωσι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ“, ἐὰν καταλίπωσι τὸν Θεὸν ἑαυτῶν, καταστρέψουσιν αὐτοὺς πᾶσαι αἱ ἀραὶ καὶ πληγαὶ τῆς οὐρανίας δικαιοσύνης, ἐπάξει ἐπ᾽ αὐτοὺς ὁ Κύριος ἐχθροὺς καὶ μάλιστα „ἔθνος μακρόθεν ἐπ᾽ ἐσχάτου τῆς γῆς, ὡσεὶ ὅρμημα ἀετοῦ (οἱ Ῥωμαῖοι), ὅπερ ἐκτρίψει αὐτοὺς ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν, καθαιρέσει τὰ τείχη αὐτῶν τὰ ὑψηλὰ καὶ τὰ ὀχυρά“, κακώσει καὶ καταισχυνεῖ αὐτούς, ὥστε „ἁπαλὴ καὶ τρυφερὰ γυνὴ καταφάγεται κρυφῇ τὸ ἑαυτῆς τέκνον διὰ τὴν ἔνδειαν πάντων· καὶ τότε παραδοξάσει Κύριος τὰς πληγὰς τὰς μεγάλας καὶ θαυμαστὰς καὶ νόσους πονηράς, καὶ καταλειφθείσονται ἐν ἀριθμῷ βραχεῖ, καὶ ληφθήσονται ἐκ γῆς τῆς πατρῴας, καὶ ἀποστρέψει αὐτοὺς Κύριος εἰς Αἴγυπτον ἐν πλοίοις, καὶ παραθήσονται ἐκεῖ τοῖς ἐχθροῖς αὐτῶν εἰς παῖδας καὶ εἰς παιδίσκας· καὶ διασπερεῖ αὐτοὺς Κύριος ὁ Θεὸς εἰς πάντα τὰ ἔθνη ἀπ᾽ ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς, καὶ ἔσονται ἐκεῖ ἐν αἰνίγματι καὶ ἐν παραβολῇ, καὶ δώσει αὐτοῖς Κύριος ἐκεῖ καρδίαν ἀθυμοῦσαν, καὶ ἐκλείποντας ὀφθαλμούς, καὶ τηκομένην ψυχὴν κτλ. (Δευτερ. κη΄, παρ. λβ΄, καὶ Λευϊτ. κς΄.)“. Πάντα ταῦτα τὸ μὲν ἐξεπληρώθησαν ἐπὶ τῆς βαβυλωνίας αἰχμαλωσίας, ἐν πάσῃ δὲ δυνάμει καὶ ἀκριβείᾳ ἐκπληρούμενα ἤρξαντο ἐπὶ τῆς ὑπὸ τῶν Ῥωμαίων καταστροφῆς τῆς Ἱερουσαλήμ, καὶ ἐκπληρούμενα διατελοῦσι καὶ μέχρι σήμερον ἐν πάσῃ τῇ ἐπακολουθησάσῃ τῇ καταστροφῇ ταύτῃ καταστάσει τῶν Ἑβραίων ... Προφητεία σφόδρα καταπληκτική! Πρὸ πόσων αἰώνων προείρηται! Καὶ ὅμως ἐκπέφρασται σαφῶς καὶ ἀκριβῶς, ὡσανεὶ ὁ Μωϋσῆς αὐτὸς αὐτόπτης εἴη τούτων τῶν δεινῶν γεγονότων, καὶ καταγράψειεν ἤδη μετὰ τὴν ἐκτέλεσιν [173].

Ἄρα ἅπασα ἡ ἱστορία τοῦ Ἰσραηλιτικοῦ λαοῦ ἀπὸ τῆς ἐξ Αἰγύπτου ἐξόδου ἄχρις ἡμῶν ἐστιν ἔν τινι σημασίᾳ συλλογὴ τῶν ἀποδείξεων τῆς θειότητος τῆς ὑπὸ τοῦ Θεοῦ διὰ Μωϋσέως

---

[173] Ἀκριβέστατα ἐξηρεύνηται ἡ προφητεία αὕτη τοῦ Μωϋσέως περὶ τῶν Ἰουδαίων ἐν τῷ Χριστ. ἀναγν. 1831. XLI, 183.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοθείσης θρησκείας. Τί γὰρ παρίστησιν αὕτη ἡ ἱστορία; Ἀπὸ μὲν τῆς ἐξ Αἰγύπτου τῶν Ἑβραίων ἐξόδου μέχρι τοῦ θανάτου Μωϋσέως σειρὰν παρίστησι θαυμάτων Μωσαϊκῶν, ἀπὸ δὲ τῆς τελευτῆς αὐτοῦ μέχρις ἡμῶν σειρὰν γεγονότων ἐντελῶς δικαιούντων τὰς αὐτοῦ προφητείας.

§. 74. *Χαρακτὴρ τῶν Προφητῶν.*

Ὑψηλῷ ἠθικῷ χαρακτῆρι, οἷον εἶχεν ὁ θεῖος νομοθέτης τῶν Ἑβραίων Μωϋσῆς, καὶ πάντες οἱ μετ' αὐτὸν προφῆται διεκρίνοντο, οὓς, ἀπέστελλεν ὁ Θεός, κυρίως ἀπὸ Σαμουὴλ μέχρι τοῦ δευτέρου ναοῦ, πρὸς τὸν ἑαυτοῦ λαὸν ἀδιαλείπτως καὶ τοσούτους, ὥστε ὁ χρόνος ἂν οὗτος ὀνομασθείη προφητικὴ περίοδος[174].

Ἐντελὴς αὐταπάρνησις καὶ ἀφιλοκέρδεια, θερμουργὸς ζῆλος πρὸς τὴν δόξαν τοῦ Θεοῦ καὶ τὴν εὐτυχίαν τοῦ πλησίον πρόσκαιρόν τε καὶ ἀΐδιον, τὰ διακριτικὰ ἦσαν σημεῖα ἁπάντων τῶν Προφητῶν. Τὸ τέλος δὲ τῆς διακονίας αὐτῶν, εἰς ὃ ἐκαλοῦντο ὑπὸ τοῦ „λόγου τοῦ Κυρίου (Ἱερ. α', 2, 4· Ἰεζ. α', 3)", ἐν τούτῳ συνέστηκε δούλων εἶναι καὶ ἀγγέλων τοῦ Θεοῦ (δ'. Βασιλ. ιζ', 13, 23· Ἱερ. κε', 4· Ἀγγ. α', 13· Κριτ. β', 1), „σκοπῶν τοῦ οἴκου Ἰσραὴλ (Ἰεζ. λγ', 7· γ', 17)", μεταδιδόναι τοῖς συμπολίταις τὸ θέλημα τοῦ Θεοῦ παντοειδῶς, καθοδηγεῖν, παραμυθεῖν καὶ καθόλου ἐκπαιδεύειν αὐτοὺς τὴν ἀληθῆ εἰς Θεὸν καὶ τὸν ἐπαγγελθέντα Μεσσίαν πίστιν. Οἱ δὲ Προφῆται, κατὰ τὸ ὑψηλὸν τοῦτο τέλος, ἅμα εἰς τὸ ἑαυτὸν ἐκαλοῦντο στάδιον, κατέλειπον εὐθὺς τὰς συνήθεις βιωτικὰς ἀσχολίας, ἵνα ῥᾷον καὶ ἐντελέστερον ἀφοσιῶνται τῷ νέῳ ἑαυτῶν ἔργῳ. Κατέλειπον ὡς τὰ πολλὰ καὶ αὐτὸν τὸν οἶκον, τὰ κτήματα, αὐτὴν τὴν γεννέτειραν ἄκραν. „Οὐκ εἰμὶ προφήτης ἐγώ, διότι ἄνθρωπος ἐργαζόμενος τὴν γῆν ἐγώ εἰμι (Ζαχ. γ', 5)", ἔφη περὶ ἑαυτοῦ ψευδής τις προφήτης, ἀρνούμενος τὴν ἀφαιρεθεῖσαν ἀπ' αὐτοῦ κλῆσιν, καὶ τούτῳ ἐμαρτύρησεν, ὅτι τῇ ὑψηλῇ ταύτῃ κλήσει

---

174 Ὥσπερ παρετήρησε καὶ ὁ μακ. Αὐγουστῖνος· De civit. Dei XVII, cap. 5.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπρεπεῖς ἐνομίζοντο ἐργασίαι καὶ φροντίδες βιωτικαί. Ἀλλ' ὁ μὲν Ἐλισαῖος ἅμα τῆς θείας ἤκουσε κλήσεως, ταχὺ κατέλιπε τὸν ἑαυτοῦ ἀγρὸν (γ'. Βασ. ιθ', 20), ὁ δὲ Ἀμὼς τὸ ἑαυτοῦ ποίμνιον (Ἀμὼς ζ', 15), ὁ δὲ Ἱερεμίας τὸ δικαίωμα τῆς ἱερατικῆς καταγωγῆς (Ἱερ. α', 1). Ἅμα δὲ τῇ κλήσει ἤρχοντο οὗτοι τοῦ ἑαυτῶν πένητος καὶ πλάνητος βίου, καὶ ἄνευ ἐμμόνου κατοικίας περιήρχοντο ἀπὸ πόλεως εἰς πόλιν ἀπὸ χωρίου εἰς χωρίον τῷ οὐρανίῳ κηρύγματι· „Ἀκούετε ῥῆμα Κυρίου (γ'· Βασ· κβ', 19· Ἡσ. α', 10· Ἰεζ. ιγ', 2)", ἔκραζον, πανταχοῦ ἐμφαινόμενοι ὡς θεῖοι ἀπόστολοι, καὶ τὸ ῥῆμα τοῦτο ἐξέφραζον ἐν τοῖς βασιλείοις αὐτοῖς (Ἐξ. λη', 1-4· β'· Βασ. ιβ', 7) καὶ τῇ οἰκίᾳ τοῦ τεχνίτου (Ἱερ. ιζ', 1-6), ἐν τῇ αὐλῇ τοῦ ναοῦ, πολλῶν παρόντων ἀκροατῶν (Ἱερ· κς', 2-8) καὶ ἐν τῇ οἰκειακῇ συνομιλίᾳ (γ'. Βασ. ιγ', 20· δ'. Βασ. ς', 32) ἢ ἐν τῇ φυλακῇ (Ἱερ. λγ', 1). Ἑαυτῶν ὅμως καὶ τῶν σωματικῶν ἀναγκῶν οἱονεὶ πάντως ἐπελάθοντο ἐν τούτῳ τῷ χρόνῳ· καὶ τὸ ἀφιλοκερδὲς αὐτῶν τοσούτῳ γνωστὸν ἦν, ὥστε καὶ αὐτοὶ οἱ βασιλεῖς οὐκ ἐτόλμων πλούσια αὐτοῖς διδόναι δῶρα· οὐ τάλαντα χρυσοῦ ἢ ἀργύρου, ἀλλ' ἄρτους τινὰς καὶ στάμνον μέλιτος ἔπεμψέ ποτε Ἱεροβοὰμ ὁ βασιλεὺς τοῦ Ἰσραὴλ τῷ προφήτῃ Ἀχιὰ (γ'. Βασ. ιδ', 3). Οὐδέποτε ἐθώπευσαν τοὺς βασιλεῖς ἢ τὸν λαόν, ἐκ τῶν προφητικῶν χειλέων ἐπιθυμοῦντας δόλια ἀκοῦσαι μόνον (Ἡσ. λ', 9, 10)· ἀλλ' ἀδιαλείπτως ἐκήρυσσον τὸν λόγον τοῦ Θεοῦ πᾶσι καὶ ἑκάστῳ, ὅσῳ καὶ ἂν αὐτὸς τοῖς ἀκροαταῖς πικρὸς καὶ χαλεπὸς φανείη· Μάτην δὲ οἱ διεφθαρμένοι σύγχρονοι ἔλεγον αὐτοῖς· „μὴ προφυτεύητε, μὴ ἀναγγέλλητε ἡμῖν, μὴ λαλῆτε ἡμῖν (Ἀμ. β', 12· ζ', 12, 13· Ἡσ. λ', 10)"· εἰκῇ αὐτοὺς κατεδίωκον ἀπειλαῖς, λοιδωρίαις, ἐπιβουλαῖς (Ἱερ. ια', 21· ε', 13· κ', 10· κς', 8), ἐφυλάκιζον (γ'. Βασ. κβ', 6, 27) καὶ ὑπέβαλλον διαφόροις βασάνοις (Ἱερ. κ', 2· κς', 20-23). Οὐδὲν ὅμως κλεῖσαι ἠδύνατο τὰ χείλη τῶν δούλων τοῦ Θεοῦ, τὸ θέλημα τοῦ οὐρανίου Δεσπότου ποιούντων, καὶ οἱ πλεῖστοι αὐτῶν ἐπεσφράγιζον τὴν πιστότητα εἰς τὴν ἑαυτῶν κλῆσιν τῷ ἰδίῳ αἵματι (Ματθ. κγ', 30, 31· Πράξ. ζ', 32).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 75. *Περὶ τῶν θαυμάτων τῶν προφητῶν.*

I. *Κύριος ὁ Θεὸς ηὐδόκησε τούτους τοὺς ἀποστόλους αὐτοῦ, εἰς μαρτύριον τῆς οὐρανίας αὐτῶν ἀποστολῆς, παντοίοις σημείοις καὶ θαύμασι περιβαλεῖν. Τῶν ἀποστόλων τούτων μᾶλλον γνωστοί εἰσι α΄. Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὃς ἀνέστειλε τὰ ὕδατα τοῦ Ἰορδάνου, καὶ διὰ τοῦ πυθμένος διεπέρασε τοὺς Ἰσραηλίτας, ἀνέτρεψε τῷ ἤχῳ τῶν σαλπίγκων καὶ ταῖς τοῦ λαοῦ κραυγαῖς τὰ τείχη τῆς Ἰεριχώ, ἐπέσχε τὸν ἥλιον καὶ τὴν σελήνην ἐν τῇ πρὸς Χαναναίους μάχῃ· β΄. ὁ Ἡλίας, δράγματι ἀλεύρου καὶ ὀλίγου ἐλαίου περὶ τὰ δύο ἔτη διαθρέψας χήρα τινὰ σὺν παντὶ τῷ οἴκῳ αὐτῆς, ἀναστήσας τὸν υἱὸν αὐτῆς, καταγαγὼν πῦρ οὐρανόθεν ἐπὶ τὴν θυσίαν αὐτοῦ, καὶ αὐτὸς „ἀνελήφθη εἰς τὸν οὐρανὸν (δ΄. Βασ· β΄, 11)“· γ΄. Ὁ Ἐλισσαῖος δύο διαπραξάμενος ἀναστάσεις, τὴν μὲν ζῶν, τὴν δὲ μετὰ θάνατον, τοῖς αὐτοῦ ὀστέοις θεραπεύσας τῆς λέπρας τὸν Σύριον στρατηγὸν Νεεμὰν κτλ. δ΄. Ὁ Ἡσαΐας, ἐπιστρέψας ἐνώπιον τοῦ βασιλέως Ἐζεκίου τὴν ἡλιακὴν σκιὰν δέκα βαθμούς, καὶ τῇ ἰσχύϊ τῆς προσευχῆς ἑαυτοῦ καὶ τῆς τοῦ εὐσεβοῦς βασιλέως θαυματικῶς καταστρέψας ἐν μιᾷ νυκτὶ ρπε΄, χιλιάδας ἀσσυρίου στρατοῦ, τὴν Ἱερουσαλὴμ πολιορκοῦντος.*

II. *Ὅτι δὲ τὰ τῶν προφητῶν θαύματά εἰσι θαύματα ἐν τῇ κυρίᾳ σημασίᾳ, τ. ε. ὑπερφυσικὰ γεγονότα, δηλοῦται*

*α΄. Ἐξ αὐτῆς αὐτῶν τῆς ἰδιότητος. Ἐπισχεῖν γὰρ τὴν κίνησιν τοῦ ἡλίου ἢ τὸν ῥοῦν τοῦ ποταμοῦ, ἀναστῆσαι τεθνεῶτα, πῦρ οὐρανόθεν καταγαγεῖν κτλ., πράξεις εἰσὶ πάμπαν ὑπερβαίνουσαι τὰς φυσικὰς τοῦ ἀνθρώπου δυνάμεις· γενέσθαι δὲ δύνανται μόνον ὑπὸ τῆς ὑπερφυσικῆς δυνάμεως τοῦ Θεοῦ.*

*β΄. Ἐκ τοῦ τρόπου τῆς αὐτῶν ἐκτελέσεως. Οἱ γὰρ Προφῆται κοινῇ καὶ φανερῶς τὰ θαύματα ἐποίουν· π. χ. Ἰησοῦς μὲν ὁ τοῦ Ναυῆ παρουσίᾳ παντὸς τοῦ Ἰσραὴλ καὶ τῶν ἐχθρῶν αὐτοῦ, ὁ δὲ Ἡλίας, παρόντων τοῦ βασιλέως, πολυαρίθμου λαοῦ καὶ τῶν ἐχθρῶν προφητῶν τοῦ Βάαλ (γ΄. Βασ. ιη΄, 21)· διέπρασσον δὲ ταῦτα ἤτοι λόγῳ μόνῳ, ἢ προσευχῇ πρὸς τὸν Θεόν, ἢ ἐπαφῇ καὶ καθόλου τρόποις τοιούτοις, παρ᾽ ὧν πάμπαν ἀδύνατον ἦν τοιαύτας προσδοκᾶν ἐνεργείας· καὶ ἐξετέλουν αὐτά, οὐ*

*τόπου τινὸς καὶ χρόνου προσδεόμενοι, ἀλλὰ πανταχοῦ καὶ πάντοτε, ὅπου καὶ ὅτε τύχοι.*

*γ'· Ἐκ τοῦ τέλους αὐτῶν. Κύριον τέλος τῶν θαυμάτων ἀεὶ ὁ Θεὸς τοῦ Ἰσραὴλ ἦν καὶ ἡ ἀξία τῆς ὑπὸ τοῦ Θεοῦ τοῖς Ἰσραηλίταις δοθείσης Θρησκείας. Ἐπὶ τοῦ ὄρους Χαρμὴλ προσκαλεῖ ὁ Ἠλίας τοὺς προφήτας τοῦ Βάαλ μέγα ποιῆσαι θαῦμα, ὅπως λύσῃ, ὁ Κύριος, ἢ ὁ Βάαλ, ἀληθινός ἐστι Θεός· „βοᾶτε, λέγει αὐτοῖς, ἐν ὀνόματι Θεοῦ ὑμῶν, καὶ ἐγὼ ἐπικαλέσομαι ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ μου, καὶ ἔσται ὁ Θεὸς ὃς ἐὰν ἐπακούσῃ ἐν πυρί, οὗτος Θεὸς (γ'. Βασ. ιη', 24)". Εἶτα δὲ στρέφων πρὸς τὸν Θεόν, „ἀναβοᾷ, λέγων· ἐπάκουσόν μου, Κύριε, ἐπάκουσόν μου, καὶ γνώτωσαν ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος (37)". Καὶ ὅτε ὄντως ἕνεκα τῆς ἐνθέρμου ταύτης προσευχῆς „ἔπεσε πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὰ ὁλοκαυτώματα, καὶ τὰς σχίδακας, καὶ τοὺς λίθους, καὶ τὸν χοῦν, καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ ἐξέλειξε τὸ πῦρ. Καὶ εἶδαν πᾶς ὁ λαός, καὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπαν· ἀληθῶς Κύριος αὐτός ἐστιν ὁ Θεός (38, 39)". Καὶ Νεεμὰν δ' ὁ Σύριος, ἰαθεὶς ὑπὸ τοῦ Ἐλισσαίου τῆς λέπρας, ὁμολογεῖ ἐνώπιον αὐτοῦ· „ἰδοὺ δὴ ἔγνωκα, ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ὅτι ἀλλ' ἢ ἐν τῷ Ἰσραὴλ (δ'. Βασ· ε', 15)".*

III. *Ἀπόδειξις δέ, ὅτι τὰ θαύματα ταῦτά εἰσιν ἱστορικῶς ἀξιόπιστα, εἰσίν.*

*α'. Αἱ μαρτυρίαι πάντων τῶν υἱῶν Ἰσραήλ· οὗτοι γὰρ παρέλαβον καὶ μέχρι τοῦδε διαφυλάσσουσι τὰ ἱερὰ βιβλία, ἐν οἷς ῥήσεις περὶ τῶν θαυμάτων τούτων ἐκτέθεινται. Σημειωτέον δέ, ὅτι 1, τὰς βίβλους ταύτας ἐκ τῶν χειρῶν αὐτῶν τῶν συγγραφέων παρέλαβον οἱ Ἰουδαῖοι, ἄρα οἱ αὐτοῖς σύγχρονοι· 2, παρέλαβον αὐτὰς μετὰ μεγίστης τιμῆς, ἄρα καὶ μετ' ἐντελοῦς πεποιθήσεως ἐν τῇ ἀληθείᾳ αὐτῶν· 3, ἡ τιμὴ αὕτη καὶ πεποίθησις ἐντεταλμέναι εἰσὶν ὑπὸ τῶν προπατόρων πάσαις ταῖς ἐπακολουθησάσαις γενεαῖς, καὶ ἰσχύουσαι διατελοῦσι καὶ μέχρις ἡμῶν. Τούτοις δὲ προσθετέον, ὅτι ἐν ταῖς βίβλοις ταύταις πολλὰ ἐνυπάρχουσιν ὀνείδη πρὸς τοὺς Ἰουδαίους ἕνεκα τῆς ἀχαριστίας αὐτῶν καὶ τῆς καταλείψεως τοῦ Θεοῦ τῶν πατέρων, τῆς μεγί-*

*στης αὐτῶν ἀσεβείας καὶ τῆς εἰδωλολατρείας, καὶ δειναὶ λέγονται ἀπειλαὶ πρὸς τὸν ἀρνησίθεον λαόν. Πῶς οὖν δυνατόν ἐστι τὸν λαὸν τοῦτον παραλαβεῖν καὶ μεγίστῃ εὐσεβείᾳ παρ' ἑαυτῷ διατηρεῖν τοσούτῳ ὀνειδιστικὰ ἑαυτῷ βιβλία, εἰ οὐκ ἐγίνωσκε τὴν μεγίστην ὀρθότητα πάντων τῶν ἐν αὐτοῖς περιεχομένων; Ἀλλ' οἱ Ἰουδαῖοι τοὺς μὲν προφήτας, ἐξελεγκτὰς αὐτῶν ὄντας, ἐφόνευσαν, τὰ δὲ αὐτῶν συγγράμματα, ἐκτιθέντα καὶ περὶ τῶν θαυμάτων αὐτῶν, ὥσπερ ἅγιον μέγα διαφυλάσσουσιν!*

*β'. Μαρτυρίαι ἀλλοτρίων ἐθνῶν· παρ' αὐτῶν δέ, ἐννοεῖται, οὐ δυνάμεθα μαρτυρίας προσδοκᾶν περὶ πάντων τῶν προφητικῶν θαυμάτων, ἅτινα ὡς τὰ πολλὰ ἐγένοντο ἐν μόνῳ τῷ Ἰσραήλ· ἀλλὰ περὶ σημείων, ἔστιν εἰπεῖν, ἐνώπιον παντὸς τοῦ κόσμου γενομένων, οἷον, π. χ., τὸ θαῦμα Ἰησοῦ τοῦ Ναυῆ, τὸν ἥλιον ἐπισχόντος. Καὶ ὄντως περὶ τοῦ παγκοσμίου τούτου θαύματος διεσώθησαν παραδόσεις παρὰ πολλοῖς λαοῖς ἐν Ἀσίᾳ, Ἀφρικῇ, Εὐρώπῃ καὶ ἐν αὐτῇ τῇ Ἀμερικῇ, τ. ε. παρ' Ἄραψιν, Αἰγυπτίοις, Ἰνδοῖς, Κήναις, Ἕλλησιν (Ὁμήρῳ, Ἡροδότῳ, Ξενοφάνει καὶ Πλάτωνι), Ῥωμαίοις (Οὐϊργιλίῳ, Οὐάῤῥωνι), τοῖς κατοίκοις Φλωρίδος καὶ Ὀταΐταις*[175]. *Τὸ πάγκοινον δὲ τοῦτο τῆς παραδόσεως περὶ ἑνὸς τῶν μεγίστων προφητικῶν θαυμάτων ἀδιστάκτως καὶ ἀναντιῤῥήτως ὑποστηρίζει τὸ ἀξιόπιστον αὐτοῦ*[176].

### §. 76. *Προφητεῖαι αὐτῶν.*

*Κύριος καὶ διακριτικώτατος χαρακτήρ, δι' οὗ μάλιστα οἱ*

---

[175] *Ἅπασαι αἱ μαρτυρίαι αὗται κατεχωρίσθησαν καὶ ἐθεωρήθησαν* in Annales de Philosophie Chrétienne tom. XI, n. 49, pag. 40: tom. X, n. 59, pag. 321-333, *ὑπὸ τὴν ἐπιγραφήν·* le miracle de Josué attesté par le temognage des différents peuples. *Λίαν σημειώσεως ἄξιαί εἰσι καὶ ἱστορικαὶ γεωλογικαὶ σκέψεις λογίου τινός, τὴν ἱστορικὴν ἀξιοπιστίαν τοῦ θαύματος τούτου ὑποστηρίζουσαι· Βλ.* Élements de Géologie, mis a la portée de tout le monde, et offrant la concordance des faits géologiques avec les faits historiques, tels qu'ils se trouvent dans la Bible ... par L. A. Chaubard, Paris 1833, pag. 284-303: Deluge de Deucalion, Cataclysme du temps de Josué.

[176] *Ἀκριβεστάτην θεωρίαν καὶ προάσπισιν πάντων τῶν ἄλλων προφητικῶν θαυμάτων κατὰ τῶν ἀντιῤῥήσεων οἷον εὑρεῖν ἐν τῷ βιβλίῳ·* les livres saints vengés par. S. B. Glaire, Paris 1845, tom. II, cap. 6, 7, 8.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Προφῆται ἐμαρτύρουν τὴν θείαν αὐτῶν ἀποστολήν, καὶ οὗ ἕνεκα αὐτὴν τὴν ὀνομασίαν ἔλαβον, εἰσὶν αἱ αὐτῶν προφητεῖαι. Αὗται λίαν πολυάριθμοί εἰσι καὶ παντοῖαι· αἱ μὲν γὰρ αὐτῶν προεμήνυον τὴν τύχην ὅλων βασιλείων καὶ λαῶν, οἷον, τοῦ Ἰουδαϊκοῦ καὶ Ἰσραηλιτικοῦ βασιλείου, τοῦ Ἀσσυριακοῦ, Αἰγυπτιακοῦ, Βαβυλωνικοῦ, Περσικοῦ, Ἑλληνικοῦ καὶ Ῥωμαϊκοῦ, τοῦ τῶν Ἀμμωνιτῶν, Μωαβιτῶν κλπ· αἱ δὲ τὴν τύχην πόλεων, π. χ. Τύρου καὶ Νινευΐ· αἱ δὲ ἀτόμων καὶ συνεχῶς εἰδικωτέρων περιστάσεων τοῦ αὐτῶν βίου. Ἀλλ' ὅμως πρώτη καὶ σπουδαιοτάτη ὑπόθεσις τῶν προφητικῶν προῤῥήσεων ἀεὶ ἦν ὁ ἐπαγγελθεὶς ὑπὸ τοῦ Θεοῦ Μεσσίας, κέντρον ὢν καὶ τέλος πάσης τῆς οἰκονομίας τῆς παλαιᾶς Διαθήκης. Ταύτας οὖν τὰς προφητείας ἐνταῦθα θεωρήσομεν, περιττὴν ἡγούμενοι τὴν τῶν ἄλλων θεωρίαν, ὃ ἂν ἕνεκα τοῦ πολυαρίθμου αὐτῶν ἀγάγῃ ἡμᾶς πολὺ μακράν[177]. Ἐκλέγομεν δὲ ταύτας καὶ οὐκ ἄλλας τὸ μὲν διὰ τὸ σπουδαῖον τῆς αὐτῶν ὑποθέσεως, τὸ δὲ διὰ τὴν προσέγγισιν τῷ σκοπῷ ἡμῶν· ῥηθεῖσαι γὰρ αὗται ὑπὸ τῶν προφητῶν ἐν τῇ παλαιᾷ Διαθήκῃ, καὶ ἐκπληρωθεῖσαι ἐν τῇ καινῇ ἐπ' αὐτοῦ τοῦ Ἡγουμένου καὶ ἐκπληρωτοῦ τῆς ἡμῶν πίστεως, ἀποδείξεις εἰσὶ συνάμα τῆς θειότητος ἀμφοτέρων τῶν ἀποκαλύψεων τῆς τε παλαιᾶς καὶ καινῆς Διαθήκης, ἄρα καὶ ἡ θεωρία αὐτῶν τὴν φυσικωτάτην παρίστησι μετάβασιν ἐκ τοῦ προκειμένου ἄρθρου πρὸς τὸ ἑπόμενον.*

*Ἀλλὰ καὶ μόναι αἱ περὶ Μεσσίου προφητεῖαι λίαν πολυά-*

---

[177] *Οἱ ἐπιθυμοῦντες ἀκριβῆ θεωρίαν τῶν προφητειῶν τούτων εὑρεῖν δύνανται ἐν πολλοῖς ἄρθροις τοῦ χριστ. Ἀναγνώσματος, οἷά εἰσι α'. αἱ τῆς παλαιᾶς Διαθήκης προφητεῖαι, τὴν νῦν ἀφορῶσαι τῶν Ἰουδαίων κατάστασιν·* 1831, XLII, 281· *β'. θεωρία τῶν τῆς παλαιᾶς διαθήκης προφητειῶν περὶ τῆς πτώσεως Βαβυλῶνος·* 1832, XLIII, 313· *γ'. θεωρία τῶν τῆς παλαιᾶς Διαθήκης προφητειῶν περὶ Νινευΐ·* 1832, XLIV, 252· *δ'. ἱστορικὴ θεωρία τῶν τῆς παλαιᾶς Διαθήκης προφητειῶν περὶ Τύρου·* 1835, I, 63· *ε'. ἑρμηνεία τῶν προφητειῶν περὶ Αἰγύπτου καὶ ὑποστήριξις αὐτῶν ἱστορικοῖς γεγονόσι·* 1820, III, 72· *ς'. περὶ τῶν τοῖς Μωαβίταις καὶ Ἀμμωνίταις ἀναγομένων προφητειῶν·* 1841, III, 290· 2, in Annales de Philosophie Chrétienne: les prophéties, confirmées par les découvertes des voyageurs modernes les plus célèbres: 1832, tom. V, n. 25, 26, 27 *καὶ ἐν πολλοῖς ἄλλοις συγγράμμασιν.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ριθμοί εἰσιν, ὥστε καὶ περιληπτικὴ αὐτῶν θεωρία ὅλου ἂν χρῄζοι ἐκτενοῦς συγγράμματος[178]. Ὅθεν καὶ ἐξ αὐτῶν ἐκλέξομεν μόλις τινὰς σπουδαιοτάτας καὶ προδηλοτάτας, ὑπαγαγόντες αὐτὰς πρὸς μείζω εὐκολίαν τῆς θεωρίας ὑπό τινας κλάσεις·

§. 77. *Προφητεῖαι, τὸν χρόνον τῆς τοῦ Μεσσίου ἐλεύσεως ὁρίζουσαι.*

Ἐνταῦθα ἀνάγονται ά. ἡ τοῦ Δανιὴλ προφητεία περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων, ἢ ἀκριβέστερον, ἡ ὑπὸ τοῦ ἀρχαγγέλου Γαβριὴλ τῷ Δανιὴλ ῥηθεῖσα προφητεία, β'. αἱ τοῦ Ἀγγαίου καὶ Μαλαχίου προφητεῖαι περὶ τῆς δόξης τοῦ δευτέρου τῆς Ἱερουσαλὴμ ναοῦ, εἰς ὃν ὁ Μεσσίας ἔμελλεν ἐλθεῖν.

§. 78. *Προφητεία τοῦ Δανιὴλ περὶ τῶν ο'. ἑβδομάδων.*

I. Ἡ προφητεία αὕτη, ὥσπερ καὶ ἡ αἰτία, ἧς ἕνεκα ἐῤῥέθη, ἐκτίθενται ἐν τῷ θ'. κεφαλαίῳ τῆς βίβλου τοῦ προφήτου Δανιήλ.

Ἐν τῇ βαβυλωνίᾳ διατελῶν αἰχμαλωσίᾳ ὁ ἅγ. Δανιὴλ σὺν τοῖς αὐτοῦ συμπολίταις, γνοὺς ἐκ τῆς βίβλου τοῦ προφήτου Ἱερεμίου, ὅτι ὁ Θεὸς τῇ αἰχμαλωσίᾳ ταύτῃ ὥρισεν ἑβδομήκοντα ἔτη, ἅτινα ἤδη τελειοῦσθαι προσήγγιζον, παρέδοτό ποτε θερμοτάτῃ προσευχῇ. Ἐξωμολογεῖτο γὰρ ἐνώπιον τοῦ Παντοκράτορος, ὅτι οἱ Ἰουδαῖοι ἕνεκα τῶν ἰδίων ἁμαρτιῶν πάμπαν ἄξιοι ἦσαν τοῦ θυμοῦ αὐτοῦ καὶ τῶν δυστυχιῶν, αἷς αὐτοὺς κατέφθειρε· συνάμα δὲ αὐτοῦ ἐδέετο δεῖξαι τὸ πρόσωπον αὐτοῦ ἐπὶ τοῦ ἱεροῦ, κατερημωθέντος ἐν Ἱερουσαλήμ, καὶ φείσασθαι τῆς πόλεως καὶ τοῦ ναοῦ, ἐφ' οὓς τὸ ὄνομα αὐτοῦ ἐπικέκληται. Ἔτι δ' αὐτοῦ προσευχομένου, αἴφνης παρέστη ἐνώπιον αὐτοῦ ὁ ἀρχάγγελος Γαβριήλ, καὶ εἶπε· „Δανιήλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθε λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ, καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ. Ἑβδομήκοντα

---

178 *Πρὸς ἀπόδειξιν τούτου ἔστι δεῖξαι·* D. Huettii, Veteris Testamenti cum Novo parallelismus in iis, quae ad Messiam pertinent, *καταχωρ. ἐν* Script. Sacr. Curs. Complet. tom. II, Paris 1842·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου Ἰσραήλ, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, σοῦ συντελέσαι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι (ὅρασιν) ἁμαρτίας, καὶ ἀπαλεῖψαι τὰς ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον· καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. Καὶ γνώσῃ καὶ συνήσεις, ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ" (τ. ε. καὶ γνώσῃ καὶ συνείσεις· ἀπὸ τῆς ἐκδόσεως τοῦ προστάγματος περὶ τῆς ἀποκαταστάσεως καὶ οἰκοδομήσεως τῆς Ἱερουσαλὴμ), „ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα δύο· καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα, καὶ περίτειχος, καὶ ἐκκενωθήσονται" (τ. ε. καὶ ἀνακαινισθήσονται καὶ οἰκοδομηθήσονται πλατεῖαι καὶ τείχη καὶ δὴ ἐν ὀλίγῳ), „καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξηκονταδύο, ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ" (τ. ε. φονευθήσεται ὁ Χριστός, καὶ οὐχ ἑαυτοῦ ἕνεκεν)· „καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου τάξει ἀφανισμοῖς" (τ. ε. εἶτα τὴν πόλιν καὶ τὸ ἅγιον ἀνατρέψει λαὸς ὑπὸ τὴν ἀρχηγίαν ἄρχοντος ἐλευσομένου, καὶ ἀφανισθήσονται, ὥσπερ ἐν κατακλυσμῷ, καὶ ἕως τέλους τοῦ πολέμου ἐρημώσεις προωρισμέναι εἰσί). „Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔσται, καὶ ἕως τῆς συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν" (τ. ε. καὶ παρὰ τὸ πτερύγιον ἢ τὴν στέγην τοῦ ναοῦ τεθήσονται βδελύγματα τοῦ κατερημωτοῦ, καὶ ἕως τῆς συντελείας καιροῦ παραδοθήσονται ὅ τε ναὸς καὶ ἡ πόλις ἐπὶ τὴν ἐρήμωσιν).

Δῆλον λοιπὸν ἐκ τούτων, ὅτι ὁ τοῦ ἀρχαγγέλου λόγος περὶ μελλόντων συμβαμάτων ἐστί, καὶ ὅλως τῇ προσευχῇ τοῦ Δανιὴλ κατάλληλος. Ὁ γὰρ Δανιὴλ προσηύχετο περὶ τοῦ ἁγίου τῆς Ἱερουσαλὴμ ναοῦ καὶ περὶ παντὸς τοῦ Ἰουδαϊκοῦ λαοῦ· καὶ ὁ ἀρχάγγελος ἀποκαλύπτει τῷ Προφήτῃ ἐξ ὀνόματος τοῦ Θεοῦ πᾶσαν τὴν μέλλουσαν αὐτῶν τύχην· ἀλλὰ σὺν αὐτῇ ἀδιασπάσως συνενοῖ τὸν λόγον καὶ περὶ τῆς ἐλεύσεως καὶ τοῦ θανάτου τοῦ

*Μεσσίου καὶ τοῦ ἀποτελέσματος τοῦ θανάτου. Ὁ νοῦς οὖν τῆς προφητείας οὗτος ἐστί· „τῷ ἰουδαϊκῷ λαῷ καὶ τῇ ἁγίᾳ πόλει ἑβδομήκοντα ὡρίσθησαν ἑβδομάδες, τ. ε. 490 ἔτη μέχρις οὗ ἔλθῃ ὁ Ἅγιος τῶν ἁγίων, ὃς ἀπαλείψει τὰς ἀνομίας, προσάξει τὴν αἰωνίαν δικαιοσύνην, καὶ ἐκπληρώσει ἐφ' ἑαυτοῦ ἁπάσας τὰς προφητείας. Καὶ ἀρχὴ μὲν τῶν ἑβδομάδων τούτων ἐστὶν ἡ ἔκδοσις τοῦ περὶ τῆς ἀνακαινίσεως τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ διατάγματος, τέλος δὲ νέα καταστροφὴ ἀμφοτέρων. Αἱ ἑβδομάδες αὗται κατὰ τὴν τάξιν τῶν γεγονότων διατέθεινται οὕτως· ἐν μὲν ταῖς πρώταις ἑπτὰ ἑβδομάσι (τ. ε. 49 ἔτη) ἀνακαινισθήσονται ἡ Ἱερουσαλὴμ καὶ ὁ ναὸς ἐν μέσῳ λίαν δυσχερῶν περιστάσεων· μετὰ δὲ τὰς ἑπομένας ἑξηκονταδύο ἑβδομάδας θανάτῳ ὁ Χριστὸς παραδοθήσεται, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ· ἐν δὲ τῇ ἐσχάτῃ ἑβδομάδι στηριχθήσεται πολλοῖς καινὴ διαθήκη, καὶ ἐν τῷ μέσῳ αὐτῆς τῆς ἑβδομάδος καταπαύσουσιν αἱ θυσίαι, καὶ ἐν τῷ ἁγίῳ ἔσται τὸ βδέλυγμα τῆς ἐρημώσεως. Τότε οὖν ἐλεύσεται λαός, διοικούμενος ὑπ' ἄρχοντος, καὶ ἀνατρέψει τὴν ἁγίαν πόλιν καὶ τὸν ναόν, καὶ ἀμφότερα ταῦτα παραδοθήσονται ἐπὶ τὴν ἐρήμωσιν καὶ ἕως τῆς συντελείας τοῦ χρόνου“.*

II. *Τὴν κοινὴν ταύτην τῆς προφητείας ἔννοιαν ἐν νῷ ἔχοντες, προθυμησόμεθα, κατὰ τὸν ειδικὸν τῆς προφητείας ταύτης σκοπόν, ἐνδεῖξαι, ὅτι ὄντως αὐτὴ α'. τῷ Μεσσίᾳ ἀνάγεται· β'. τὸν χρόνον τῆς αὐτοῦ ἐλεύσεως ὁρίζει, γ'. ἐξεπληρώθη ῥητῶς ἐπὶ Χριστοῦ τοῦ Σωτῆρος.*

*α'. Ἡ ὀρθότης τῆς πρώτης θέσεως ἐξ αὐτοῦ τοῦ περιεχομένου τῆς προφητείας φαίνεται. Ἐν αὐτῇ γὰρ λέγεται*

1. *Ἐν ἀρχῇ μὲν ἀορίστως περὶ ἑνός τινος προσώπου ἐλευσομένου, ὃ ἀπαλείψει τὰς ἀδικίας, καθαριεῖ τὰς ἀνομίας, καὶ ἐπὶ τῆς γῆς δικαιοσύνην αἰωνίαν προσάξει. Ἀλλὰ ταῦτα ἔργα εἰσίν, ἅτινα, κατὰ τὴν διδασκαλίαν τῆς παλαιᾶς Διαθήκης (Βλ. π. χ. Ἡσ. ξα', 1· Ζαχαρ. γ', 8· Μαλαχ. γ' καὶ δ'), ἔμελλε μόνος ὁ ἐλευσόμενος Μεσσίας διαπράξασθαι, ὥστε ὁ ἅγιος ἀπόστολος Πέτρος οὐκ ἐδίσταξεν εἰπεῖν· „Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτὸν (Πράξ. ι', 43).*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

2. Εἶτα δὲ σαφέστερον· τὸ γὰρ πρόσωπον τοῦτο „Ἅγιος ἁγίων“ καλεῖται, ὃς χρισθήσεται, καὶ ἐφ' οὗ ἐκπληρωθήσονται ἢ ἐπισφραγισθήσονται ἅπασαι αἱ προφητεῖαι· Ἀλλ' „Ἅγιος ἁγίων“, τ. ε. Ἁγιώτατος, ἠδύνατο κληθῆναι μάλιστα, καὶ ὄντως καλεῖται (Ἡσ. ιβ', 6· Ψαλμ. ιε', 10) μόνος ὁ Μεσσίας[179]· περὶ αὐτοῦ γὰρ προείρητο, ὅτι ὡς ἄνθρωπος ἀληθῶς χρισθήσεται ὑπὸ τοῦ ἁγίου Πνεύματος (Ἡσ. ξα', 1· Ψαλμ. μδ', 8), καὶ ἐπ' αὐτοῦ μόνου ἐκπληρωθήσονται, περαιωθήσονται καὶ ἐπισφραγισθήσονται πᾶσαι αἱ τῆς παλαιᾶς Διαθήκης προφητεῖαι· αὐτὸς γὰρ ἦν ἡ κυριωτάτη αὐτῶν ὑπόθεσις καὶ σκοπὸς (Ῥωμ. ι', 4).

3. Καὶ ἔπειτα 'σαφέστατα' οὗτος γὰρ ὁ Ἅγιος τῶν ἁγίων ὀνομάζεται ῥητῶς Χριστὸς ἡγούμενος, ὃς φονευθήσεται οὐχ ὑπὲρ ἑαυτοῦ, καὶ καινὴν στηρίξει διαθήκην. Τὸ ὄνομα Χριστός, καίτοι ἐν τῇ παλαιᾷ Διαθήκῃ ἔστιν ὅτε καὶ ἄλλοις ἀποδίδοται προσώποις, κατ' ἐξοχὴν ὅμως ἀεὶ ὑπὸ τῶν Ἰουδαίων ἀπεδίδοτο τῷ Μεσσίᾳ, ὥσπερ ἀποκλειστικῶς αὐτῷ καὶ μόνῳ προσῆκον. Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς (Ἰωάν. α', 25), ἠρώτων οἱ Φαρισαῖοι Ἰωάννην τὸν βαπτιστήν, ὃν τὸ πρῶτον Μεσσίαν εἶναι ἐνόμισαν. „Οἶδα, ὅτι Μεσσίας ἐλεύσεται, ὁ λεγόμενος Χριστὸς (Ἰωάν. δ', 25)“, εἶπε τῷ Σωτῆρι ἡ Σαμαρεῖτις· „Σὺ εἶ ὁ Χριστός“, εἶπεν αὐτῷ καὶ ὁ ἁγ. ἀπόστολος Πέτρος (Μάρκ. η', 29), βουλόμενος αὐτὸν τὸν ἐπαγγελθέντα Μεσσίαν ὁμολογῆσαι· Καὶ ὁ Μεσσίας ὄντως ἔμελλε θανάτου γεύσασθαι, κατὰ τὰς ἀρ-

---

[179] Ἐὰν λάβωμεν καὶ τὴν νῦν ἑβραϊκὴν ἀνάγνωσιν τοῦ χωρίου τούτου· „καὶ χρισθήσεται τὸ ἅγιον τῶν ἁγίων“, τὴν αὐτὴν ἕξομεν ἔννοιαν. Ἅγιον γὰρ τῶν ἁγίων ἦν ἐν τῷ τῆς Ἱερουσαλὴμ ναῷ τὸ ἐσώτατον, ἐν ᾧ κατ' ἐξοχὴν κατῴκει ὁ Θεός· ὁ δὲ Μεσσίας, ἐν μυστηριώδει σημασίᾳ, καταλληλότατα ἠδύνατο τῷ ὀνόματι τούτῳ κληθῆναι· περὶ αὐτοῦ γὰρ προείρηται, ὅτι „ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, καὶ ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ (Ἡσ. ια', 2, 3), κληθήσεται Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεὸς (Ματθ. α', 23), καὶ ἐν αὐτῷ ἀληθῶς κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς (Κολ. β', 9)“. Προλέγων ὁ ἀρχάγγελος τῷ Δανιήλ, ὅτι ὁ ὁρατὸς τῆς Ἱερουσαλὴμ ναός, ὥσπερ καὶ τὸ ἅγιον τῶν ἁγίων, ἀνατραπήσονται, ἀντιθετικῶς ἠδύνατο φύσει δεῖξαι νέον μυστηριῶδες ἅγιον ἁγίων, ὅπερ χρισθήσεται καὶ κατοικία τοῦ Θεοῦ, τ. ε. τοῦ Μεσσίου, γενήσεται.

χαίας προφητείας, οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων (Ἠσ. μβ', 6· μθ', 8), οὗ ἕνεκα „ἄγγελος Διαθήκης καλεῖται (Μαλ. γ', 1)“.

Προσθετέον δέ, ὅτι πάντας τοὺς ὑφ' ἡμῶν θεωρηθέντας χαρακτῆρας οὐχ ἕκαστον χωρὶς λαβεῖν δεῖ οὐδ' ἐκτὸς τῆς συναφείας τοῦ λόγου, ἀλλὰ πάντας ὁμοῦ καὶ κατὰ τὴν συνυφὴν τοῦ λόγου. καὶ τότε οὐδεὶς ἡμῖν δείξει πρόσωπον ἐν πάσῃ τῇ ἱστορίᾳ τῆς ἀνθρωπότητος, ᾧ ἂν ἐντελῶς δύνωνται οἱ χαρακτῆρες οὗτοι προσήκειν, ἐκτὸς μόνου τοῦ Μεσσίου.

Ταὐτὸ ὑποστηρίζεται καὶ ὑπὸ τῆς ἀρχαίας τῶν Ἰουδαίων ὁμολογίας, ἣν ἰδεῖν δυνάμεθα ἐν τοῖς τῶν Ῥαββίνων μαρτυρίοις. Εἷς μὲν οὖν τούτων (ὁ Μανασσίας) σαφῶς ὁμολογεῖ, ὅτι οἱ ὁμόφυλλοι αὐτοῦ ἀνήγαγον τὴν τοῦ Δανιὴλ προφητείαν περὶ τῶν ἑβδομάδων τῷ Μεσσίᾳ, καὶ τῆς πεποιθήσεως ταύτης ἦσαν πάντες οἱ ἐπὶ Οὐεσπεσιανοῦ καὶ Τίτου κατὰ τῶν Ῥωμαίων τὰ ὅπλα ἀναλαβόντες[180]. Ἕτερος δὲ (Μαρδοχαῖος) ἐκφράζεται, ὅτι Μεσσίας ἐστὶ πρὸς οὗ τὴν ἔλευσιν προσάγουσιν ἡμᾶς αἱ τοῦ Δανιὴλ ἑβδομάδες[181]. Ἄλλοι δέ τινες διϊσχυρίζονται, ὅτι ὁ Μεσσίας ὀφείλει αἰωνίαν προσαγαγεῖν δικαιοσύνην, ὅτι αὐτός ἐστιν αἰωνία δικαιοσύνη, ἐστὶν ὁ Ἅγιος τῶν ἁγίων, ἀρνούμενοι πασιφανῶς τὰς ἐκφράσεις ταύτας ἐκ τῆς τοῦ Δανιὴλ προφητείας[182]. Πρὸς δὲ καὶ ἄλλοι διηγοῦνται τόδε τὸ συμβεβηκός· Ἰωνάθαν Βὲν Οὐζιέλ, παράφρασιν εἰς τοὺς προφήτας γράψαντι, ἀπηγόρευτο ἄνωθεν τοιαύτην δὴ γράψαι παράφρασιν εἰς τὰ Ἁγιόγραφα (ἐν οἷς κατατάσσεται παρ' Ἰουδαίοις καὶ ἡ τοῦ προφήτου Δανιὴλ βίβλος)· ἐν τούτοις γὰρ ὥρισται ὁ τῆς τοῦ Μεσσίου ἐλεύσεως χρόνος.

---

[180] Rab. Manass. lib. de termino vitae pag. 175: *Τὴν ἐσχάτην γνώμην περὶ τῶν ἐπὶ Οὐεσπεσιανοῦ καὶ Τίτου ἀποστατησάντων Ἰουδαίων ὑποστηρίζει καὶ Ἰώσηπος ὁ Φλάβιος. Περὶ Ἰουδ. πολέμ. δ', κεφ. ς', §. 2· παράβ. Ἀρχαιολ. ι', κεφ. ια', §. 7.*

[181] Mardachai, Scemen Amischa Aftarà 1, fol. 12.

[182] *Βλ.* apud. R. Martinum-Pugio fidei, par. II, cap. 3, §. 16· et apud Schoettgenium-Horae Hebraicae, Dresdae 1742, tom. II, lib. 2, pag. 264 *καὶ ἑπόμ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

β'. Ἐκ τῶν μαρτυριῶν τούτων ἀποκαλύπτεται ἤδη ἐν μέρει τὸ ὀρθὸν καὶ τῆς δευτέρας θέσεως, καθ' ἣν ἡ τοῦ Δανιὴλ προφητεία, τῷ Μεσσίᾳ ἀναγομένη, ῥητῶς ὁρίζει τὸν χρόνον τῆς αὐτοῦ ἐλεύσεως. Σαφέστερον ὅμως ἡ ἀλήθεια αὕτη φαίνεται

1. Ἐξ αὐτοῦ τοῦ ὅλου τῆς προφητείας· Ἐν αὐτῇ γὰρ λίαν ὡρισμένως λέγεται περὶ περιόδου χρόνου, ἑβδομήκοντα περιέχοντος ἑβδομάδας· καὶ ἡ περίοδος αὕτη εἰς τρία διαιρεῖται ὡρισμένα μέρη, εἰς ἑπτὰ ἑβδομάδας, ἑξηκονταδύο καὶ εἰς μίαν, διχοτομουμένην. Πρὸς δὲ δείκνυται ἐν αὐτῇ καὶ ὅριον, ἐξ οὗ ἄρχεσθαι δεῖ τῆς ἀπαριθμήσεως τῶν ἑβδομάδων, καὶ ὅριον, ἐν ᾧ δεῖ αὐτὰς πέρας λαβεῖν·

2) Ἐκ τῆς συνεχείας τοῦ λόγου. Ὁ γὰρ Δανιήλ, ἀναφέρεται ἐν τῷ θ', κεφ. τῆς αὐτοῦ βίβλου, ἐκ τῆς Ἱερεμίου προφητείας ἐπιγνούς, ὅτι ὁ Θεὸς ὥρισε τῇ βαβυλωνίᾳ αἰχμαλωσίᾳ ἑβδομήκοντα ἔτη, καὶ θεωρῶν τὴν προσέγγισιν τοῦ τέλους αὐτῶν, ἤρξατο ἐνθέρμως προσευχόμενος τῷ Θεῷ, ὅπως οἰκτείρῃ τοὺς Ἰουδαίους, πρὸς δὲ ὑπὲρ τῆς ἐπιστροφῆς αὐτῶν εἰς τὴν πατρίδα, ὑπὲρ τῆς ἀνακαινίσεως τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ. Ἔτι δὲ προσευχομένῳ παραστὰς ὁ Γαβριὴλ ἀποκαλύπτει, ὅτι οἱ Ἰουδαῖοι ἐλεηθήσονται, καὶ αὐτοῖς ὡς καὶ τῇ ὑπάρξει τῆς ἁγίας αὐτῶν πόλεως ὁρίζονται ὑπὸ τοῦ Θεοῦ ἑβδομήκοντα ἑβδομάδες· οὐκ ἔστιν ἄρα ἐνταῦθα πασιφανὴς ὁμοιότης ἐκείνοις τοῖς ἑβδομήκοντα ἔτεσι τῆς Βαβυλωνίας αἰχμαλωσίας, ὧν μνεία γίνεται ἐν τῇ ἀρχῇ τοῦ κεφαλαίου, καὶ περὶ ἃ νοερῶς ἠσχολεῖτο ὁ Δανιὴλ κατὰ τὴν προσευχὴν αὐτοῦ; Εἰ δὲ τὰ ἑβδομήκοντα ταῦτα ἔτη ἀδιστάκτως χρόνον ἐδήλουν ὡρισμένον, ὥσπερ καὶ ὁ Δανιὴλ ἐνόει αὐτά, παράδοξον ἂν εἴη ἀποδέξασθαι, ὅτι αἱ ἑβδομήκοντα ἑβδομάδες σημαίνοιεν ἀόριστόν τινα περίοδον.

γ'. Πρὸς ἀπόδειξιν δὲ τῆς ὀρθότητος τῆς τρίτης θέσεως δεῖ πρῶτον μὲν ἑρμηνεῦσαι, πῶς νοήσωμεν τὰς ἑβδομάδας τοῦ

---

[183] Talmud-Meghilla, fol. 3, 1: „Διὰ τί ὁ οὐρανὸς ἀπηγόρευσε τῷ Ἰωνάθαν τὴν παράφρασιν τῶν Ἁγιογράφων"; ἀπόκρισις· „διότι ἐν αὐτοῖς ἀποκεκάλυπται ὁ χρόνος τῆς τοῦ Μεσσίου ἐλεύσεως". Ὁ δὲ Ῥασχῆ σημειοῖ αὐτόθι· „Ὁ χρόνος οὗτος ὥρισται ἐν τῇ βίβλῳ τοῦ προφήτου Δανιήλ". Βλ. παρὰ Schoettgenium-Horae Hebr. tom. II, libr. 2, p. 264.

Δανιήλ, εἶτα δὲ πόθεν ἀρξώμεθα τῆς ἀπαριθμήσεως αὐτῶν, καὶ ἔπειτα ἐφαρμόσαι τὴν προφητείαν τοῖς συμβεβηκόσιν, ὅθεν καὶ φανήσεται, ὅτι αὕτη ἐξεπληρώθη ἐπὶ Χριστῷ τῷ Σωτῆρι.

1. Παρὰ τοῖς Ἰουδαίοις γνωσταὶ ἦσαν δισσαὶ ἑβδομάδες, αἱ τῶν ἡμερῶν (Δαν. ι', 2) καὶ αἱ τῶν ἐτῶν (Λευΐτ. κε', 8). Τοῦθ' ἕνεκα οἱ νεώτεροι ῥαββῖνοι διϊσχυρίζονται, παρὰ τῷ Δανιὴλ δέοι νοεῖν ἑβδομάδας ἑπταετειῶν, ὧν ἑκάστη περιεῖχεν ἰουβηλαῖον ἔτος καὶ περιελάμβανε 49 ἔτη, ἢ καὶ ἑβδομάδας ἑκατονταετηρίδων. Ἀλλ' ὅμως ἀδύνατον ἀποδέξασθαι οὔτε ὅτι ἐν τῇ προφητείᾳ τοῦ Δανιὴλ ἐνοοῦντο ἑβδομάδες ἡμερῶν, οὔτε ἑβδομάδες ἑπταετηρίδων ἢ ἰουβηλαίων καὶ τοσούτῳ μᾶλλον ἑκατονταετηρίδων. Ἀδύνατον δὲ ἀποδέξασθαι τὸ

α'. Τότε γὰρ ἂν αἱ ἑβδομάδες περιέχοιεν 490 ἡμέρας μόνον· ἐν τοσούτῳ δὲ χρόνῳ οὐκ ἠδύναντο ἐκτελεσθῆναι τὰ γεγονότα, οἷς ἔδει, κατὰ τὴν προφητείαν, γενέσθαι κατὰ τὴν διάρκειαν τῶν ἑβδομάδων· εἰδικῶς δὲ ἡ Ἱερουσαλὴμ καὶ ὁ ναός, εἰς ἀνακαίνισιν ὧν ὁρίζονται ἑπτὰ ἑβδομάδες καὶ ὑπὸ δεινὰς περιστάσεις, ὤφειλον ἀνεγερθῆναι ἐκ τῶν ἐρειπίων εἰς 49 ἡμέρας· τοῦτο ὅμως οὐδαμῶς ὑπὸ τῆς ἱστορίας βεβαιοῦται. Ἄξιον δὲ παρατηρήσεώς ἐστι καὶ ὅτι ἐν πάσῃ τῇ βίβλῳ τοῦ προφήτου Δανιήλ, ὅτε ἑβδομὰς τὴν συνήθη δηλοῖ ἑβδομάδα μόνον, ταύτῃ προστίθεται ἡ λέξις „ἡμερῶν (Δαν. ι', 2, 3)"· ἐν δὲ τῇ θεωρουμένῃ ὑφ' ἡμῶν προφητείᾳ οὐκ ἔστιν ἡ προσθήκη αὕτη·

β'. Τούτου τεθέντος, εἰς τὴν κατασκευὴν τοῦ ναοῦ οἱ Ἰουδαῖοι 343 ἐτῶν ἔχρῃζον, ἐὰν νοήσωμεν ἑβδομάδας ἑπταετηρίδων, ἢ 4900 ἐτῶν, ἐὰν παραδεξώμεθα ἑβδομάδας ἑκατονταετηρίδων· ὅμως καὶ ταῦτα ἀμφότερα ἀποῤῥίπτονται ὑπὸ τῆς ἱστορίας. Ὁ ἀρχάγγελος Γαβριήλ, μεταδιδοὺς τὴν προφητείαν τῷ Δανιήλ, ὡμίλει, ἐννοεῖται, ἵνα ὁ Δανιὴλ αὐτὸν ἐννοήσῃ, εἶτα δὲ δεόντως παρασκευάσωνται οἱ Ἰουδαῖοι εἰς παραδοχὴν τοῦ Μεσσίου κατὰ τὸν ὡρισμένον χρόνον. Ἀλλ' οὔτ' ἂν οἱ Ἰουδαῖοι τὸν Δανιὴλ νοήσειαν, οὔτε ὁ Δανιὴλ τὸν Γαβριήλ, ἐὰν ὑπὸ τὰς ἑβδομάδας νοήσωμεν ἑπταετηρίδας ἢ ἑκατονταετηρίδας, ὅλως ἀχρήστους παρὰ τοῖς Ἰουδαίοις· καὶ ὥσπερ ὁ Δανιήλ, οὕτω καὶ οἱ Ἰουδαῖοι εἰσαγάγοιντ' ἂν εἰς ἁμάρτημα· καὶ γὰρ ἂν ἐν βραχεῖ χρόνῳ προσδοκῷεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεγονός, ὃ πολὺ ὕστερον μετά τινας ἑκατονταετηρίδας ἢ χιλιετηρίδας δέοι ἐκτελεσθῆναι.

Ἄρα λείπεται ὁμολογῆσαι, ὅτι ὑπὸ τὰς ἑβδομάδας ἐννοῆσαι δεῖ ἑβδομάδας ἐτῶν· αὗται γὰρ γνωσταὶ τοῖς Ἰουδαίοις ἦσαν ἐκ τῆς ἐπιταγῆς τοῦ νόμου· „ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις· καὶ ἔσονταί σοι ἡμέραι ἑπτὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσαράκοντα ἔτη (Λευΐτ. κε', 8)", καὶ ὄντως παριστᾶσι τοσαύτην περίοδον χρόνου (490 ἔτη), ἐν ᾧ ἠδύναντο τελεσθῆναι τὰ ἐν τῇ προφητείᾳ προῤῥηθέντα γεγονότα. Ἐκ γὰρ τῆς βίβλου Ἔσδρα καὶ τῆς τοῦ Φλαβίου ἱστορίας γινώσκομεν, ὅτι οἱ ὅμοροι λαοὶ παντοίως ἐκώλυον τὴν τοῦ νέου ναοῦ τῆς Ἱερουσαλὴμ κατασκευὴν τὸ μὲν συκοφαντίαις καὶ ἐπιβουλαῖς παρὰ τοῖς περσικοῖς βασιλεῦσι, τὸ δὲ καὶ ἐξωπλισμένῃ χειρί· ὅθεν οὐ θαυμαστόν ἐστιν, ὅτι ἡ ἀνοικοδομὴ τοῦ ναοῦ διήρκεσε 49 ἔτη, ἢ ἑπτὰ ἑπταετηρίδας, κατὰ τὴν προφητείαν.

Τὸ ὅριον, ἐξ οὗ ἀριθμεῖν δεῖ τὰς ἑβδομάδας, ἐν τῇ προφητείᾳ, ὁρίζεται τοῖς δε· „ἀπὸ ἐξόδου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ"· τ. ε. ἀπὸ ἐξόδου εἴτε ἐκδόσεως τοῦ διατάγματος περὶ ἀνακαινίσεως καὶ ἀνοικοδομῆς τῆς Ἱερουσαλήμ. Ἀλλ' ἐκ τῶν ἐκδοθέντων τεσσάρων διαταγμάτων μετὰ τὴν προφητείαν τοῦ Δανιὴλ ὑπὸ τῶν περσικῶν βασιλέων ὑπὲρ τῶν Ἑβραίων, ἀδύνατον ἐνταῦθα νοῆσαι α. τὸ ὑπὸ Κύρου (α'. Ἔσδρ. ς', 3)· δι' αὐτοῦ γὰρ ἐπετρέπετο τοῖς Ἰουδαίοις οὐ τὴν Ἱερουσαλὴμ ἀνοικοδομῆσαι, ἀλλὰ μόνον τὸν ναὸν ἀνεγεῖραι· καὶ γνωστόν, ὅτι ἐπανελθόντες τότε οἱ Ἰουδαῖοι ἐκ τῆς αἰχμαλωσίας, κατῴκουν „ἐν πόλεσιν αὐτῶν", καὶ οὐχὶ ἐν Ἱερουσαλήμ, εἰς ἣν συνήρχοντο „ὁλοκαυτώσεις ἀναφέρειν (γ', 1 καὶ ἑπ.)"· β'. οὐδὲ τὸ ὑπὸ Δαρείου του Ὑστάσπου (ς', 1), ἐν ᾧ μόλις ἐπανελαμβάνετο τὸ τοῦ Κύρου περὶ ἀνοικοδομῆς τοῦ ναοῦ· γ'. οὐδὲ τὸ ὑπὸ Ἀρταξέρξου τοῦ Λογγιμάνου ἐπ' ὀνόματι τοῦ Ἔσδρα (ζ', 12)· καὶ γὰρ διὰ τούτου ἐπετάσσετο „ἐπισκέψασθαι" μόνον τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ, καὶ ἀποδοῦναι εἰς τὸν ναὸν τὰ βασιλικὰ δῶρα (ζ', 14, 15). Ἀλλ' ἐνοῆσαι δεῖ τὸ δεύτερον διάταγμα Ἀρταξέρξου τοῦ Λογγιμάνου, ἐπ' ὀνό-

ματι τοῦ Νεεμίου ἐκδοθὲν (Νεεμ. β', 5, 6)· ἐν αὐτῷ γὰρ ῥητῶς λέγεται περὶ ἀνεγέρσεως τῆς Ἱερουσαλὴμ, τῶν τειχῶν καὶ οἰκειῶν αὐτῆς (β', 8), ὃ ἐν οὐδενὶ τῶν προτέρων εἴρηται· ὁ δὲ Νεεμίας εἰς Ἱερουσαλὴμ ἐπανελθὼν, εὗρε τὸ μὲν τεῖχος τῆς πόλεως καθῃρημένον, τὰς δὲ πύλας πυρὶ καταβεβρωμένας (β'. 13), αὐτὴν δὲ τὴν Ἱερουσαλὴμ κατηρημωμένην (17).

Τὸ δεύτερον τοῦτο διάταγμα Ἀρταξέρξου τοῦ Λογγιμάνου ἐξεδόθη τὸ δωδέκατον ἔτος τῆς αὐτοῦ βασιλείας[184], κατὰ τὴν μαρτυρίαν αὐτοῦ τοῦ Νεεμίου (β', 1). Ἀρταξέρξης δὲ ἐπὶ τοῦ θρόνου ἀνέβη τὸ γ', ἔτος τῆς οϛ', Ὀλυμπιάδος[185], ὅ, κατὰ τὴν χρονολογίαν ἡμῶν, συμπίπτει τῷ 473 π. χ.[186]. Ἄρα τὸ κ', ἔτος τῆς βασιλείας Ἀρταξέρξου κατὰ μὲν τὴν ἑλληνικὴν χρονολογίαν τὸ γ', ἐστὶ τῆς πα', Ὀλυμπιάδος, κατὰ δὲ τὴν Ῥωμαϊκὴν τὸ 299 ἀπὸ κτίσεως Ῥώμης[187], κατὰ δὲ τὴν ἡμετέραν τὸ 453 π. Χ. Ἐντεῦθεν οὖν καὶ ἄρχεσθαι δεῖ τῆς ἀπαριθμήσεως τῶν ἑβδομάδων. Ἀπαριθμήσωμεν δὲ ταύτας καὶ ἐφαρμόσωμεν πρὸς τὰ γεγονότα.

3. Ἐν τῇ προφητείᾳ ἐξ ἀρχῆς τῶν ἑβδομάδων μέχρι τῆς ἐμφανίσεως Χριστοῦ τοῦ ἡγουμένου ἄρχονται, ἐκτὸς τῶν ζ', ἑπταετηρίδων, ἀποχωρισθεισῶν διὰ τὴν ἀνοικοδομὴν τῆς Ἱερου-

[184] Ἀρχὴν τῶν ἑβδομάδων τὸ ἔτος τοῦτο ἀποδέχονται ὁ ἅγ. Χρυσόστομος (κατὰ Ἰουδ. λόγ. ε'; ἀρ. 16), Ἰούλιος ὁ Ἀφρικανός, ὁ μακ. Θεοδώρητος, Ζωναρᾶς, Βέδας καὶ πολλοὶ ἄλλοι. Βλ. Tirini Chron. Sacr. pag. 29.

[185] Τοῦτο δῆλον ἐκ τῶν ἑπομένων συλλογισμῶν· α'. ὁ Θουκυδίδης λέγει, ὅτι ὁ Θεμιστοκλῆς κατέφυγε πρὸς τοὺς Πέρσας ἅμα τῇ εἰς τὸν θρόνον ἀναβάσει Ἀρταξέρξου τοῦ Λογγιμάνου (Θουκυδ. βιβλ. α'.)· ὁ δὲ Εὐσέβιος ἀνάγει τὴν φυγὴν τοῦ Θεμιστοκλέους τὸ δ', ἔτος τῆς οϛ', Ὀλυμπιάδος (Chron. ex vers. Jerop.)· β'. Διόδωρος ὁ Σικελιώτης μαρτυρεῖ, ὅτι Κίμων ὁ Μιλτιάδου ἐνίκησε τοὺς Πέρσας τὸ γ', τῆς οζ, Ὀλυμπ. (Διοδ. Σικελ. βιβλ. ια',)· κατὰ δὲ τὴν διήγησιν τοῦ Εὐσεβίου ἡ νίκη αὕτη ἐγένετο τὸ δ', ἔτος τῆς βασιλείας Ἀρταξέρξου (Χρονικ,) γ'. γνωστόν, ὅτι ὁ Ξέρξης ἐπέπεσε κατὰ τῶν Ἑλλήνων τὸ α', ἔτος τῆς οε', Ὀλυμπ., τὸ δὲ ϛ', ἔτος μετὰ τοῦτο συνάρχοντα ἑαυτῷ Ἀρταξέρξην τὸν Λογγιμάνον ἐποιήσατο.

[186] Τὸ ἔτος τοῦτο λαμβάνομεν, πολυπλασιάζοντες τὰς 75 Ὀλυμπ. ἐπὶ 4, τ. ε. ἐπὶ τὸν ἀριθμὸν τῶν ἐτῶν ἑκάστης Ὀλυμπιάδος, καὶ τὸ γινόμενον σὺν τῇ προσθήκῃ τῶν 3 ἐτῶν τῆς οϛ', Ὀλυμπ. ἀφαιροῦντες ἐξ 776, ὡς χρόνου, παρελθόντος ἀπὸ τῆς ἀρχῆς τῶν Ὀλυμπιάδων μέχρι τῆς χρονολογίας ἡμῶν.

[187] Τὸ α', ἔτος τῆς ζ, Ὀλυμπ. τὸ α', ἐστιν ἀπὸ κτίσεως Ῥώμης. Ἄρα τὸ γ', τῆς πα', τὸ 299 ἐστιν ἀπὸ κτίσεως Ῥώμης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



'σαλήμ, αἱ ξβʹ, ἑπταετηρίδες, ὧν τὸ γινόμενόν ἐστιν ξθʹ, ἑπταετηρίδες, τ. ε. 483 ἔτη. Τὸ τέλος ὅμως τῆς ξθʹ, ἑπταετηρίδος ἀνήκειν δεῖ οὐ τῇ τοῦ Μεσσίου γεννήσει (ἐν γὰρ τῇ ἑπομένῃ οʹ, ἑπταετηρίδι τίθεται ὁ θάνατος αὐτοῦ) ἀλλὰ τῇ βαπτίσει, αὐτοῦ καὶ τῇ κοινῇ ἐμφανίσει ἐν τῷ ἔργῳ τοῦ Μεσσίου. Ὁ δὲ θάνατος αὐτοῦ τίθεται μετὰ τὴν ξθʹ, ἑπταετηρίδα, ἄρα κατὰ τὴν διάρκειαν τῆς οʹ, καὶ ῥητῶς κατὰ τὸ ἥμισυ αὐτῆς, ὅτε παῦσαι δεῖ τὰς τῆς παλαιᾶς Διαθήκης θυσίας, ὅπερ ἂν ἐγένοιτο μόνῃ τῇ θυσίᾳ αὐτοῦ τοῦ Μεσσίου (Ἑβρ. ιʹ, 4-10). Καθόλου δὲ πᾶσα ἡ ἐσχάτη ἑπταετηρὶς ὁρίζεται εἰς στήριξιν τῆς καινῆς Διαθήκης.

Καθ' οἵαν οὖν ἤδη χρονολογίαν ἂν ἀριθμήσωμεν τὰς ἑβδομάδας, πρὸς τὸ αὐτὸ ἐλευσόμεθα ἀποτέλεσμα. Ἐὰν γὰρ κατὰ τὴν ἑλληνικήν, τ. ε. λάβωμεν ἀρχὴν τῶν ἑβδομάδων τὸ γʹ, ἔτος τῆς παʹ, Ὀλυμπ., τρέψαντες τὰς ξθʹ, ἑβδομάδας ἢ τὰ 483 ἔτη εἰς Ὀλυμπιάδας (ὅτε ἐξελεύσονται ρκʹ, Ὀλυμπ. καὶ γʹ, ἔτη), καὶ προσθέντες τὰς νέας ταύτας Ὀλυμπιάδας ταῖς δεδομέναις, ἔχομεν τὸ βʹ, ἔτος τῆς σβʹ, Ὀλυμπ.· ἀλλὰ τοῦτό ἐστι τὸ ιϛʹ, ἔτος τῆς βασιλείας Τιβερίου τοῦ Καίσαρος, ὅτε ἐβαπτίσθη ὁ Ἰησοῦς Χριστὸς ὑπὸ Ἰωάννου (Λουκ. γʹ, 1, 21), καὶ ἐφάνη ἐνώπιον τοῦ λαοῦ ὡς Μεσσίας. Ἐὰν δὲ κατὰ τὴν ῥωμαϊκήν, τ. ε. ἀρχὴν τῶν ἑπταετηρίδων λάβωμεν τὸ 299 ἔτος ἀπὸ κτίσεως Ῥώμης, τούτοις τοῖς ἔτεσι προσθέντες ξθʹ. ἑπταετηρίδας εἴτε 483 ἔτη, ἔχομεν τὸ 782 ἔτος ἀπὸ κτίσεως Ῥώμης· καὶ αὖθις τὸ 15 ἔτος τῆς βασιλείας Τιβερίου τοῦ Καίσαρος, ἄρα καὶ τὸ ἔτος τῆς βαπτίσεως τοῦ Σωτῆρος καὶ τῆς εἰς τὸ ἔργον τοῦ Μεσσίου ἐμφανίσεως. Ἐὰν δὲ κατὰ τὴν ἡμετέραν, τ. ε. ἀπὸ τοῦ 453 ἔτους π. Χ., τὸ ἔσχατον ἔτος τῆς ξθʹ, ἑπταετηρίδος ἢ τὸ 483 ἔτος συμπίπτει τῷ 30 ἔτει τῆς ἐπιγείου ζωῆς τοῦ Σωτῆρος, τ. ε. ὡσαύτως τῷ χρόνῳ τῆς βαπτίσεως καὶ τῆς ἐμφανίσεως αὐτοῦ ἐν τῷ ἔργῳ τοῦ Μεσσίου (Λουκ. γʹ, 23). Ἐπὶ δὲ τοῦ ἡμίσεως τῆς οʹ, ἑβδομάδος ἔδει φονευθῆναι τὸν Χριστὸν καὶ τὰς θυσίας καταπαῦσαι· καὶ ὁ Χριστὸς ἀπέθανεν ἐπὶ τοῦ σταυροῦ τρία καὶ ἥμισυ ἔτη μετὰ τὴν αὐτοῦ ἔναρξιν τοῦ ἔργου τοῦ κοινοῦ διδασκάλου, τ. ε., κατὰ τὸ ἥμισυ τῆς ἑπταετηρίδος. Ἅπασαν δὲ τὴν οʹ, ἑπταετηρίδα στηριχθῆναι ἔδει διαθήκην πολλοῖς· καὶ ὁ Χριστὸς τῷ πρώτῳ ἡμίσει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῆς ἐχρήσατο πρὸς στήριξιν τῆς καινῆς αὐτοῦ Διαθήκης πολλοῖς ἐν Ἰουδαίᾳ, Γαλιλαίᾳ καὶ Σαμαρείᾳ· τρία δὲ καὶ ἥμισυ ἔτη μετὰ τὸν θάνατον καὶ τὴν ἀνάστασιν αὐτοῦ τὸ Εὐαγγέλιον πανταχοῦ ὑπὸ τῶν Ἀποστόλων ἀνηγγέλθη, ὅπου μόνον εὑρίσκοντο τὰ διεσπαρμένα πρόβατα τοῦ οἴκου Ἰσραήλ.

Τούτοις δὲ προσθετέον δύο γενικὰς παρατηρήσεις, ὧν ἡ μὲν ἥδε ἐστιν· ὁ ἐν τῇ προφητείᾳ τοῦ Δανιὴλ ὁρισθεὶς χρόνος τῆς τοῦ Μεσσίου ἐλεύσεως ἀδιστάκτως πρὸ πολλοῦ ἤδη παρῆλθε· καὶ γὰρ μετὰ τὸν θάνατον τοῦ Μεσσίου ἐν τῇ προφητείᾳ προλέγεται ἡ καταστροφὴ τοῦ αὐθυπάρκτου τοῦ ἑβραϊκοῦ λαοῦ, ἡ ἀνατροπὴ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ αὐτῆς ὑπὸ λαοῦ ἀλλοτρίου, ἐλευσομένου ὑπὸ τὴν ἡγεμονίαν τοῦ ἀρχηγοῦ αὐτοῦ, καὶ ποιήσοντος ἐρήμωσιν ἕως τῆς συντελείας χρόνων. Πᾶς δὲ γινώσκει, ὅτι ἤδη περὶ τὰ 1800 ἔτη παρῆλθον ἀπὸ τῆς ὑπὸ Τίτου ἐκ θεμελίων ἀνασκαφῆς τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ καὶ τοῦ τέλους τοῦ Ἰουδαϊκοῦ βασιλείου. Ἡ δὲ αὕτη· ὁ ὑπὸ τοῦ Δανιὴλ δειχθεὶς χρόνος τῆς τοῦ Μεσσίου ἐλεύσεως ἀναντιῤῥήτως συμπίπτει τῷ χρόνῳ, καθ' ὃν ἐγεννήθη, ἔζησε καὶ ἀπέθανεν ὁ Χριστός· καὶ γὰρ τὸ μὲν πρὸς τοῦτον ῥητῶς τὸν χρόνον προσάγουσιν αἱ τοῦ Δανιὴλ ἑπταετηρίδες· τὸ δὲ ὁ Τίτος ἀνέτρειψε τὴν Ἱερουσαλὴμ καὶ τὸν ναόν, καὶ τέλος τῷ Ἰουδαϊκῷ βασιλείῳ ἔθηκε μʹ, ἔτη μετὰ τὸν θάνατον τοῦ Σωτῆρος· τὰ δὲ γεγονότα ταῦτα, κατὰ τὴν προφητείαν, ἔδει ἐπακολουθῆσαι ἅμα τῷ θανάτῳ τοῦ Μεσσίου.

§. 79. βʹ. *Προφητεῖαι τοῦ Ἀγγαίου καὶ Μαλαχίου περὶ τῆς δόξης τοῦ δευτέρου ναοῦ τῆς Ἱερουσαλήμ, εἰς ὃν ἔμελλεν ἐλθεῖν τὸν Μεσσίαν.*

αʹ. Ἀμφοτέρας τὰς προφητείας ταύτας ἑνοῦμεν, τὴν αὐτὴν γὰρ ἔχουσιν ὑπόθεσιν, καὶ ἀλλήλας διασαφίζουσιν.

Καὶ ὁ μὲν ἅγιος Ἀγγαῖος προφητεύων ἤρξατο, ὅτε οἱ Ἰουδαῖοι, ἐπιστρέψαντες ἐκ τῆς βαβυλωνίου αἰχμαλωσίας ὑπὸ τὴν ἀρχηγίαν Ζοροβάβελ, ἐπεχειρήσαντο τὸν δεύτερον ἀνεγεῖραι ναὸν τῆς Ἱερουσαλήμ. Πολλαχῶς δὲ κωλυομένους μικροῦ ἐδέησε καταλιπεῖν τὰς ἀρχθείσας ἐργασίας, ἑαυτοὺς παραμυθοῦντας τῷ „οὔπω ἥκειν τὸν καιρὸν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου“ (Ἀγγ.

α', 2). Διὸ ὁ Θεὸς διήγειρε τὸν Ἀγγαῖον, ὃς παντοίως προὐθυμεῖτο παροτρύναι τοὺς ὁμοφύλους πρὸς τὴν ἀποπεράτωσιν τοῦ ἐπιχειρισθέντος· καὶ τὸ μὲν ἠρώτα αὐτούς, προσήκοι αὐτοῖς „οἰκεῖν ἐν οἴκοις κοιλοστάθμοις, τὸν δὲ ναὸν καταλείπειν ἐξηρημωμένον" (α', 4)· τὸ δὲ ἐβεβαίου αὐτούς, ὅτι ἡ τοῦ ναοῦ ἀνοικοδομὴ ἐπάξει ἐπ' αὐτοὺς τὴν θείαν εὐδοκίαν (8)· τὸ δὲ ἠπείλει ποιναῖς διὰ τὴν ἐναντίωσιν καὶ ὀλιγωρίαν τοῦ ἔργου τούτου (10, 11)· τὸ δὲ ἐνεψύχου αὐτοὺς τῷδε, ὅτι αὐτὸς ὁ Θεὸς ἀδιαλείπτως πάρεστιν ἐν αὐτοῖς τῇ παντοδυνάμῳ αὐτοῦ ἰσχύϊ (β', 5, 6). Ἵνα δὲ ἰσχυρώτερον ἐπ' αὐτῶν ἐνεργήσῃ, λέγει αὐτοῖς τὴν προφητείαν περὶ τῆς δόξης τοῦ δευτέρου· „θαρσεῖτε. Διότι τάδε λέγει Κύριος παντοκράτωρ· ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν ξηράν· καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ (ἥξει ἐπιθυμία ἢ προσδοκία) πάντων τῶν ἐθνῶν· καὶ πληρώσω τὸν οἶκον τοῦτον δόξης, λέγει Κύριος παντοκράτωρ· διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ, καὶ εἰρήνην ..." (Ἀγγ. β', 6-10).

Ὁ δὲ ἅγιος Μαλαχίας, ὁ τελευταῖος τῶν Προφητῶν, τὴν ἑαυτοῦ ἀπεφήνατο προφητείαν, τῷ Μεσσίᾳ ἀναγομένην, ἔτη τινὰ μετὰ Ἀγγαῖον ἐν τοῖσδε. „Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε· ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ" (Μαλαχ. γ', 1).

β'. Οὐ δύσκολον δὲ πεισθῆναι, ὅτι τὸ πρόσωπον, οὗ τὴν ἔλευσιν προαναγγέλλουσιν οἱ προφῆται, αὐτὸς ὁ Μεσσίας ἐστίν.

1. Ἐν γὰρ τῇ τοῦ Ἀγγαίου προφητείᾳ τὸ πρόσωπον τοῦτο καλεῖται ἐπιθυμία εἴτε προσδοκία (τὰ ἐκλεκτὰ) πάντων τῶν ἐθνῶν· καὶ τῷ ὀνόματι τούτῳ ἐκλήθη ὁ Μεσσίας καὶ ἐν τῇ προφητείᾳ τοῦ Πατριάρχου Ἰακὼβ (Γεν, μθ'.), καὶ ὁ κατ' ἄλλας ἐπίσης ἀρχαιοτάτας τοῦ Θεοῦ ἐπαγγελίας καὶ προφητείας (Γεν. κβ', 18 καὶ ἀλ.· Ἡσ. ια', 10· μθ', 6) τῷ Μεσσίᾳ μόνῳ προσήκειν δύναται. Συνέπεια δὲ τῆς ἐλεύσεως τοῦ προσώπου τούτου τίθεται ἡ τοῦ δευτέρου ναοῦ δόξα καὶ ὑπερβησομένη τὴν τοῦ πρώ-

του ναοῦ· τίς οὖν ἄλλος, ἐκτὸς τοῦ Μεσσίου, ἠδύνατο τόσον μέγας εἶναι, κατὰ τὰς τῶν Ἰουδαίων γνώμας, ὥστε μόνη τῇ ἐλεύσει αὐτοῦ μείζονος ἀπολαῦσαι δόξης καὶ αὐτοῦ τοῦ ναοῦ τοῦ Θεοῦ; Ὅτι δὲ ὄντως ἡ δόξα αὕτη τοῦ δευτέρου ναοῦ τίθεται ἐν ἐξαρτήσει ἐκ τῆς εἰς αὐτὸν ἐλεύσεως τῆς Προσδοκίας τῶν ἐθνῶν, καὶ οὐχὶ ἔκ τινος ἄλλου, αὐτὴ ἡ τοῦ λόγου συνέχεια δείκνυσι· καὶ γάρ, ἅμα ὁ προφήτης ἐξ ὀνόματος τοῦ Θεοῦ εἶπεν· „ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν ξηράν, καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ (τ. ε. ἡ Προσδοκία) πάντων τῶν ἐθνῶν", ἀμέσως ἐπισυνάπτει· „καὶ πληρώσω τὸν ναὸν τοῦτον δόξης". Μὴ οὖν τοιοῦτον ἀποδεξάμενοι νοῦν, οὐ δεῖξαι δυνησόμεθα τὴν ἐκπλήρωσιν τῆς προφητείας ἐπὶ τοῦ συμβεβηκότος. Γνωστὸν δέ ἐστιν, ὅτι ὁ δεύτερος ναὸς οὐ περιεῖχε πολλά, ἅτινα τὴν δόξαν καὶ ὑπεροχὴν τοῦ πρώτου καθίστων, οἷα, ἡ κιβωτὸς τῆς διαθήκης, ἡ ῥάβδος τοῦ Ἀαρών, αἱ πλάκες τοῦ νόμου, ἡ στάμνα σὺν τῷ μάννα, Οὐρεὶμ καὶ Θουμείμ*). Ἀλλὰ καὶ κατὰ τὸν ἐξωτερικὸν ὁμοίως πλοῦτον καὶ τὴν καλλονὴν πολλῷ ἥττων ἦν τοῦ πρώτου ναοῦ, ὥστε οἱ πρεσβύτεροι Ἰουδαῖοι, μεμνημένοι τῆς δόξης αὐτοῦ, ἔκλαιον, ἰδόντες τὴν ἔνδειαν τοῦ δευτέρου (Ἔσρ. γ', 12). Ἡ μόνη δὲ ὑπεροχὴ τοῦ ναοῦ τούτου ὑπὲρ τὸν πρῶτον, ἡ μόνη αὐτοῦ δόξα ῥητῶς ἦν, ὅτι αὐτὸν αὐτὸς ὁ Μεσσίας, ὁ βασιλεὺς τῆς δόξης (Ψαλμ. κγ' 7, 8), ὁ Κύριος τῆς δόξης (ά. Κορ. β', 8) τῇ αὐτοῦ ἐπισκέψει ἠξίωσεν.

2. Σαφέστεραι δὲ δείξεις εἰς τὸν Μεσσίαν εἰσὶν ἐν τῇ τοῦ Μαλαχίου προφητείᾳ. Ἐν ταύτῃ γὰρ ὁ περὶ οὗ ὁ λόγος καλεῖται ῥητῶς „Κύριος καὶ Ἄγγελος διαθήκης"· καὶ ταῦτα ὀνόματά

---

*) Αἱ ἑβρ. λέξεις Οὐρεὶμ ἐκ τοῦ ὄρ, φῶς, καὶ θουμεὶμ ἐκ τοῦ θόμ, τελειότης, μεθηρμηνεύθησαν ὑπὸ τῶν Ο'. δήλωσις καὶ ἀλήθεια. Ἐκαλεῖτο δ' οὕτω, καίπερ ἄλλων ἄλλως ἑρμηνευόντων, τὸ περὶ τὸν τράχηλον τοῦ ἀρχιερέως κόσμημα (οἷον τὸ νῦν ὑπὸ τῶν χριστ. ἀρχιερέων φερόμενον ἐγκόλπιον), ὃ ὑπὸ μὲν τῶν Ἑβραίων, κατ' Ἰώσηπον τὸν Φλάβιον ἐν Ἀρχαιολ. γ'. 8, 9., Ἐσσήνης, ὑπὸ δὲ τῶν Ἑλλήνων λόγιον ὠνομάζετο. Ἐφόρει δ' αὐτὸ ὁ ἀρχιερεὺς καὶ τὴν ἄλλην ἀρχιερατικὴν στολήν, εἰσερχόμενος εἰς τὰ Ἅγια καὶ ἱερουργῶν ἢ καὶ περὶ μελλόντων τὸν Θεὸν ἐπερωτῶν καὶ παντὸς τοὺς βασιλεῖς καὶ τὸ ἰουδαῖον ἔθνος ἀφορῶντος· Βλ. Winer's Realwörterbuch ὑπὸ τὰς λέξ. καὶ Οἰκον. περὶ τῶν Ο'. Ἑρμην. Τόμ. ά. σελ. 210. Σημ. Μ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰσι μηδενί, ἐκτὸς τοῦ Μεσσίου, κατὰ τὸ πνεῦμα πάσης τῆς παλαιᾶς Διαθήκης, προσήκειν δυνάμενα. Καὶ δὴ ἐν τῇ προφητείᾳ λέγεται, ὅτι ὁ Κύριος οὗτος ἐλεύσεται εἰς τὴν Ἐκκλησίαν αὐτοῦ· ἀλλ' οὕτω περὶ οὐδενὸς ἔξεστιν εἰπεῖν, ἐκτὸς τοῦ Θεοῦ καὶ τοῦ Μεσσίου. Καλεῖται ἔτι οὗτος ὁ Κύριος καὶ ὁ Ἄγγελος τῆς Διαθήκης προσδοκία τῶν Ἰουδαίων, οὗ αὐτοὶ ἐπιθυμοῦσι καὶ ζητοῦσι. Τίς δὲ ἦν, εἰ οὐχ ὁ Μεσσίας, τοῖς υἱοῖς Ἰσραὴλ ἐνδελεχῶς ὑπόθεσις ἐνθερμοτάτων ἐπιθυμιῶν καὶ προσδοκιῶν;

3. Αὐτοὶ οἱ Ἰουδαῖοι, ἀρχαῖοί τε καὶ πολλοὶ τῶν νεωτέρων, ἀνῆγον καὶ ἀνάγουσιν ἔτι τὰς προφητείας ταύτας τῷ Μεσσίᾳ. Καὶ τῶν μὲν ἀρχαίων μάλιστα λόγου ἄξιός ἐστιν ὁ Ῥαββῖνος Σήρ, φημιζόμενος καὶ πρὸ τῆς καταστροφῆς τοῦ β', ναοῦ[188]· ἐκ δὲ τῶν νεωτέρων οἷον δεῖξαι τοὺς Ῥαββίνους Ρασκὴν[189], Ἀκιβᾶν, Μανασσίαν[190] καὶ ἄλλους[191].

4. Ἐν ἀμφοτέραις ταύταις ταῖς προφητείαις ὁρίζεται ὁ χρόνος τῆς τοῦ Μεσσίου ἐλεύσεως, καί τοι οὐ τοσοῦτον ἀκριβῶς, ὥσπερ ἐν τῇ τοῦ Δανιὴλ περὶ τῶν ἑβδομάδων. Κατ' ἀμφοτέρας δὲ ταύτας τὰς προφητείας ὁ Μεσσίας ἐλεύσεται εἰς τὸν β', ναόν· ἄρα ἐπὶ τῆς ὑπάρξεως ἔτι αὐτοῦ καὶ οὐχὶ ἔπειτα. Ὅθεν ἡ σοφιστία νεωτέρων τινῶν Ῥαββίνων, ὅτι δῆθεν ἐνταῦθα προλέγεται περὶ τῆς μείζονος δόξης οὐ τοῦ β', ναοῦ συγκριτικῶς τῷ α', ἀλλὰ τοῦ γ', (ὃν δῆθεν οἰκοδομήσει αὐτὸς ὁ Μεσσίας μετὰ τὴν αὐτοῦ ἔλευσιν) ἐν συγκρίσει πρὸς τὸν β', πάμπαν ἀποῤῥίπτεται ὑπὸ τῆς συνεχείας τοῦ λόγου καὶ ὑπὸ τοῦ περιεχομένου ἐν τῇ προφητείᾳ τοῦ Ἀγγαίου. Παρετηρήσαμεν ἤδη, ὅτι αὐτὴ ἡ αἰτία, καθ' ἣν ἐῤῥέθη ἡ προφητεία αὕτη, ἐδόθη διὰ τὴν ὑπὸ τῶν Ἰουδαίων ἀνοικοδομὴν τοῦ ναοῦ, ἐπιστρεψάντων ἐκ τῆς βαβυλωνίου αἰχμαλωσίας ἐπὶ Ζοροβάβελ, καὶ ὅτι ὁ Ἀγγαῖος ἀπεκάλυψεν αὐτοῖς τὴν μέλλουσαν δόξαν τούτου τοῦ ναοῦ, ἵνα ἰσχυρότερον παροτρύνῃ αὐτοὺς πρὸς ἀποπεράτωσιν τῆς ἀρχθεί-

---

[188] In Talmude tract. Sanhedrin cap. XI.

[189] In Citat. Sanhedrin fol. 95.

[190] Conciliator. par. III, pag. 184.

[191] Decarim rabba sect. 1, fol. 250. Conf. Raym. Martin. Pug. fidei, pag. 576-383.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σης οἰκοδομῆς (Βλ. Ἀγγ. κεφ. α', καὶ β')· „Εἰπὼν δή, ἐντέλλεται ὁ Θεὸς τῷ προφήτῃ, πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, λέγων· τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; Καὶ νῦν κατίσχυε Ζοροβάβελ, λέγει Κύριος, καὶ κατίσχυε Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος, καὶ ποιεῖτε· διότι ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει Κύριος παντοκράτωρ· καὶ ὁ λόγος μου ὃν διεθέμην ὑμῖν ἐξελθόντων ὑμῶν ἐκ τῆς Αἰγύπτου, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν· θαρσεῖτε· διότι τάδε λέγει Κύριος παντοκράτωρ· ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν ξηράν, καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν· καὶ πληρώσω τὸν οἶκον τοῦτον δόξης, λέγει Κύριος παντοκράτωρ. Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, λέγει Κύριος παντοκράτωρ· διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι, τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον (Ἀγγ. β', 3-10)". Οὐκοῦν σαφῶς ἐνταῦθα λέγεται περὶ τοῦ αὐτοῦ ναοῦ, πρὸς οὗ τὴν οἰκοδομὴν ὁ προφήτης παροτρύνει τοὺς συγχρόνους, καὶ ὃς ἦν πρὸ τῶν ὀφθαλμῶν αὐτῶν τε καὶ τοῦ προφήτου; πολλάκις δὲ δείκνυσι „τὸν ναὸν τοῦτον, τὸν οἶκον τοῦτον". Οὐκοῦν ῥητῶς ἐνταῦθα ὁ λόγος ἐστὶ περὶ τῆς δόξης τοῦ δευτέρου ὑπὲρ τὸν πρῶτον, καὶ οὐχὶ τοῦ τρίτου ὑπὲρ τὸν δεύτερον; „μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην (Ἀγγ. β', 10)".

γ'. Ὅτι δὲ ἀμφότεραι αὗται αἱ προφητεῖαι ἐξεπληρώθησαν ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ, δῆλον ἐκ τούτου, ὅτι αὐτὸς ἀληθῶς ἦλθεν ἐπὶ τῆς γῆς ἐπὶ τῆς ὑπάρξεως ἔτι τοῦ β'. ναοῦ, καὶ πολλάκις ἐπεσκέψατο αὐτόν. Τὸ χαρακτηριστικὸν ὅμως τοῦτο κατὰ τὸ φαινόμενον κοινόν ἐστι· καὶ ἄλλοι γάρ, τότε ζῶντες, ἐπεσκέπτοντο τὸν τῆς Ἱερουσαλὴμ ναόν· ἀλλὰ πρὸς διαφορὰν πάντων τῶν ἄλλων δείκνυνται ἐν ταῖς προφητείαις καὶ εἰδικὰ χαρακτηριστικὰ τοῦ Μεσσίου, ἐνυπάρχοντα μόνῳ τῷ Ἰησοῦ Χριστῷ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς περιστάσεσι τῆς αὐτοῦ ἐλεύσεως καὶ τοῦ βίου. Μόνος γὰρ αὐτὸς πάντων τῶν προσερχομένων εἰς τὸν δεύτερον ναὸν κληθῆναι ἠδύνατο δικαίως Κύριος αὐτοῦ καὶ Ἄγγελος διαθήκης καὶ προσδοκία τῶν ἐθνῶν καὶ τῶν Ἰουδαίων· μόνος τῇ ἑαυτοῦ εἰς αὐτὸν ἐλεύσει μεγάλην αὐτῷ παρέσχε δόξαν ὑπὲρ τὴν τοῦ πρώτου. Καὶ κατὰ μὲν τὴν προφητείαν τοῦ Μαλαχίου ὤφειλεν ὁ Μεσσίας πρόδρομον ἔχειν· καὶ Χριστῷ τῷ Σωτῆρι ἦν Ἰωάννης ὁ βαπτιστής. Κατὰ δὲ τὸν Ἀγγαῖον, ὁ Θεὸς ἐπηγγείλατο ἐπὶ τῆς τοῦ Μεσσίου ἐμφανίσεως σεῖσαι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ συσσεῖσαι πάντα τὰ ἔθνη· καὶ τοῦτο ἐξεπληρώθη ἐπὶ τῆς γεννήσεως καὶ τοῦ θανάτου τοῦ ἡμετέρου Σωτῆρος.

Καθόλου δὲ ῥητέον, ὅτι ὁ ἐν ταῖς προφητείαις τοῦ Ἀγγαίου καὶ Μαλαχίου δειχθεὶς χρόνος τῆς τοῦ Μεσσίου ἐλεύσεως πρὸ πολλοῦ ἤδη παρῆλθεν, οἱ δὲ Ἰουδαῖοι εἰκῇ ἄχρι καὶ νῦν προσδοκῶσι Μεσσίαν. Πάντες γὰρ γινώσκομεν, ὅτι περὶ τὰς ιη΄, ἤδη ἑκατονταετηρίδας παρῆλθον ἀπὸ τῆς θεμελιόθεν ἀνατροπῆς τοῦ δευτέρου τῆς Ἱερουσαλὴμ ναοῦ, καὶ πάντες οἱ ἀγῶνες τοῦ ἀνοικοδομῆσαι αὐτὸν μάταιοι ἀπέβησαν.

### §. 80. *Προφητεῖαι περὶ τοῦ γένους τοῦ Μεσσίου.*

Ὁρίσαντες οἱ Προφῆται τὸν χρόνον τῆς τοῦ Μεσσίου ἐλεύσεως, προέδειξαν α΄. τὴν φυλήν, ἐξ ἧς ἔμελλε γεννηθῆναι, β΄. τὸν τόπον, ἐν ᾧ ἔμελλε γεννηθῆναι, γ΄. τὸν τρόπον τῆς γεννήσεως.

### §. 81. *α΄. Φυλή, ἐξ ἧς ὁ Μεσσίας ἔμελλε γεννηθῆναι.*

I. Οἱ κατὰ τὴν ὑπὸ νόμον περίοδον βιόντες Ἑβραῖοι ἐγίνωσκον ἤδη ἐκ τῶν θείων ἐπαγγελιῶν, τοῖς προπάτορσιν αὐτῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ δοθεισῶν, ὅτι ὁ Χριστὸς εἴτε ὁ Μεσσίας γεννηθήσεται κυρίως ἐκ τῆς φυλῆς τοῦ Ἰούδα, ὥσπερ προεῖπεν ὁ γενάρχης τῶν φυλῶν τούτων Ἰακώβ. Ἀλλ' οἱ προφῆται εἰδικώτερον δεικνῦσι τὸ γένος ἐκ πάντων τῶν γενῶν τῆς φυλῆς Ἰούδα, ἐξ ἧς ἔδει γεννηθῆναι τὸν ἐπαγγελθέντα λυτρωτήν· προαναγγέλλουσι γάρ, ὅτι ὁ Μεσσίας γεννηθήσεται „ἐκ τῆς ῥίζης Ἱεσσαί“, ἐκ τοῦ γένους τοῦ Δαυΐδ.

Καὶ τὴν προφητείαν ταύτην πρῶτος ὁ προφήτης Ναθὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπεφήνατο. Οὗτος γάρ, τῷ Δαυῒδ ἀναγγείλας, ὅτι μετὰ τὸν θάνατον αὐτοῦ ὁ υἱὸς ναὸν τῷ Κυρίῳ ἐγερεῖ, προσέθηκεν ἐξ ὀνόματος τοῦ Κυρίου, λέγων· „Καὶ πιστωθήσεται ὁ οἶκος αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ ἕως αἰῶνος ἐνώπιόν μου· καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα (β'. Βασ. ζ', 16)“. Καὶ αὐτὸς ὁ Δαυῒδ ἔν τινι τῶν Ψαλμῶν αὐτοῦ ἐπανέλαβε τοῦτο καὶ σχεδὸν αὐτολεξεί, ἐξ ὀνόματος τοῦ Θεοῦ λέγων· „ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυῒδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα (Ψαλμ. πη', 36-38)“. Ἀλλὰ καὶ παρὰ τῷ Ἡσαΐᾳ ἀπαντᾷ ἡ προφητεία αὕτη, λέγοντι· „Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ (ια', 1-3)“· καὶ κατωτέρω· „Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν (ια', 10)“. Μετὰ δὲ τὸν Ἡσαΐαν παρὰ τῷ προφήτῃ Ἱερεμίᾳ, λέγοντι· „Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαυῒδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος Ἰωσεδέκ (Κύριος δικαιοσύνη ἡμῶν) (Ἱερ. κγ', 5, 6)“· καὶ ἀλλαχοῦ· „Ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνατελῶ τῷ Δαυῒδ ἀνατολὴν δικαίαν, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐν τῇ γῇ. Ἐν ταῖς ἡμέραις ἐκείναις σωθήσεται Ἰούδα, καὶ ἡ Ἱερουσαλὴμ κατασκηνώσει πεποιθυῖα· καὶ τοῦτο τὸ ὄνομα ᾧ κληθήσεται, Κύριος δικαιοσύνη ἡμῶν (λγ', 15, 16)“. Ἔτι δὲ καὶ παρὰ τῷ Ἰεζεκιήλ, λέγοντι· „Καὶ ἀναστήσω ἐπ' αὐτοὺς ποιμένα ἕνα, καὶ ποιμανεῖ αὐτούς, τὸν δοῦλόν μου Δαυῒδ· αὐτὸς ποιμανεῖ αὐτούς, καὶ ἔσται αὐτῶν ποιμήν, καὶ ἐγὼ Κύριος ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ Δαυῒδ ἄρχων ἐν μέσῳ αὐτῶν· ἐγὼ Κύριος ἐλάλησα (Ἰεζ. λδ', 23, 24)“.

II. Ὅτι αἱ προφητεῖαι αὗται τῷ Μεσσίᾳ ἀνάγονται, δῆλον

α΄. Ἐξ αὐτοῦ τοῦ ἐν αὐταῖς περιεχομένου. Ναθὰν γὰρ καὶ αὐτὸς ὁ Δαυῒδ λέγουσι περὶ ἀπογόνου τοῦ Δαυῒδ, ὃς βασιλεύσει εἰς τὸν αἰῶνα· τοῦτο δὲ γνώρισμά ἐστιν οὐ τῷ Σολομῶντι προσῆκον οὐδὲ ἅπαντι τῷ γένει Δαυῒδ, ἐν Ἰουδαίᾳ μέχρι τῆς βαβυλωνίας αἰχμαλωσίας βασιλεύσαντι, ἀλλ' ἐντελῶς μόνῳ τῷ Μεσσίᾳ τῷ αἰωνίῳ Βασιλεῖ τῆς πνευματικῆς βασιλείας. Ὁ δὲ προφήτης Ἡσαΐας μαρτυρεῖ, ὅτι ἐπὶ τῆς ῥάβδου ταύτης τῆς ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἀναπαύσεται τὸ Πνεῦμα τοῦ Θεοῦ σὺν πάσαις ταῖς ἀφθόνοις αὐτοῦ δωρεαῖς, καὶ ἐπ' αὐτῷ ἐλπιοῦσιν ἔθνη· ὁ δὲ Ἱερεμίας ἐπισυνάπτει, ὅτι οὗτος ὁ βασιλεὺς ἔσται πάνσοφος, ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, καὶ κληθήσεται Κύριος δικαιοσύνη ἡμῶν. Ἰεζεκιὴλ δὲ τοῦτον τὸν μέλλοντα Δαυῒδ[192] παρίστησι καὶ ποιμένα καὶ ἄρχοντα, ᾧ αὐτὸς ὁ Κύριος ὑπισχνεῖται Θεὸς εἶναι· ἀλλὰ ταῦτα ἰδιότητές εἰσι μηδενὶ ἐν τῇ κυρίᾳ σημασίᾳ προσήκειν δυνάμεναι· ἐκτὸς μόνου τοῦ Μεσσίου.

β΄. Ἐκ τῆς ὁμοθύμου ὁμολογίας τῶν Ἰουδαίων. Πάντες γὰρ οἱ αὐτῶν παραφρασταί, πάντες οἱ Ταλμουδισταὶ καὶ πάντες οἱ ἀρχαῖοι συγγραφεῖς τὰς προφητείας ταύτας τῷ Μεσσίᾳ ἀνάγουσι[193], καὶ ἀπόγονον αὐτὸν ἡγοῦνται τοῦ Δαυῒδ. Ἡ κοινὴ δ' αὕτη πεποίθησις τῶν ἀρχαίων Ἰουδαίων λίαν γνωστὴ καὶ ἐκ τῆς εὐαγγελικῆς ἱστορίας. Ὁ γὰρ Ζαχαρίας ἐπὶ τῆς γεννήσεως τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ βαπτιστοῦ εὐλογεῖ Κύριον τὸν Θεὸν Ἰσραὴλ διὰ τὸ „ποιῆσαι λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἐγεῖραι κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαυῒδ τοῦ παιδὸς αὐτοῦ, κα-

---

[192] Οὐ περὶ αὐτοῦ τοῦ Δαυῒδ ἀδιστάκτως προλέγει ὁ Ἰεζεκιὴλ ἐν τῇ ἑαυτοῦ προφητείᾳ, ἀλλὰ περὶ ἑνός τινος τῶν ἀπογόνων αὐτοῦ. Ὁ γὰρ Δαυῒδ πρὸ τεσσάρων ἤδη ἑκατονταετηρίδων ἐν τῷ τάφῳ ἔκειτο· ἔθος δὲ παρ' Ἰουδαίοις ἦν καλεῖν διασήμους ἀπογόνους τοῖς ὀνόμασι διασήμοις προπάτορσιν.

[193] Ὁ ἀρχαιότατος παραφραστὴς Ἰωνάθαν Βὲν Οὐζιὴλ τὰ τοῦ προφήτου Ἱερεμίου, „καὶ ἀναστήσω τῷ Δαυῒδ ἀνατολὴν (ἀπόγονον) δικαίαν“, παρέφρασε, „καὶ ἀναστήσω τῷ Δαυῒδ Μεσσίαν δικαίων“· ὁμοίως καὶ τὰ τοῦ Ἰεζεκιήλ, „καὶ ἀναστήσω αὐτοῖς ποιμένα ἕνα, καὶ ποιμανεῖ αὐτούς, τὸν δοῦλόν μου Δαυῒδ“, ταῖς αὐταῖς παρέφρασε λέξεσι· „καὶ ἀναστήσω τῷ Δαυῒδ Μεσσίαν δικαίων“.

θὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ" (Λουκ. α', 68-70). Οἱ δὲ Φαρισαῖοι, τοῦ Σωτῆρος ἐρωτήσαντος, „τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ, τίνος υἱός ἐστιν," ἀπεκρίναντο· „τοῦ Δαυΐδ" (Ματθ. κβ', 42). Καὶ οἱ Ἰουδαῖοι, ἐξιστάμενοι τοῖς θαύμασι τοῦ Σωτῆρος, ἐν ἀπορίᾳ ἠρώτων αὐτοὶ ἑαυτούς· „Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαυΐδ" (ιβ', 23). Ἀλλὰ καὶ οἱ ἀσθενεῖς, ἐπικαλούμενοι τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἑαυτῶν πίστιν εἰς αὐτὸν ὁμολογεῖν βουλόμενοι, υἱὸν τοῦ Δαυΐδ αὐτὸν ἐκάλουν (θ', 27· ιε', 22· κ', 30· Λουκ. ιη', 38). Κατὰ δὲ τὴν ἐν πομπῇ τοῦ Σωτῆρος εἰς Ἱερουσαλὴμ εἴσοδον, οἱ βουλόμενοι τὸν ἐπαγγελθέντα λυτρωτὴν ἰδεῖν ἐν αὐτῷ, ἔκραζον· „ὡσαννὰ τῷ υἱῷ Δαυΐδ" (Ματθ. κα', 9). Οὐ μὴν ἀλλὰ καὶ μετὰ ταῦτα ἡ κοινὴ τῶν Ἰουδαίων πεποίθησις ἐπὶ τῷ, ὅτι τὸν Μεσσίαν γεννηθῆναι δεῖ ἐκ τοῦ γένους τοῦ Δαυΐδ, τοσούτῳ βαθεῖα καὶ πασίδηλος ἦν, ὥστε ὁ Αὐτοκράτωρ Τραϊανός, καταπαῦσαι βουλόμενος τὰς ταραχὰς αὐτῶν, ὑπὸ τῶν ψευδοπροφητῶν διεγειρομένας, προσέταξε πάντας τοὺς ἀπογόνους τοῦ Δαυΐδ φονεῦσαι, οὓς ἂν εὕροιεν· τότε δὴ ἐφονεύθη καὶ ὁ ἅγιος Συμεών, συγγενὴς τοῦ Κυρίου, ἐπίσκοπος Ἱερουσαλὴμ ὤν.

γ'. Ἀπόδειξις δέ, ὅτι οἱ εἰρημέναι προφητεῖαι ἐξεπληρώθησαν ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ, ὅτι ὄντως ἐγένετο ἐκ γένους Δαυΐδ, αἱ δύο εἰσὶ γενεαλογίαι αἱ ἐν τῷ Εὐαγγελίῳ καὶ πολλὰ ἄλλα τῆς εὐαγγελικῆς ἱστορίας χωρία.

### §. 82. β'. τόπος, ἐν ᾧ ὁ Μεσσίας ἔμελλε γεννηθῆναι.

1. Τὸν τόπον, ἐν ᾧ ὁ Μεσσίας ἔμελλε γεννηθῆναι, προέδειξεν ὁ προφήτης Μιχαίας ἐν τοῖς δε· „Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος" (Μιχ. ε', 2).

2. Καὶ ἤδη τό τε περιεχόμενον ἐν αὐτῇ τῇ προφητείᾳ καὶ ἡ ἀέναος καὶ ὁμόφωνος τῶν ἀρχαίων Ἰουδαίων ὁμολογία ἀναντίῤῥητά εἰσι τεκμήρια, ὅτι ὁ λόγος περὶ τοῦ Μεσσίου ἐστίν.

Ἐν γὰρ τῇ προφητείᾳ ταύτῃ ἀρκεῖ ἓν οὐσιῶδες δεῖξαι χαρακτηριστικόν· Ὁ προφήτης προαγγέλλει, ὅτι ἐκ Βηθλεὲμ ἐξελεύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεται πρόσωπον, καὶ ἄλλας ἐξόδους παρ' ἑαυτῷ ἔχον, „ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος" (προαιωνιότης, ἡμέραι αἰωνιότητος), τ. ε. αἰωνίαν ἔχον ὕπαρξιν· περὶ τίνος οὖν τῶν ἐπὶ γῆς γεννηθέντων δυνατὸν τοῦτο εἰπεῖν, ἐκτὸς μόνου τοῦ Μεσσίου; Ἀλλὰ καὶ τὰ ἄλλα τῆς προφητείας χαρακτηριστικὰ πάμπαν τῷ Μεσσίᾳ προσήκει. Λέγεται, π. χ. ὅτι ἡ μὲν ἐκ τῆς Βηθλεὲμ αὐτοῦ ἔξοδος παρέξει τῷ πολιχνίῳ τούτῳ μεγάλην δόξαν· ὁ δὲ ἐξελευσόμενος ἡγούμενος (Δεσπότης) καὶ ἄρχων ἐν τῷ Ἰσραὴλ καλεῖται, ὥσπερ Μεσσίαν ἐκάλουν αὐτὸν καὶ οἱ ἄλλοι προφῆται (Ἰεζ. λζ, 21, 24). Ἀλλὰ καὶ ἐν τοῖς ἑπομένοις ἐν τῇ προφητείᾳ ταύτῃ ἐπιβεβαιοῦται, ὅτι ὁ ἡγούμενος οὗτος, τῇ δυνάμει τοῦ Κυρίου ἐνεργῶν, συνάξει ὑπὸ τὴν ἀρχὴν αὐτοῦ ἅπαντα τὸν Ἰσραήλ, καὶ δοξασθήσεται ἕως ἄκρων τῆς γῆς (Μιχ. ε', 3, 4)· καὶ ταῦτα συνᾴδουσι ταῖς ἄλλαις περὶ τοῦ Μεσσίου προφητείαις (Ἰεζ. λζ', 21· Ψαλ. κα', 28· οα', 8)· προσοίσει σὺν ἑαυτῷ τελείαν τῷ Ἰσραὴλ εἰρήνην (Μιχ. ε', 5)· καὶ ταῦτα συνῳδὰ ταῖς ἄλλαις περὶ τοῦ Μεσσίου προφητείαις (Ἡσ. θ'; 6, 7· ια, 5-7· Ζαχ. θ', 10)· ἐξαρεῖ ἐκ τοῦ λαοῦ αὐτοῦ τὰς μαγίας καὶ τοὺς μάγους, ἐξολοθρεύσει τὰ εἴδωλα καὶ πᾶσαν εἰδωλολατρείαν (Μιχ. ε', 12-14), καὶ αὖθις ταῦτα σύμφωνα ταῖς ἄλλαις περὶ τοῦ Μεσσίου προφητείαις (Ἰεζ. λζ', 23).

Ἡ δὲ ἐνδελεχὴς τῶν Ἰουδαίων πεποίθησις, ὅτι ἡ τοῦ Μιχαίου προφητεία τῷ Μεσσίᾳ ἀνάγεται, δηλοῦται α', ἐκ τῆς μαρτυρίας τοῦ παλαιτάτου αὐτῶν παραφραστοῦ Ἰωνάθαν, μέχρι Χριστοῦ γεννήσεως ἀκμάσαντος, ὃς τάδε, „ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος", παραφράζει, „ἐκ σοῦ μοι ἐξελεύσεται Μεσσίας"· β', ἐκ τῆς εὐαγγελικῆς ἱστορίας, ἐν ᾗ λέγεται, ὅτι οἱ ἡγούμενοι τῆς Ἰουδαϊκῆς ἐκκλησίας, πάντες οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τοῦ λαοῦ, εἰς τὴν τοῦ Ἡρώδου ἐρώτησιν, „ποῦ ὁ Χριστὸς γεννᾶται", ὁμοφώνως ἀπεκρίναντο, „ἐν Βηθλεὲμ τῆς Ἰουδαίας", καὶ πρὸς βεβαίωσιν τῆς αὐτῶν ἀποκρίσεως προσήγαγον τὴν τοῦ Μιχαίου προφητείαν (Ματθ. β', 4-6)· ὡσαύτως δὲ καὶ ὁ λαός, οἰόμενος, ὅτι ὁ Χριστὸς ἦλθεν ἀπὸ Γαλιλαίας, ἐν ἀπορίᾳ ἠρώτα· „οὐχὶ ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαυῒδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυῒδ, ὁ Χριστὸς ἔρχεται" (Ἰωάν. ζ', 42)· γ', ἐξ

ἀμφοτέρων τῶν Ταλμούδων, καὶ καθόλου ἐκ τῶν μαρτυριῶν πάντων τῶν ἀρχαίων ἰουδαίων συγγραφέων, ἃς περιττόν ἐστιν ἐνταῦθα προσαγαγεῖν[194]· δ', ἐκ τοῦ ἱστορικοῦ συμβάντος τοῦδε· οἱ Ῥωμαῖοι, καταπαύσαντες τὴν ἀποστασίαν τῶν Ἰουδαίων, παρασυρθέντων ὑπὸ τοῦ ψευδοπροφήτου Βαρκοχάβ, ἀπηγόρευσαν αὐτοὺς καὶ αὐτὴν τὴν εἴσοδον εἰς Ἱερουσαλὴμ καὶ Βηθλεέμ, ὅθεν αὐτοὶ τὸν Μεσσίαν προσεδόκων[195].

γ'. Ἡ ἐκπλήρωσις τῆς προφητείας ταύτης ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ πασίγνωστός ἐστιν ἐκ τοῦ Εὐαγγελίου (Λουκ. β', 1 κλπ).

§. 83. γ'. *Τρόπος τῆς γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ.*

I. Ὁ Μεσσίας ἔμελλε γεννηθῆναι, οὐχ ὅπως οἱ ἄνθρωποι, ἀλλ' ἐκ παρθένου ἀσπίλου, ἄρα ὑπερφυσικῶς, θαυματικῶς. Τοῦτο δὲ προήγγειλεν ὁ Ἡσαΐας, λέγων· „Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ" (Ἡσ. ζ', 14).

II. Αἱ λέξεις αὗται ὄντως α', τῷ Μεσσίᾳ ἀνάγονται, β'. θαυματικὸν ὁρίζουσι τρόπον τῆς γεννήσεως αὐτοῦ, γ', ἐξεπληρώθησαν ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ.

---

[194] Βλ. De l'harmonie entre l'église et la synagogue, par Drach. tom. II, pag. 66-69, Paris 1844. Καὶ παρὰ Οὐετίῳ, Demonstr. evang. Propos. VII, cap. 25, καὶ Ἑγξτεμβέργῃ, Christologie, Th. III, S. 302-311.

[195] Ἀληθῶς τῶν Ἰουδαίων τινὲς ἀνῆγον τὴν προφητείαν τοῦ Μιχαίου τὸ μὲν τῷ Ἐζεκίᾳ, τὸ δὲ τῷ Ζοροβάβελ. Ἀλλὰ α', οὐδενὶ τούτων δύναται προσήκειν τὰ τοῦ προφήτου, „καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος"· β', οὐδεὶς αὐτῶν ἐγεννήθη ἐν Βηθλεέμ· ὁ μὲν γὰρ βασιλεὺς Ἐζεκίας ἐγεννήθη δῆτα ἐν Ἱερουσαλὴμ, ἐν ᾗ ἡ διαρκὴς διαμονὴ τῶν ἰουδαϊκῶν βασιλέων ἦν μέχρι τῆς βαβυλωνίου αἰχμαλωσίας, καὶ ἐν ᾗ ἐγεννῶντο μέχρι τότε οἱ τοῦ Δαυῒδ ἀπόγονοι· ὁ δὲ Ζοροβάβελ ἐγεννήθη ἐν τῇ βαβυλωνίᾳ αἰχμαλωσίᾳ, εἰς ἣν ὁ πάππος αὐτοῦ Ἰεχονίας δεκαοκταετὴς ἀπήχθη, οὔπω γεννηθέντος καὶ τοῦ πατρὸς τοῦ Ζοροβάβελ Σαλαφιήλ (δ'. Βασ. κδ', 8-15), καὶ ἐν ᾗ καὶ αὐτὸς ὁ Ἰεχονίας καὶ τὰ τέκνα αὐτοῦ ἀποθανεῖν ὤφειλον, μὴ ἰδόντες τὴν πατρίδα (Ἰερ. κβ', 26-28)· γ'. Ὁ Ἐζεκίας ἐγεννήθη πολὺ πρὸ τῆς ἐκφάνσεως τῆς τοῦ Μιχαίου προφητείας· ὁ γὰρ Μιχαῖος προεφήτευσεν ἤδη ἐπὶ τῆς βασιλείας Ἐζεκίου (Ἰερ. κς', 18)· δ', οὔτε ὁ Ἐζεκίας οὔτε ὁ Ζοροβάβελ ἦσάν ποτε βασιλεῖς παντὸς τοῦ Ἰσραήλ, καὶ καθόλου οὐκ ἔπραξαν ὅσα ἐν τῇ προφητείᾳ τῷ ἄρχοντι τοῦ Ἰσραὴλ ἀναφέρονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

1. *Καὶ τοῦ μὲν α΄, ἀπόδειξις τὰ ὑψηλά εἰσιν ὀνόματα, ἅπερ δίδωσιν ὁ προφήτης τῷ ἐκ παρθένου γεννηθησομένῳ βρέφει, ἐν μέρει δὲ καὶ ἡ αἰτία, ἧς ἕνεκεν ἐῤῥέθη ἡ προφητεία.*

*Κατ᾽ ἀρχὰς μὲν καλεῖ ὁ προφήτης τὸ βρέφος Ἐμμανουὴλ, καὶ τοῦτο τὸ ὄνομα προσήκειν δύναται μόνῳ τῷ Μεσσίᾳ· ἡ γὰρ λέξις Ἐμμανουὴλ δηλοῖ μεθ᾽ ἡμῶν ὁ Θεός· ἄρα δείκνυσι πρόσωπον, βιωσόμενον ἐν μέσῳ τῶν ἀνθρώπων, καὶ ἐν αὐτῷ αὐτὸς ὁ Θεός· ἀλλὰ τοῦτο δυνατὸν εἰπεῖν μόνον περὶ Θεανθρώπου (Ψαλμ. μέ, 8, 12· πή, 25). Ἐν δὲ κεφ. ή, στίχῳ 8 παρίστησι τοῦτο τὸ παιδίον ἄρχοντα τοῦ Ἰσραὴλ, ὅτι, προλέγων τὴν εἰς τὴν Ἰουδαίαν εἰσβολὴν τοῦ βασιλέως τῶν Ἀσσυρίων, λέγει· „καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου, μεθ᾽ ἡμῶν ὁ Θεός“ (τ. ε. Ἐμμανουήλ)· καὶ αὕτη νέα ἐστὶν ἰδιότης, ἥτις, ὥσπερ ἤδη εἴδομεν, κατὰ τὰς ἄλλας προφητείας τῷ Μεσσίᾳ προσῆκεν. Ἐν δὲ τῷ θ΄. κεφ. στίχῳ 6 ἐξεικονίζει τὸν Ἐμμανουὴλ ὑψίστοις χαρακτῆρσι, λέγων. „Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστός, σύμβουλος, ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. Περὶ τίνος οὖν τῶν ἀνθρώπων δυνατόν ἐστιν οὕτως ἀποφαίνεσθαι ἐκτὸς μόνου τοῦ Μεσσίου, ἐν ᾧ οἱ τῆς παλαιᾶς Διαθήκης δίκαιοι ὄντως προσεδόκων αὐτὸν τὸν Θεόν (Ψαλμ. μέ, 7, 8), τὸν Κύριον (Γεν. ις΄, 7, 10, 11· Ἐξ. γ΄, 2, 41 6. Ψαλμ. ϙθ΄, 1);[196] Ὅτι δὲ τὰ τρία τοῦ Ἡσαΐου κεφάλαια ζ΄, ή, θ΄, περὶ τοῦ αὐτοῦ παιδίου λέγουσιν, ὑπ᾽ αὐτῆς τῆς συναφείας τοῦ λόγου ὑποστηρίζεται καὶ τῆς συνομολογίας τῶν διασήμων Χριστιανῶν ἑρμηνευτῶν[197] καὶ δὴ καὶ ἰουδαίων[198].*

---

[196] *Τὰ μὲν τούτων τῶν ὀνομάτων, ἅπερ δίδωσιν ὁ προφήτης τῷ μέλλοντι παιδίῳ, ἀναντιῤῥήτως δεικνῦσιν, ὅτι ἡ προφητεία οὔτε τῷ Ἐζεκίᾳ δύναται ἀναχθῆναι, οὔτε τῷ ἑτέρῳ τοῦ Ἄχαζ υἱῷ, οὔτε τῷ υἱῷ αὐτοῦ τοῦ Ἡσαΐου, ὥσπερ βούλονται τινες τῶν νεωτέρων Ἰουδαίων.*

[197] *Οἷον· Εὐσεβίου τοῦ Καισαρείας (Εὐαγγελ. προπαρασκ. βιβ. ζ), τοῦ ἁγίου Βασιλείου τοῦ μεγάλου, τοῦ ἁγ. Κυρίλλου τοῦ Ἀλεξανδρείας, τῶν μακ. Ἱερωνύμου καὶ Θεοδωρήτου, τοῦ Προκοπίου κλπ. (Βλ. τὰς ἑρμηνείας αὐτῶν εἰς ζ, ή, θ΄, κεφ. τοῦ Ἡσαΐου, καὶ ἐν ιά, καὶ ιβ΄ καὶ ἑπόμ.).*

[198] *Οἷος, π. χ. Δαυὶδ ὁ Κιμχῆς.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ δὲ αἰτία, δι' ἣν ἐλέχθη ἡ προφητεία, ἥδε ἦν. Δύο βασιλεῖς, ὁ τῆς Συρίας Ῥαασσὼν καὶ ὁ τοῦ Ἰσραὴλ Φακεέ, πρὸς τὸν βασιλέα τῶν Ἰουδαίων Ἄχαζ πολεμοῦντες, συνέθεντο, κυριεύσοντες τῆς Ἰουδαίας, αὐτὸν ἐκθρονίσαι καὶ νέαν καταστῆσαι δυναστείαν εἰς τὸν θρόνον τὴν τοῦ Ταβεὴλ (Ἡσ. ζ', 6), ὅπερ κατὰ τὰ τότε ἔθιμα ἐδήλου θανατῶσαι τὸν Ἄχαζ καὶ ἐξαφανίσαι ἅπαν τὸ μέχρι τότε ἐν Ἰουδαίᾳ βασιλεῦον γένος, τ. ε. τὸ τοῦ Δαυῒδ[199]. Τοῦτο ἐξέπληξε τὸν Ἄχαζ, ἅπαντα τὸν οἶκον τοῦ Δαυῒδ καὶ πάντας τοὺς Ἰουδαίους (-2). Πρὸς καταπράϋνσιν οὖν αὐτῶν ἐμφανίζεται τῷ βασιλεῖ ὁ Ἡσαΐας, καὶ ἐξ ὀνόματος τοῦ Θεοῦ βεβαιοῖ αὐτόν· „οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται" (-7)· καὶ πρὸς στήριξιν τῆς ἀληθείας τῶν αυτοῦ λόγων, προτείνει αὐτῷ αἰτῆσαι παρὰ τοῦ Θεοῦ ὅ τι ἂν ἀρεστὸν αὐτῷ ᾖ σημεῖον. Ἀλλ' ὁ ὀλιγόπιστος Ἄχαζ, βουλευσάμενος ἤδη βοήθειαν παρ' ἀνθρώπων αἰτήσασθαι (β', Βασ. ις', 7-9), ἀρνεῖται σημεῖον αἰτήσασθαι, προφασιζόμενος, ὅτι οὐ δεῖ πειράζειν τὸν Κύριον. Ὁ δὲ προφήτης, καταλιπὼν τὸν βασιλέα, στρέφεται πρὸς πάντα τοῦ Δαυῒδ τὸν οἶκον, ὃν ὁ αὐτὸς ἠπείλει κίνδυνος, λέγων· „ἀκούσατε δὴ οἶκος Δαυῒδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ (Ἡσ. ζ', 13, 14)". Τὸ σημεῖον τοῦτό ἐστι τῷ οἴκῳ Ἰσραὴλ παραμυθητικώτατον καὶ πειστικώτατον, ἐὰν ἀδίστακτον ᾖ, ὅτι ὁ προφήτης δείκνυσιν ἐνταῦθα τοῖς μέλεσι τοῦ γένους τούτου τὴν μέλλουσαν τοῦ Μεσσίου γέννησιν· ἐγίνωσκον γὰρ αὐτοὶ ἤδη σὺν παντὶ τῷ ἰουδαϊκῷ λαῷ, ὅτι ὁ Μεσσίας ἐξελεύσεται ἐκ τοῦ γένους αὐτῶν· διὸ ἐν τῇ νέᾳ βεβαιώσει εἰς τοῦτο ἀπ' αὐτοῦ τοῦ Θεοῦ ἔδει

[199] Ἡ ἱερὰ ἱστορία τῆς ἐποχῆς ἐκείνης πολλὰς τοιαύτας πείρας ἐκτίθησιν. Ὁ Βαασά, π. χ. „ὡς ἐβασίλευσε, καὶ ἐπάταξε τὸν σύμπαντα οἶκον Ἱεροβοάμ, ἕως τοῦ ἐξολοθρεῦσαι αὐτόν, καὶ οὐχ ὑπελείπετο πᾶσαν πνοὴν τοῦ Ἱεροβοάμ" (γ'. Βασ. ιε', 29)· ὁ Ζαμβρί, „ἐν τῷ καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ, ἐπάταξεν ὅλον τὸν οἶκον τοῦ Βαασά, καὶ ἀγχιστεῖς αὐτοῦ, καὶ ἑταῖρον αὐτοῦ" (ις', 11). Τῇ αὐτῇ ἐνέτυχον τύχῃ καὶ οἱ ἑβδομήκοντα υἱοὶ τοῦ Ἀχαὰβ παρὰ Ἰησοῦ (δ', Βασ. ι', 1-8), καὶ ὑπὸ Γοθολίου παρεσκεύαστο παντὶ τῷ βασιλεύοντι ἐν Ἰουδαίῳ γένει (δ'. Βασ. ια', ι, καὶ ἑπόμ.) κτλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*αὐτοῖς νοῆσαι, ὅτι τὸ τοῦ Δαυῒδ γένος ἐμμενεῖ πάντως σῶον, ὅτι οὐκ ἐξολοθρευθῆναι δύναται, ὅσῳ ἂν ᾖ μέγας ὁ ἐπαπειλῶν αὐτὸ ἤδη κίνδυνος. Ὅθεν, ἀποδεξάμενοι τοὐναντίον, ὅτι ἐνταῦθα ὁ λόγος περὶ συνήθους προσώπου, ποτὲ γεννηθησομένου, οὐδαμῶς νοήσομεν, πῶς ἠδύναντο οἱ τοῦ προφήτου λόγοι παραμυθία εἶναι τῷ οἴκῳ Δαυῒδ ἐν ταῖς τότε δειναῖς περιστάσεσιν.*

2. *Τοῦ δὲ β', ὁμοίως ἀπόδειξίς ἐστι α', ἡ ὑπὸ τοῦ προφήτου τῇ τοῦ Ἐμμανουὴλ μητρὶ δοθεῖσα ὀνομασία, β', ἡ αἰτία, δι' ἣν ἐῤῥέθη ἡ προφητεία.*

*Καὶ τὴν μὲν μητέρα τοῦ Ἐμμανουὴλ ἐκάλεσεν ὁ προφήτης Ἀλμά, ὃ ἐν τῇ στενωτέρᾳ σημασίᾳ δηλοῖ παρθένον, παρθένον καθαράν, ἄμωμον, ἄσπιλον. Ἡ λέξις αὕτη ἑπτάκις ἀπαντᾶται ἐν τῇ παλαιᾷ Διαθήκῃ, καὶ πανταχοῦ ἔχει ἀκριβῶς μόνην ταύτην τὴν σημασίαν (Βλ. Γεν. κδ', 43· Ἐξ. β', 8· Ψαλμ. ξζ', 26· παράβ. Ἐξ. ιε', 20, 21· Ἀισμ. Ἀισμ. α', 2· παράβ. Ἀποκ. ιδ', 4· Ἀισμ. Ἀισμ. ς', 7. Παροιμ. λ', 19· Ἠσ. ζ', 14)*[200]. *Οἱ δε Οβ', ἰουδαῖοι πρεσβύτεροι, ἄνδρες τοῦ νόμου εἰδήμονες καὶ πεῖραν ἔχοντες, 250 ἔτη π. χ. ἑλληνιστὶ τὴν ἱερὰν ἑρμηνεύσαντες Γραφήν, μεθηρμήνευσαν τὴν λέξιν ταύτην „παρθένος,“ καὶ τούτῳ ἐμαρτύρησαν, ὅτι ἅπαντες οἱ ἀρχαῖοι Ἰουδαῖοι ὑπὸ τὴν λέξιν ἀλμὰ ἐνόουν κυρίως παρθένον, καὶ οὐχὶ ὕπανδρόν τινα νέαν γυναῖκα, ὥσπερ βούλονται νοεῖν οἱ μεταγενέστεροι αὐτῶν ἀπόγονοι*[201]. *Καὶ ὁ προσήλυτος Ὄγκελος, Χαλδαϊκὴν γράψας παράφρασιν εἰς τὴν Πεντάτευχον οὐ πολὺ π. Χ., πανταχοῦ χρῆται τῇ λέξει ἀλμὰ εἰς τὴν σημασίαν μόνον „παρθένος“ (βλ., Ταργούμιον αὐτοῦ εἰς Γεν. κδ', 16· Δευτερ. κβ', 11· λβ', 25), καὶ νέαν παρέχει μαρτυρίαν, πῶς ἐνόουν τὴν λέξιν οἱ ἀρχαῖοι Ἰουδαῖοι. Ἐτυμολογικῶς δὲ ἀλμὰ σημαίνει κεκρυμμένην, ὥσπερ ὀρθῶς καλεῖσθαι ἠδύναντο ἐν τῇ ἀνατολῇ μόναι αἱ παρθένοι, αἵτινες κατὰ τὰ ἐκεῖ ἔθιμα μέχρι τοῦ ἐαν-*

[200] *Τοῦτο ἀκριβῶς ἀποδείκνυσιν ὁ Δράχης, κατὰ τάξιν θεωρήσας τὰ εἰρημένα χωρία, καὶ παραβαλὼν τὴν χρῆσιν τῆς λέξεως ἀλμὰ πρὸς δύο ἄλλας συνωνύμους ἀλλ' οὐ ταυτοσήμους, πρὸς τὰς Νααρὰ καὶ Βεθύλα* (De l'harmonie entre l'église et la synagogue, tome. II., pag. 135-167. Paris 1844).

[201] *Πάσας αὐτῶν τὰς ἀποδείξεις καὶ τὰς ἀνασκευὰς τῶν ἀποδείξεων τούτων οἷον ἰδεῖν αὐτόθι παρὰ Δράχῃ σελ.* 111-134.

τῶν γάμον οὐκ ἐτόλμων φαίνεσθαι ἐν ταῖς συναναστροφαῖς, ἀλλ' „ἐκρύπτοντο“ ἐν τῇ οἰκίᾳ τῶν γονέων (β', Μακκ. α', 15[202].

Ἡ δὲ αἰτία τῆς προφητείας, γνωστὴ ἡμῖν ἤδη οὖσα, δείκνυσιν, ὅτι ὁ προφήτης, ἀποφαινόμενος αὐτήν, ἠβούλετο δεῖξαι τοῖς μέλεσι τοῦ οἴκου Δαυΐδ σημεῖον καὶ μέγιστον (Ἡσ. ζ', 11, 16), ὃ ἂν αὐτοὺς βεβαιώσειεν, ὅτι ἡ βουλὴ τῶν βασιλέων τῶν Συρίων καὶ τοῦ Ἰσραὴλ ἐνθρονίσαι ἐπὶ τὸν θρόνον Δαυΐδ νέαν δυναστείαν οὐκ ἔσται. Κατὰ τοῦτον οὖν τὸν σκοπὸν ὁ προφήτης μνείαν τοῦ Μεσσίου ποιεῖται, ὃς ἔμελλε γεννηθῆναι ἐκ τοῦ οἴκου Δαυΐδ, ὅπερ οἱ Ἰουδαῖοι ἤδη ἐγίνωσκον· ἀλλὰ τούτῳ προστίθησι καὶ νέον χαρακτηριστικὸν τῆς γεννήσεως τοῦ Μεσσίου, πάμπαν μέχρι τότε ἄγνωστον, ἄηθες καὶ ἐκπληκτικόν, ὃ ὄντως ἠδύνατο εἶναι τοῖς πιστεύουσι σημεῖον καὶ μέγιστον. Ὁ γὰρ προφήτης λέγει, ὅτι ὁ Μεσσίας συλληφθήσεται καὶ γεννηθήσεται ὑπὸ ἁγνοτάτης καὶ ἀμώμου παρθένου, ἄρα συλληφθήσεται καὶ γεννηθήσεται θαυματικῶς, τ. ε. ὑπερφυσικῶς. Ἐν τίνι δ' ἄν, ἐρωτῶμεν σὺν τοῖς ἀρχαίοις τῆς Ἐκκλησίας διδασκάλοις[203], εἴη τὸ μέγιστον τοῦτο σημεῖον, εἰ ὁ προφήτης ἐδείκνυεν ἐνταῦθα τοῖς Ἰουδαίοις συνήθη γέννησιν παιδίου τινός, τ. ε. εἰ ἔλεγεν, ὅτι γυνή, ὥσπερ νοοῦσιν οἱ νεώτεροι Ἰουδαῖοι, καὶ οὐ παρθένος γεννήσει υἱόν;

Ἄξιον δὲ σημειώσεως πρὸς τοῖσδέ ἐστιν, ὅτι καὶ πολλοὶ τῶν ἀρχαίων Ἰουδαίων, καίτοι ἐπὶ τῇ βάσει ἄλλων χωρίων τῶν Βιβλίων, ἐπίστευον, ὅτι ὁ Μεσσίας γεννηθήσεται κατ' ἴδιον τρόπον, τ. ε. ὑπερφυσικῶς, ἄνευ πατρός, ἐκ παρθένου[204].

---

[202] Πολλὰς ἄλλας ἀντιῤῥήσεις κατὰ τοῦ χωρίου τούτου Ἰουδαίων τε καὶ λογιστῶν, ἀνασκευάζει ὁ αὐτὸς Δράχης (αὐτόθι, σελ. 173-206.).

[203] Εἰρην. κατὰ αἱρέσ. γ', 27, 7· Tertull. adv. Judaeos cap. 9. καὶ ἄλλοι.

[204] Π. Χ. Ὁ Ῥαββῆς εἴτε ῥαββῖνος Μωσῆς Ἀδδαρσάνος in Midrasche, ἑνὸς τοῦ Ταλμούδου μέρους, ἐν τῇ ἑρμηνείᾳ τῶν τοῦ ψαλμοῦ „ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν (ἐκ δὲ τοῦ Ἑβραϊκοῦ, ἀναφανήσεται), καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε“ (Ψαλ. πδ', 12), γράφει τάδε· ὁ ῥαββῆς Ἰουδὰν ἔλεγε· „τοῦτο ἡ Σωτηρία (ὁ Σωτὴρ) ἡμῶν ἐστιν, ἐκ τῆς γῆς ἀναφανησομένη τῇ ἀμέσῳ τοῦ Θεοῦ ἐνεργείᾳ, καὶ ἔσονται τότε ἀμφότεραι (ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη) συνηνωμέναι. Διὰ τί δὲ εἴρηται, ἀναφανήσεται καὶ οὐ γεννηθήσεται; Διότι ὁ τρόπος τῆς γεννήσεως αὐτοῦ (τοῦ Σωτῆρος) οὐχ ὅμοιος ἔσται τῇ γεννήσει τῶν ἐπιγείων κτισμάτων, ἀλλὰ πάμπαν διάφο-

3. *Τὴν δ' ἐκπλήρωσιν τῆς προφητείας ταύτης τοῦ Ἡσαΐου ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ ἐπίτηδες ἐσημείωσεν ὁ ἅγ. εὐαγγελιστὴς Ματθαῖος, ἅμα εἰπὼν περὶ τῆς ἀσπόρου συλλήψεως αὐτοῦ ἐν τῇ γαστρὶ τῆς ὑπεραγίας Παρθένου Μαρίας, καὶ προσέθηκε· „Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός“ (Ματθ. α', 23, 24). Πῶς δὲ τῷ Ἰησοῦ Χριστῷ προσήκουσιν ἅπαντα τὰ ὑπὸ τοῦ Ἡσαΐου τῷ θαυματικῷ ἀποδοθέντα Παιδίῳ, παντὶ τῷ πιστεύοντι γνωστόν ἐστιν.*

§. 84. *Προφητεῖαι περὶ τοῦ προσώπου καὶ τῶν ἔργων τοῦ Μεσσίου.*

*Ὡς πρὸς τοῦτο οἱ προφῆται προεῖπον, ὅτι ὁ Μεσσίας α', ἔσται ἄνθρωπος ἅμα καὶ Θεός· β', Προφήτης, ὃς παραδώσει τοῖς ἀνθρώποις νόμον νέον· γ', Ἀρχιερεύς, ὃς ἑαυτὸν θυσίαν προσοίσει ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων· δ', Βασιλεύς, ἀλλὰ πνευματικῆς βασιλείας, τοῦ νέου Ἰσραήλ.*

§. 85. *α'. Περὶ τοῦ Μεσσίου ἀνθρώπου ἅμα καὶ Θεοῦ.*

I. *Καὶ τὴν μὲν ἀνθρωπότητα τοῦ Μεσσίου σαφῶς δεικνῦσιν ἅπασαι αἱ προῤῥηθεῖσαι προφητεῖαι, αἵτινες λέγουσι τὴν φυλήν, ἐξ ἧς αὐτὸν γενέσθαι ἔδει, τὸν τόπον καὶ αὐτὸν τὸν τρόπον τῆς γεννήσεως ἐκ Παρθένου. Διὸ περιττὸν ἂν εἴη προσαγαγεῖν ἐνταῦθα ἄλλας προφητικὰς ὁμοίας ῥήσεις.*

II. *Τὴν δὲ Θεότητα αὐτοῦ μαρτυροῦσιν.*

1. *Τὰ χωρία τῆς παλαιᾶς Γραφῆς, ἐν οἷς ὁ Μεσσίας ῥητῶς Κύριος* (Jehova) *καλεῖται· τοῦτο δὲ τὸ ὄνομα κατὰ τὴν ὁμολο-*

---

*ρος αὐτῶν ἐν πᾶσιν ...“ „Ἐν τῇ αὐτῇ δὲ Μιδράσχῃ εἰς βίβλον Γεν. κεφ. λζ', στ. 22 λέγεται· Ὁ ῥαββῆς Βεραχίας ἔλεγεν· Ὁ ἅγιος Θεὸς εἶπε τοῖς Ἰσραηλίταις· αἰτιᾶσθέ με· „Ὀρφανοὶ ἐγεννήθημεν, οὐχ ὑπάρχει πατὴρ (Θρήν. Ἱερ. ε', 3)“, καὶ τοῦ λυτρωτοῦ, ὃν ἐγὼ ἐξ ὑμῶν ἐγερῶ, οὐχ ἔξοντος πανέρα. Εἴρηται γάρ· Ζαχ. ϛ', 12· Ἡσ. νγ', 2· Ψαλμ. ρθ', 3...“. Ἀλλὰ καὶ ἐν τῷ γ'. χωρίῳ Γεν. μα', 1, ἡ αὐτὴ Μιδράσχη βεβαιοῖ, ὅτι „ὥσπερ ἡ πτῶσις ἐγένετο διὰ παρθένου, οὕτω καὶ ἡ ἀνέγερσις διὰ παρθένου“. Ἄλλα ὅμοια χωρία εἰσάγει ὁ Δράχης,* De l'harmonie ... tom. 11. pag. 37-50.

γίαν πάντων τῶν Ἰουδαίων ἀποκλειστικῶς μόνῳ τῷ Θεῷ προσήκει, καὶ ὅπερ ἦν παρ' αὐτοῖς ἐν τοσαύτῃ τιμῇ, ὥστε ἅπαξ τοῦ ἔτους προὐφέρετο ὑπὸ τοῦ ἀρχιερέως τὴν ἡμέραν τοῦ καθαρισμοῦ. Καὶ τοιαῦτα χωρία ἀναγινώσκομεν παρὰ τῷ προφήτῃ Ἱερεμίᾳ· α'. „Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαυῒδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος, Ἰωσεδὲκ (τ. ε. Κύριος (Jehovah) δίκαιος ἡμῶν) (Γεν· κγ', 5-7)". β'. „Ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ ἀναστήσω τὸν λόγον μου τὸν ἀγαθόν, ὃν ἐλάλησα ἐπὶ τὸν οἶκόν μου Ἰσραήλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα. Ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνατελῶ τῷ Δαυῒδ ἀνατολὴν δικαίαν, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐν τῇ γῇ. Ἐν ταῖς ἡμέραις ἐκείναις σωθήσεται Ἰούδα, καὶ ἡ Ἱερουσαλὴμ κατασκηνώσει πεποιθυῖα· καὶ τοῦτο τὸ ὄνομα ᾧ κληθήσεται, Κύριος (Jehova) δικαιοσύνη ἡμῶν (λγ', 14-16.)". Τὰς ἀποδείξεις, ὅτι ἀμφότεραι αἱ ῥήσεις αὗται τῷ Μεσσίᾳ ἀνάγονται, εἴδομεν ἀνωτέρω (§. 81), καὶ αὐτοὶ οἱ ῥαββῖνοι νοοῦσιν αὐτὰς οὕτως[205].

2. Χωρία δέ, ἐν οἷς ὁ Μεσσίας καλεῖται Ἀδωναΐ, Ἐλογὶμ καὶ ὁμοίοις ὀνόμασιν, ἅτινα, καίτοι ἤδη οὐκ εἰσιν ὀνόματα, τῷ Θεῷ μόνῳ ἀποδιδόμενα, ἀλλ' ἔστιν ὅτε ἐν τῇ Γραφῇ καὶ τοῖς βασιλεῦσι καὶ ἀγγέλοις, κατ' ἐξοχὴν ὅμως ὀνόματά εἰσι τοῦ Θεοῦ. Ἐνταῦθα ἀνάγονται α', τὰ τοῦ Ψαλμοῦ μδ', στ. 7 καὶ 8· „Ὁ

---

[205] Π, χ. 1, ἐν Βαβα-Βάτρα, ἑνὶ τῶν ἄρθρων τοῦ Ταλμούδου (fol. 79 vers.) γράφεται· „Ὁ Ῥαββῆς Σαμουήλ, ὁ τοῦ Ναχμενίου, εἶπεν ἐξ ὀνόματος τοῦ ῥαββῆ Βογγανοῦ· Ὁ Μεσσίας τὸ ὄνομα αὐτοῦ τοῦ Θεοῦ φέρει· γέγραπται γάρ· καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσουσιν αὐτόν, Jehova δίκαιος ἡμῶν (Ἱερ. κγ', 6)". 2, Ἐν δὲ τῇ Μεδρασχῇ Τεγιλλὶμ εἰς Ψαλμ· κά, „ὁ Μεσσίας καλεῖται τῷ ὀνόματι τοῦ Θεοῦ· γέγραπται γάρ· τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσουσιν αὐτόν, Jehova δίκαιος ἡμῶν". 3, Ἐν τῇ Μεδρασχῇ Ῥαββᾶ εἰς θρήνους Ἱερεμίου (fol. 68, col. 2, edit. Amster.)· „ὁποῖον τὸ ὄνομα τοῦ βασιλέως Μεσσίου; Ὁ Ῥαββῆς Ἀββᾶς, ὁ Καγάνου, ἀπεκρίνατο· Jehova τὸ ὄνομα αὐτοῦ· γέγραπται γάρ· καὶ τοῦτο τὸ ὄνομα, ὃ καλέσουσιν αὐτόν, Jehova δίκαιος ἡμῶν".

θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλιάσεως παρὰ τοὺς μετόχους σου“· ἅτινα ὁμοφώνως ὑπὸ τῶν ῥαββίνων τῷ Μεσσίᾳ ἀποδίδονται[206]· β', τὰ τοῦ ρθ' Ψαλμοῦ, τῷ Μεσσίᾳ ὁμοίως ἀναγομένου[207]· „Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Κάθου ἐκ δεξιῶν μου (στ. 1)“· γ', τὰ τοῦ προφήτου Ἡσαΐου· „Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ (Ἡσ. ζ', 14), καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστός, σύμβουλος, ἰσχυρὸς, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος (θ', 6)· καὶ κατωτέρω· „Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν (μ', 3)· Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος· Κύριος μετὰ ἰσχύος ἔρχεται (-10)· δ', τὰ τοῦ προφήτου Μαλαχίου· „Καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος ... (Μαλ. γ', 1)“ κλπ.

3. Χωρία, ἐν οἷς ὁ Μεσσίας υἱὸς τοῦ Θεοῦ, ἀπ' αἰῶνος γεννηθείς, ἀπεικονίζεται. Ἐν Ψαλμ. β', ὃν ἅπασα ἡ ἰουδαία ἐκκλησία τῷ Μεσσίᾳ ἀπεδίδου[208], ὁ Μεσσίας λέγει περὶ ἑαυτοῦ· „Κύριος εἶπε πρός με· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά

[206] Βλ. πρὸς τοῖς ἄλλοις Σημ. εἰς τὸν Ψαλμ. τοῦτον Δαυῒδ Κιμχῆ, Ἄβεν Ἔσρα, Ἰβὴν Βεγγάη.

[207] Ἐν Μεδρασχῇ Τιγιλλὶμ εἰς τοῦτον τὸν Ψαλμ.· „αἱ περιστάσεις τοῦ βασιλέως Μεσσίου καὶ τῶν αὐτοῦ μυστηρίων ἐκτέθεινται ἐν τῷ κειμένῳ τοῦ Νόμου, τῶν Προφητῶν καὶ Ἁγιογράφων· Ἐν μὲν τῷ τῶν Ἁγιογράφων ἐκτέθειται, εἴρηται γάρ· „Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου (Ψαλμ. ρθ', 1)“, „κατωτέρω· Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ (-4)“. Παρὰ δὲ Μοσχῇ Ἀδδαρσὰν εἰς Γεν. ιη', 1· „εἰς τὸ μέλλον ὁ ἅγιος Θεός, εἴη δεδοξασμένος, καθίσει τὸν βασιλέα Μεσσίαν ἐκ δεξιῶν αὐτοῦ, γέγραπται γάρ. „Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου“. Ὁ Ῥαββῆς Ὀβάδης Σεφόρνος εἰς ρθ', Ψαλμ.· „ὁ ἅγιος Ψαλμῳδὸς συνέταξε τὸν Ψαλμὸν τοῦτον, τὸν Μεσσίαν θεωρῶν, καὶ εἶπεν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου“. Πολλὰ καὶ ἄλλα χωρία Βλ. παρὰ Ῥαϊμούνδῳ Μαρτίνῳ· Pugio fidei, par. III. distinct. III, cap. II pag. 641-660.

[208] Talmud. tract. Succa fol. 25. Zohar. in Numero fol. 94, col. 576. Medrasch-Rabba in Genes. 15, 2· Medrasch-Thehillim et Medrasch-Valkut in Psalm 2.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σε (στ. 7)" ἐν δὲ τῷ ρθ', ὃς πᾶς τῷ Μεσσίᾳ ὁμοίως ἀνάγεται[209], ὁ Θεὸς λέγει πρὸς αὐτόν· „Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε (στ. 3)" καὶ ὁ προφήτης Μιχαίας μαρτυρεῖ περὶ Μεσσίου, λέγων· „αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος (Μιχ. ε', 2)".

III. Τὴν δὲ ἑνότητα τῶν δύω φύσεων ἀνθρωπίνης τε καὶ θείας ἐν τῷ Ἰησοῦ Χριστῷ, κατὰ τὰς προφητείας ταύτας, κηρύσσει ἡμῖν τὸ Εὐαγγέλιον.

§. 86. β'. Περὶ τοῦ Μεσσίου ὥσπερ προφήτου.

1. Πλεῖστά εἰσιν ἐν τῇ παλαιᾷ Διαθήκῃ καὶ μάλιστα παρὰ τῷ προφήτῃ Ἡσαΐα χωρία, ἐν οἷς προαγγέλλεται, ὅτι ὁ Μεσσίας Προφήτης ἔσται καὶ Προφήτης παγκόσμιος, τ. ε. τῶν τε Ἰουδαίων καὶ ἐθνικῶν, τάδε.

„Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ, ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν· καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη, καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι· δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ· καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν (β', 2-4)". Τὸ χωρίον τοῦτο ὁμοθύμως τῷ Μεσσίᾳ ἀπεδίδοσαν οἵ τε Χριστιανοὶ καὶ οἱ ἀρχαῖοι ἑρμηνευταὶ Ἰουδαῖοι[210].

„Καὶ εἶπέ μοι (ὁ Θεός). μέγα σοι ἐστὶ τοῦ κληθῆναι παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακώβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι· ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς (μθ', 6)". Και τοῦτο τὸ χωρίον τῷ Μεσσίᾳ ἀνάγεται, ὅπερ δῆλον, ἐκ τῆς συναφείας τοῦ λόγου, πρὸς δὲ ὑποστηρίζεται ὑπὸ τῆς ὁμολογίας τῶν τε Χριστιανῶν καὶ τῶν ἀρχαίων Ἰουδαίων συγγραφέων[211].

---

[209] Βλ. ἀνωτ. σημ. 207.

[210] Huet. Demonstr. Evangel., proposit. VII, 11, 15.

[211] Αὐτόθι· παρ. Ἰουστιν. Διαλ. πρὸς Τρύφων. κεφ. ρκα'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Τοιαῦτα χωρία εἰσὶ καὶ τάδε· Ψαλμ β', 7-12· Ἡσ. μβ', 6, 7· νβ', 10· νε', 3-6· ξα', 1, 12 καὶ ἄλλα. Ἕνεκα δὲ τῶν προφητειῶν τούτων οἱ ἀρχαῖοι Ἰουδαῖοι ὄντως καὶ προσεδόκων τὸν Μεσσίαν διδάσκαλον καὶ καθηγητὴν οὐ μόνον ἑαυτῶν, ἀλλὰ καὶ ἅπαντος τοῦ κόσμου, ὥσπερ φαίνεται καὶ ἐκ τῶν λόγων Συμεῶνος τοῦ Θεοδόχου, ὀνομάσαντος τὸν Κύριον Ἰησοῦν „φῶς εἰς ἀποκάλυψιν ἐθνῶν (Λουκ. β', 23)“.*

*2. Ἀλλ' οὐκ ὀλίγαι εἰσὶ καὶ αἱ προφητικαὶ ῥήσεις, ἐν αἷς λέγεται, ὅτι ὁ Μεσσίας προφήτης ἀναγγελεῖ τοῖς ἀνθρώποις ῥητῶς νέον νόμον, καὶ οὐκ ἀνακαινίσει μόνον τὸν ἀρχαῖον, τ. ε. τὸν Μωσαϊκόν, ὥς τινες τῶν νεωτέρων Ἰουδαίων διδάσκουσιν. Ἀλλὰ καὶ ἐνταῦθα ἀρκεῖ δύο σαφεστάτας ῥήσεις προσαγαγεῖν.*

*Καὶ ἡ μὲν παρὰ τῷ προφήτῃ Ἱερεμίᾳ ἐστὶν ἥδε· „Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ αὐτῶν, φησὶ Κύριος. Ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπιγράψω αὐτοὺς ἐπὶ τὰς καρδίας αὐτῶν, καὶ ὄψομαι αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ μὴ διδάξωσιν ἔτι ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων, γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, φησὶ Κύριος· ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι (Ἱερ. 31, 31-35)“. Πασιφανὲς δέ ἐστιν, ὅτι τὸ χωρίον τοῦτο οἱονεὶ ἐπίτηδες γέγραπται κατὰ τῆς ψευδοῦς τῶν Ἰουδαίων γνώμης. Ὁ γὰρ προφήτης λίαν ὡρισμένως λέγει οὐ περὶ τῆς ἀνακαινίσεως τῆς παλαιᾶς Διαθήκης, τῆς διὰ Μωϋσέως δοθείσης, ἀλλὰ περὶ καινῆς, διαφόρου τῆς Μωσαϊκῆς· „καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου“. Ἀκριβῶς δὲ οὕτως ἡρμήνευεν ὁ ἅγ. Ἀπόστολος Παῦλος τὸ χωρίον τοῦτο (Ἑβρ. η',*

6-13), *καὶ μετ' αὐτὸν πολλοὶ ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας*[212].

*Ἡ δὲ παρὰ τῷ προφήτῃ Μαλαχίᾳ, λέγοντι· „Καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν· οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται ἐπὶ τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος παντοκράτωρ (Μαλ. α', 10, 11)". Καὶ ἐν τούτοις σαφέστατα προλέγεται τὸ μὲν ἡ παῦσις καὶ ἀποβολὴ ὑπὸ τοῦ Θεοῦ τῶν τῆς παλαιᾶς Διαθήκης θυσιῶν, ἄρα καὶ τοῦ περὶ τελετῶν μωσαϊκοῦ νομου, καθ' ὃν προσεφέροντο αἱ θυσίαι ἐν μόνῃ τῇ Ἱερουσαλήμ, τὸ δὲ διάταξις νέας καθαρωτάτης θυσίας, ἥτις προσενεχθήσεται ἤδη ἐν ἅπαντι τῷ κόσμῳ, κατὰ τὸ πνεῦμα τοῦ νέου νόμου, ἀνταλλάξοντος τὸν Μωσαϊκόν. Πολλοὶ δὲ τῶν διασήμων ποιμένων τῆς ἀρχαίας Ἐκκλησίας ἐχρήσαντο καὶ τῷ χωρίῳ τούτῳ κατὰ τῶν Ἰουδαίων, δεικνύοντες αὐτοῖς, ὅτι ἡ σκιὰ τοῦ νόμου αὐτῶν παρελθεῖν ὤφειλε, τῆς χάριτος ἐλθούσης*[213].

3. *Χριστὸς ὁ Σωτὴρ ὄντως προφήτης ἦν κατὰ ταύτην τὴν σημασίαν, ὡς προεῖπον τοῦτο περὶ Μεσσίου οἱ προφῆται, καὶ ἐδωρήσατο παντὶ τῷ κόσμῳ νέον νόμον.*

### §. 87. *γ'. Περὶ τοῦ Μεσσίου ὡς ἀρχιερέως.*

1. *Ὅτι μὲν ὁ Μεσσίας ἔσται Ἀρχιερεὺς εἴτε Ἱερεύς, σαφῶς προείρηται ἐν τῷ 4 στίχῳ τοῦ ρθ', Ψαλμοῦ· „ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ". Ἐκτὸς δὲ ὅτι ἅπας ὁ ψαλμὸς οὗτος, ὥσπερ εἴδομεν*[214], *ἀνάγεται τῷ Μεσσίᾳ, αὐτὸ τὸ σύνολον τοῦ*

---

[212] *Χρυσοστ. περὶ μετανοίας Ὁμιλ. ς', ἀρ. 4· Ἀμβροσ.* Epistol. XLIV. Horentiano, n. 15. *Λακταντ.* Divin. instit. IV, cap. 20.

[213] *Ἰουστῖν. Διάλ. πρὸς Τρύφων. κεφ. μα'. Χρυσοστ. κατὰ Ἰουδαίων κεφ. ε', ἀρ.* 12. *Ἱερωνύμ.* Epistol. ad Paulianam 1, de studio script. Augustin. De civitate Dei XVIII, cap. 35, n. 3.

[214] *Βλ. ἀνωτ. σημ.* 207.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσαχθέντος χωρίου καὶ ἡ συνάφεια τοῖς προηγουμένοις ἐντελῶς πείθουσιν ἡμᾶς, ὅτι αὕτη οὐδενὶ δύναται ἀναχθῆναι ἐκτὸς τοῦ Μεσσίου. Ὁ γὰρ περὶ οὗ ὁ λόγος ἐνταῦθα καλεῖται α΄, ἱερεὺς εἰς τὸν αἰῶνα, ὅπερ οὐδενὶ τῶν ἀνθρώπων εἰπεῖν ἔξεστι· β΄, ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ, ἁπάντων τῶν ἰουδαίων ἱερέων κατὰ τὴν τάξιν Ἀαρὼν ὄντων· ἱερεῖς δέ τινες κατὰ τὴν τάξιν Μελχισεδὲκ ἄγνωστοι πάντως εἰσὶν ἐν τῇ ἀρχαιότητι· γ΄, Κύριος καὶ τοῦ Δαυΐδ, καὶ τοιοῦτος, ᾧ αὐτὸς ὁ Ἰηὼ (Jehovah) εἶπε· „κάθου ἐκ δεξιῶν μου“ (στ. 1).

2. Ὅτι δὲ ὁ σπάνιος οὗτος ἱερεύς, ὁ κατὰ τὴν τάξιν Μελχισεδέκ, προσοίσει τῷ Θεῷ ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων καὶ θυσίαν σπανίαν εἴτε ἀλήθῆ, καὶ οὐ κατὰ τοὺς τῆς παλαιᾶς Διαθήκης ἱερεῖς, κατὰ τὴν τάξιν Ἀαρὼν ὄντας, τ. ε. ἑαυτὸν εἰς θυσίαν προσοίσει, δῆλον α΄, ἐκ τῶν λόγων τοῦ Δανιήλ, λέγοντος. „Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο, ἐξολοθρευθήσεται χρίσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ“, τ. ε. φονευθήσεται ὁ Μεσσίας οὐχ ὑπὲρ ἑαυτοῦ (Δαν. θ΄, 26)· β΄, σαφέστερον καὶ ἀκριβέστερον ἐκ τοῦ νγ΄, κεφ. στ. 1-8 τοῦ Προφήτου Ἡσαΐου, λέγοντος· „Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων τοῦ Κυρίου ἐπὶ τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας ἀνθρώπους· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ ὑπὸ Θεοῦ, καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν, παιδεία εἰρήνης ἡμῶν ἐπ᾿ αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη·

τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον". Τὸ χωρίον τοῦτο τοσαύτην ἐκπληκτικὴν τῇ ἱστορίᾳ τῶν παθῶν τοῦ Κυρίου ἡμῶν ὁμοιότητα ἔχει, ὥστε κατὰ τὴν ἔκφρασιν τῶν χριστιανῶν συγγραφέων, γέγραπται ὑπὸ τοῦ προφήτου οἱονεὶ παρὰ τῷ σταυρῷ τοῦ θείου Μάρτυρος. Ἀλλὰ καὶ αὐτοὶ οἱ ἀρχαῖοι Ἰουδαῖοι ἀπεδίδοσαν τὸ χωρίον τοῦτο τῷ Μεσσίᾳ. Ὁποῖον τὸ ὄνομα τοῦ Μεσσίου; ἐρωτᾷ τὸ Ταλμοῦδον, καὶ ἀποκρίνεται· „ὀδυνηρός", ὥσπερ εἴρηται· „οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται (Ἡσ. νγ', 4)"[215], „Ὁ Μεσσίας ἐφ' ἑαυτοῦ φέρει, λέγεται ἀλλαχοῦ τοῦ Ταλμούδου, τὰ πάθη καὶ τὰς κακώσεις διὰ τὰς ἁμαρτίας τοῦ Ἰσραήλ. Εἰ δὲ μὴ ἐφ' ἑαυτὸν ἦρε τὰ πάθη ταῦτα, οὐδεὶς ἄνθρωπος ἐν τῷ κόσμῳ ὑπομεῖναι ἠδύνατο τὰς ἀναγκαίως παρομαρτούσας διὰ τὴν τοῦ νόμου παράβασιν ποινάς. Ὅτε οἱ Ἰσραηλῖται ἐν τῇ ἑαυτῶν γῇ κατῴκουν, ἀπέφευγον πάντα τὰ πάθη καὶ τὰς δυστυχίας τοῖς ὁλοκαυτώμασιν· ἀλλὰ μετὰ ταῦτα ἐκ ποδῶν ποιεῖται ταῦτα αὐτὸς ὁ Μεσσίας· γέγραπται γάρ· „Αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν, παιδεία ἡμῶν ἐπ' αὐτόν (Ἡσ. νγ', 5)"[216].

---

[215] Tract. Talmud. babyl. distinct. Chelek.

[216] Jalkut Chàdach, fol. 154. col. 4, num. 29, Tit. Nechamoth. *Πολλὰ καὶ ἄλλα ὅμοια χωρία εἰσὶν ἐν τῷ Ταλμούδῳ* (*Βλ.* apud Raym. Martinum, Pugio fidei ..., par. III, distinct. III, cap. 16). *Οὐχ οἷον δέ ἐστι μὴ ἐνταῦθα προσαγαγεῖν καὶ ἓν αὐτῶν λίαν λόγου ἄξιον χωρίον τόδε· Ὁ ἅγιος καὶ εὐλογητὸς Κύριος, λέγεται ἐν Μεδράσχῃ τοῦ ῥαββῆ Μωσῆ Ἀδδαρσχάνου εἰς Γεν. α', 1, τάσδε τὰς συνθήκας τῷ Μεσσίᾳ συνέθετο, εἰπὼν αὐτῷ. Μεσσία, δίκαιέ μου! Αἱ ἀνθρώπιναι ἁμαρτίαι ἐπιβάλλουσιν ἐπὶ σὲ ζυγὸν βαρύν· οἱ ὀφθαλμοί σου οὐχ ὄψονται τὸ φῶς, τὰ ὦτά σου ἀκούσονται δεινὰς λοιδωρίας, τὰ χείλη σου γεύσονται πικρίας, ἡ γλῶσσά σου κολληθήσεται τῷ λάρυγγί σου ..., καὶ ἡ ψυχή σου ἐκκαμεῖται λύπην καὶ στεναγμούς. Σύμφωνος οὖν εἶ πᾶσι τούτοις; Ἐὰν σὺ ἀναδέχῃ πάντα τὰ πάθη ταῦτα ἐπὶ σεαυτόν, εὖ ἔχει· ἐὰν δ' οὔ, ἐγὼ ταύτην τὴν στιγμὴν ἐξολοθρεύσω τοὺς ἁμαρτωλοὺς τῶν ἀνθρώπων. Εἰς ταῦτα ὁ Μεσσίας ἀπεκρίνατο· Δέσποτα τῆς οἰκουμένης! ἀσμένως ἐπ' ἐμαυτὸν ἀναδέχομαι πάντα τὰ πάθη ταῦτα μόνον τῷ ὅρῳ τούτῳ, ἵνα Σὺ ἐν ταῖς ἡμέραις μου ἀναστήσῃς τοὺς νεκροὺς ἀπὸ τοῦ πρώτου ἀνθρώπου Ἀδὰμ ἄχρι νῦν, καὶ σώσῃς οὐκ αὐ-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

3. *Τὴν ἐκπλήρωσιν πασῶν τῶν προφητειῶν τούτων ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ ἐν πάσῃ ἀκριβείᾳ ἔδειξεν ὁ ἅγ. ἀπόστολος Παῦλος ἐν πολλοῖς χωρίοις τῶν αὐτοῦ ἐπιστολῶν* (*Ἑβρ. ζ΄, η΄, θ΄, καὶ ἀλλ.*).

§. 88. *δ΄. Περὶ τοῦ Μεσσίου ὡς βασιλέως.*

1. *Ὅτι ὁ Μεσσίας κατὰ τὰς προῤῥήσεις τῶν προφητῶν βασιλεὺς ἔσται, εἴρηται ἤδη ἐν τῇ ἀναπτύξει τῶν προφητειῶν περὶ τῆς καταγωγῆς αὐτοῦ ἐκ τοῦ οἴκου Δαυῒβ καὶ περὶ τοῦ τόπου τῆς γεννήσεως αὐτοῦ, οἷον, α΄, τῆς τοῦ Νάθαν προφητείας· „Ἡ βασιλεία αὐτοῦ* (*τοῦ Μεσσίου*) *ἕως αἰῶνος ἐνώπιόν μου· καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα* (*β΄ Βασ. ζ΄*, 16)“· *β΄, τῆς τοῦ Ἡσαΐου· „Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι· καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή* (*Ἡσ. ια΄*, 10)“· *γ΄, τῆς τοῦ Ἱερεμίου. „Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαυῒδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει Κύριος, Ἰωσεδέκ* (*Ἱερ. κγ΄*, 5, 6)“· *δ΄, τῆς τοῦ Μιχαίου· „Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος* (*Μιχ. ε΄*, 2)“. *Τούτοις δὲ οἷόν ἐστι πλεῖστα καὶ ἄλλα χωρία προσθεῖναι, οἷα, Ψαλμ. β΄*, 3, 8· *μδ΄*, 4, 8· *οα΄*, 8-11· *Ἡσ. ξ΄*, 6· *ξα΄*, 5.

2. *Τοσούτῳ δ' ἀναντίῤῥητόν ἐστιν, καὶ ὅτι ὁ Μεσσίας κατὰ τὴν πρόῤῥησιν τῶν προφητῶν βασιλεὺς ἔσται ἐν σημασίᾳ πνευ-*

---

*τοὺς μόνους, ἀλλὰ καὶ πάντας, οὓς προτίθεσαι ποιῆσαι καὶ οὔπω ἐποίησας. Εἰς ταῦτα ὁ ἅγιος καὶ εὐλογητὸς Θεὸς ἔφη· Ναί, σύμφωνός εἰμι. Τότε ὁ Μεσσίας ἀσμένως ἐφ' ἑαυτὸν ἀνεδέξατο πάντα τὰ πάθη, ὡς γέγραπται· „καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, κτλ.* (*Ἡσ. νγ΄*, 7 *κ. ἐπ.*)“.

ματικῇ, βασιλεὺς δηλ. βασιλείας ἠθικῆς, οὐχὶ δ' ἐπίγειός τις βασιλεύς, ὥσπερ ὀνειροπολοῦσιν οἱ ἀποπλανηθέντες Ἰουδαῖοι, ὃς ἂν ὑποτάξοι τῇ κυριαρχίᾳ αὐτῶν ἅπαντα τὰ ἄλλα ἔθνη. Τοῦτο δὲ

α'. ἀναγκαίως πηγάζει ἐκ τοῦ πνεύματος τῶν ἤδη θεωρηθεισῶν προφητειῶν, ἐν αἷς λέγεται, ὅτι ὁ Μεσσίας οὐχ ἁπλοῦς μόνον ἔσται ἄνθρωπος, ἀλλ' ἅμα καὶ ἀληθὴς Θεός· ὅτι ἐμφανήσεται ἐπὶ τῆς γῆς, ἵν' ἀναγγείλῃ τοῖς ἀνθρώποις νέον νόμον, νέαν τῆς θρησκείας διδασκαλίαν, καὶ ἀναγγείλῃ οὐ μόνοις τοῖς Ἰουδαίοις, ἀλλὰ καὶ τοῖς ἐθνικοῖς, καὶ ἵνα ἑαυτὸν εἰς θυσίαν προσενέγκῃ διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων· πόσον δὲ πάσῃ τῇ διδασκαλίᾳ ταύτῃ συνάδει ἡ ἔννοια περὶ τοῦ Μεσσίου, πνευματικοῦ βασιλέως, καὶ πόσον ἀπεναντίας ἀσύμφωνά εἰσιν ἅπαντα τὰ τῶν Ἰουδαίων ὀνειροπολήματα περὶ Μεσσίου, ἐπιγείου βασιλέως, μαχηφόρου, ᾧ δεῖ πλῆθος ἀνθρωπίνου αἵματος χῦσαι, ὅπως ὑποτάξῃ αὐτοῖς πάντα τὰ ἄλλα ἔθνη!

β'. Ὑποστηρίζεται καὶ ὑπὸ τῶν ἀρχαίων τοῦ Θεοῦ ἐπαγγελιῶν, ὅτι ὁ Μεσσίας ἔσται „προσδοκία" οὐ μόνοις τοῖς Ἰουδαίοις, ἀλλὰ καὶ τοῖς ἐθνικοῖς (Γεν. μθ', 10. Ἀγγ. β', 8), ὅτι ἐν αὐτῷ εὐλογηθήσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς (Γεν. κβ', 18), ὅτι αὐτὸν μακαριοῦσι πάντες οἱ λαοί (Ψαλμ. οα', 17). Αὗται δὲ αἱ ἐπαγγελίαι καταληπταί εἰσιν ἐν τῇ σημασίᾳ τοῦ πνευματικοῦ βασιλέως Μεσσίου, ὃς ἐκ πάντων τῶν ἀνθρώπων, Ἰουδαίων τε καὶ ἐθνικῶν, ἀποτελέσει μίαν μακαρίαν βασιλείαν, δωρήσεται αὐτοῖς πᾶσι νέους τελειοτέρους νόμους τῆς πίστεως καὶ ἠθικῆς, καταπέμψει ἀφθονίαν πνευματικῶν δυνάμεων, καὶ παντοίως ὁδηγήσει τοὺς ἑαυτοῦ ὀπαδοὺς εἰς ἀπόλαυσιν τῆς βασιλείας τῆς δόξης. Πῶς οὖν ταύτας τὰς ἐπαγγελίας συμφωνήσωμεν τῇ ἐννοίᾳ περὶ Μεσσίου ἐκπορθητοῦ, ᾧ ἐξαφανίσαι δεῖ ἴσως ὅλας μυριάδας ἀνθρώπων, τῷ ἑαυτοῦ σκήπτρῳ αὐτοὺς ὑποτάσσων, καὶ ὑποτάξαι πάντα τὰ ἔθνη τῷ ἀϊδίῳ τῶν Ἰουδαίων ζυγῷ! Ἐν τίνι δὲ σημασίᾳ ἔσται τότε αὐτὸς πηγὴ εὐλογιῶν διὰ πάντα τὰ ἔθνη; Διὰ τί τότε μακαριοῦσιν αὐτῶν πᾶσαι αἱ φυλαὶ τῆς γῆς;

γ', Ἐνισχύεται καὶ ὑπὸ πολυαρίθμων προφητειῶν, αἵτινες τὸν Μεσσίαν προαναγγέλουσι βασιλέα εἰρηνικὸν καὶ πρᾷον, ὃς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰρήνην πανταχοῦ καταστήσει μεταξὺ Ἰουδαίων καὶ ἐθνικῶν, καὶ βασιλείαν παγκοίνου ἀγάπης καὶ ἡσυχίας ἱδρύσει, ἐν ᾗ ὁ λύκος συμβοσκηθήσεται μετὰ τοῦ ἀρνός, τὰ πολεμικὰ ξίφη ὥσπερ πάμπαν ἄχρηστα χαλκευθήσονται εἰς ἀροτῆρας, καὶ οὐδεὶς βουλήσεται τὴν πολεμικὴν ἐκμαθεῖν. „Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραίμ, καὶ ἵππον ἐξ Ἱερουσαλήμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν· καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης, καὶ ποταμῶν δι᾿ ἐκβολὰς γῆς (Ζαχ. θ', 9, 10)". „Ἀνατελεῖ", λέγει ἕτερος προφήτης περὶ τοῦ Μεσσίου, „ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. Καὶ κυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης (Ψαλμ. οα', 7, 8)". „Καὶ ἔσται", προστίθησι τρίτος, „δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ. Καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς· καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς (ἅμα) φάγεται ἄχυρα. Καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ· καὶ οὐ μὴ κακοποιήσωσιν (Ἡσ. ια, 5-8· παράβ. καὶ θ', 6, 7· νβ', 7, 10· Ἰεζ. λδ', 25-26. Μιχ. δ', 5, 4· Ναοὺμ α', 15 κλπ.)".

δ'. Ὅτι δὲ καὶ πᾶσαι αἱ προφητεῖαι ἐπὶ τοῦ Ἰησοῦ Χριστοῦ ἐξεπληρώθησαν, αὐτὸς ἡρμήνευσε (Ματθ. δ', 17· Ἰωάν. ϛ', 15· ιη', 36, 37 καὶ ἀλ.).

## §. 89. Προφητεῖαι περὶ τῶν διαφόρων τοῦ βίου τοῦ Μεσσίου περιστάσεων.

Ὁρίσαντες οἱ προφῆται τὸν χρόνον τῆς τοῦ Μεσσίου ἐλεύσεως, προειπόντες ἐκ τίνος, ποῦ καὶ πῶς γεννηθήσεται, τίνα ἕξει προσωπικὸν χαρακτῆρα, τίνας ἰδιότητας καὶ τί ἔργον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μετ' ἐκπληκτικῆς ἀκριβείας καὶ πάσας τὰς τοῦ βίου αὐτοῦ περιστάσεις προανήγγειλαν, ὥστε ἐπὶ μόναις ταῖς μαρτυρίαις δύνασθαι πλήρη εὐαγγελικὴν συντάξαι ἱστορίαν. Προεῖπον π. χ., ὅτι

α'. Ὁ Μεσσίας ἕξει πρόδρομον· „Ἰδοὺ ἐγὼ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου (Μαλ. γ', 1). Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία, καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καί ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησεν (Ἡσ· μ', 3-5· παράβ. Ματθ. γ', 1 καὶ κατωτ.· ια', 7, 10)".

β'. Αὐτῷ προσοίσουσι δῶρα καὶ προσκυνήσουσι μάγοι καὶ βασιλεῖς τῆς ἀνατολῆς· „Βασιλεῖς Θαρσὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι· καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς (Ψαλμ. οα', 10, 11· παράβ· Ἡσ. ξ', 6)".

γ'. Ἐπ' αὐτὸν κατελεύσεται τὸ Πνεῦμα τὸ ἅγιον· „Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ (Ἡσ. ια', 1-3· Παρ. μβ', 1 κ. ἐπ. ξα', 1 καὶ κατωτ.)".

δ'. Ἄρξεται τοῦ ἑαυτοῦ κηρύγματος ἐν Γαλιλαίᾳ ἐν τοῖς ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ· „Τοῦτο πρῶτον (πίε) ταχὺ ποίει χώρα Ζαβουλών, ἡ γῆ Νεφθαλεὶμ ὁδὸν θαλάσσης, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν οἰκοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, τὰ μέρη τῆς Ἰουδαίας· ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ σκιᾶς θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς (Ἡσ. θ', 1, 2· παράβ. Ματθ. δ', 12-17)".

ε'. Κηρύξει πολλὰ ἐν παραβολαῖς· „Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς (Ψαλμ. οζ', 2· παράβ. Ματθ. ιγ', 3-10, 13-16)".

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ς'. Ποιήσει θαύματα, δώσει τυφλοῖς ἀνάβλεψιν, κωφοῖς ἀκοήν, πᾶσαν ἰάσεται ἀσθένειαν, νεκροὺς ἀναστήσει· „Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα, περικαλέσατε, εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβῆσθε· ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς· Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων* (Ἠσ. λε', 3-6)· *Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις* (κς', 19)".

*ζ'. Πραεῖαν ἕξει εἴσοδον εἰς Ἱερουσαλὴμ ἐπὶ πώλου· „Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, πραὺς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον* (Ζαχ. θ', 9)".

*η'. Ὑφ' ἑνὸς τῶν μαθητῶν αὐτοῦ παραδοθήσεται· „Ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν* (Ψαλμ. μ', 10)", *Καὶ παραδοθήσεται ῥητῶς τριάκοντα ἀργυρίοις· „Καὶ ἐρῶ πρὸς αὐτούς. εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε στήσαντες τὸν μισθόν μου, ἢ ἀπείπασθε. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς. Καὶ εἶπε Κύριος πρὸς μέ· κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι αὐτὸ εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς* (Ζαχ. ια', 12, 13)".

*θ'. Κατ' αὐτοῦ ἐγερθήσονται πολλοὶ ψευδοπροφῆται· „Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με. Ἀνταπεδίδοσάν με πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν ἐν τῇ ψυχῇ μου* (Ψαλμ. λδ', 11, 12)· *Ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι· λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ* (Ψαλμ. μ', 8, 9)"· *ὀνειδίσουσι καὶ ἐξουθενίσουσιν αὐτόν· „Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐχὶ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ* (Ψαλμ. κα', 7)"· *κολαφίσουσι καὶ μυκτηρίσουσι· „Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων* (Ἠσ. ν', 6)".

*ι'. Εἰς θάνατον καταδικάσονται· „Θηρεύσουσιν ἐπὶ ψυχὴν δι-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καίου, αἷμα ἀθῷον καταδικάσονται (Ψαλμ. 43, 21)"· διατρήσουσι τὰς χεῖρας αὐτοῦ, τοὺς πόδας καὶ τὴν πλευράν· „Ὤρυξαν χεῖράς μου καὶ πόδας μου (Ψαλμ. κα', 17)· καὶ ἐπιβλέψονται πρός με, ἀνθ' ὧν κατωρχήσαντο (Ζαχ. ιβ', 10)"· οἱ παραπορευόμενοι ἐκμυκτηρίσουσιν αὐτόν· „Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτὸν (Ψαλμ. κα', 8, 9)"· διαμερίσονται τὰ ἱμάτια αὐτοῦ κλήρῳ· „Διεμερίσαντο τὰ ἱματιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον (-19)"· δώσουσιν αὐτῷ πρὸς κατάπαυσιν τῆς δίψης ὄξος χολῇ συγκεκραμένον· „Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος (ξη', 22)".

ια'. Διαρκούντων τῶν παθῶν αὐτοῦ, ἔσται εἰρηνικὸς καὶ πρᾷος. „Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ (Ἡσ. νγ', 7)"· προσεύξεται ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ· „Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη, ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ· καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην (Ψαλμ. ρη', 1-4)"· ἀποθνήσκων, κράζει πρὸς τὸν πατέρα αὐτοῦ· „Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, (καὶ) φωνῇ μου πρὸς Κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου· τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ, ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου (ρμα', 2-4)"· καὶ ὁ ἥλιος σκοτισθήσεται, καὶ ταραχθήσονται τὰ θεμέλια τῆς γῆς· „Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, καὶ δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς (Ἀμώς, η', 9)· ἔτι ἅπαξ ἐγὼ σείσω τὸ οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν ξηράν, καὶ συσσείσω πάντα τὰ ἔθνη (Ἀγγ. ε', 7)".

ιβ'. Μετὰ τὸν θάνατον κατελεύσεται εἰς τὸν ᾅδην· „Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν (Ψαλμ. ιε', 10· παράβ. Πραξ. β', 29-31)".

ιγ'. Ἀναστήσεται· „Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς; καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με (Ψαλμ. ο', 20· παράβ. μη', 16· γ', 6)"·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ῥητῶς τὴν τρίτην ἡμέραν· „Ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα ἐνώπιον αὐτοῦ καὶ γνωσόμεθα· διώξωμεν τοῦ γνῶναι τὸν Κύριον (Ὠσηέ, ϛ', 2)".

ιδ'. Ἀναληφθήσεται εἰς οὐρανούς, καὶ καθήσεται ἐκ δεξιῶν τοῦ Θεοῦ Πατρός· „Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν (Ψαλμ. ξζ', 19· παράβ. Ἐφ. δ', 8-10)· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου (Ψαλμ. ρθ', 1· παράβ. Πράξ. β', 34)".

ιε'. Καταπέμψει ἀντ' αὐτοῦ ἐπὶ τὴν γῆν τὸ Πνεῦμα τὸ ἅγιον· „Καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται (Ἰωήλ, β', 28· παράβ. Πράξ. β', 17)".

§. 90. *Συμπέρασμα ἐκ τῶν ἡγουμένων καθόλου καὶ μετάβασις εἰς τὰ ἑπόμενα.*

Ἐκ τῆς γενομένης ὑφ' ἡμῶν θεωρίας τῆς ὑπὸ νόμον θρησκείας τρία οὐσιώδη συμπεράσματα πηγάζουσι ταῦτα. Τὸ μὲν α'. καὶ ἄμεσόν ἐστιν, ὅτι ἡ θρησκεία αὕτη φέρει ἐφ' ἑαυτῆς τὴν ἀνεξίτηλον σφραγίδα τῆς θείας ἀρχῆς· ἄρα ἀναντιῤῥήτως ὑπερφυσική ἐστιν ἀποκάλυψις. Τὸ δὲ β'. ὅτι ἡ ἀποκάλυψις αὕτη προπαρασκευαστικὴ ἦν μόνον καὶ οὐ τελειωτική· ἄρα ἐπὶ καιρόν τινὰ δέδοται, καὶ ὀφείλει τὸν ἑαυτῆς παραχωρῆσαι τόπον ἄλλῃ τελειοτέρᾳ. Ἡ ἔννοια αὕτη πασιφανής ἐστι 1) ἐξ αὐτῆς τῆς διδασκαλίας τῆς ὑπὸ νόμον θρησκείας, ἐν ᾗ (διδασκαλίᾳ) κύριον ἦν ἄρθρον τὸ περὶ ἐλευσομένου Μεσσίου· 2) ἐκ πάσης τῆς τελετικῆς διατάξεως, ἥτις ἐν τῇ κατὰ γράμμα σημασίᾳ ἦν μόνον „σκιὰ τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴ ἡ εἰκὼν τῶν πραγμάτων (Ἑβρ. ι', 1)"· 3) ἐκ τῶν πολυαρίθμων κυρίως προφητειῶν, ἐν αἷς προείρητο, ὅτι ὁ Μεσσίας φανήσεται προφήτης, καὶ ἀναγγελεῖ τοῖς ἀνθρώποις νέον νόμον, ἐννοεῖται, ἀνταλλάξοντα τὸν διὰ Μωϋσέως δοθέντα παλαιόν, καὶ ἀναγγελεῖ οὐ μόνοις τοῖς Ἰουδαίοις, ἀλλὰ καὶ τοῖς ἐθνικοῖς· φανήσεται ἀρχιερεύς, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καθιδρύσει νέαν καὶ καθαρωτέραν θυσίαν, ἐπὶ παντὸς προσοισομένην τόπου, καὶ αὐτῇ καταπαύσει πάντα τὰ τῆς παλαιᾶς Διαθήκης ὁλοκαυτώματα, ἐν μόνῃ τῇ Ἱερουσαλὴμ προσφερόμενα· φανήσεται βασιλεύς, καὶ καταστήσει μίαν πνευματικὴν βασιλείαν ἐπὶ τῆς γῆς ἐκ πάντων τῶν ἀνθρώπων, Ἰουδαίων τε καὶ ἐθνικῶν, καὶ οὕτω καταστρέψει τὴν ἰδίαν πολιτείαν, τούτους ἐκείνων χωρίζουσαν. Τὸ δὲ γ'. ὅτι οὗτος ὁ προαγγελθεὶς ὑπὸ τῶν προφητῶν τῆς παλαιᾶς Διαθήκης Μεσσίας καὶ προφήτης, ἀρχιερεὺς καὶ βασιλεὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν. Ἐπ' αὐτοῦ γάρ, ὡς εἴρηται, ἐν πάσῃ ἀκριβείᾳ πᾶσαι αἱ τῆς παλαιᾶς Διαθήκης ἐξεπληρώθησαν προφητεῖαι αἱ περὶ τοῦ Μεσσίου· ἄρα ἡ τελειοτάτη αὕτη ἀποκάλυψις, ἧς προπαρασκευὴ μόνον ἦν ἡ τῆς παλαιᾶς Διαθήκης, ἐστὶν ἡ τῆς καινῆς Διαθήκης, προσενεχθεῖσα ἐπὶ τῆς γῆς ὑπὸ Χριστοῦ τοῦ Σωτῆρος.

Ἀλλ' ἵνα ἀκριβέστερον ἀποδείξωμεν καὶ ἑρμηνεύσωμεν τὴν ἐσχάτην ταύτην ἀλήθειαν, μεταβαίνομεν πρὸς αὐτὴν τὴν ἀποκάλυψιν τῆς καινῆς Διαθήκης·

## II.

## Περὶ τῆς θείας ἀρχῆς τῆς ἀποκαλύψεως τῆς καινῆς Διαθήκης.

### Α'.

### Ἐσωτερικοὶ χαρακτῆρες τῆς θειότητος τῆς ἀποκαλύψεως τῆς καινῆς Διαθήκης.

§. 91. *Περὶ τῆς διδασκαλίας τῆς πίστεως.*

1. *Ἡ οὐσία τῆς διδασκαλίας τῆς πίστεως ἐν τῇ καινῇ Διαθήκῃ ἡ αὐτή ἐστι καὶ ἡ ἐν τῇ παλαιᾷ, μόνῃ τῇ διαφορᾷ, ὅτι ἐν τῇ καινῇ ἡ διδασκαλία αὕτη σαφέστερον, πληρέστερον καὶ τελειότερον ἀναπτύσσεται.*

Ὁ Θεός, διδάσκει ἡ τῆς καινῆς Διαθήκης ἀποκάλυψις, ὕψιστόν ἐστι καὶ τελειότατον πνεῦμα (α'. Τιμόθ. ς', 15-16· Ματθ. ε', 48· Ἰωάν. δ', 24· β'. Κορ. γ', 17)· Πνεῦμα ἀφ' ἑαυτοῦ τὸ εἶναι ἔχον (Ἰωάν. ε', 26· Πράξ. ιζ', 25), αἰώνιον (α'. Τιμόθ. α', 17), πανταχοῦ παρὸν (Πράξ. ιζ', 26-28), ἀμετάβλητον (Ἰακ. α', 17), πάντα εἰδὸς (Ἑβρ. δ', 13), πάνσοφον (α'. Κορ. β', 7· α'. Τιμ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*α', 17), πανελεύθερον* (*Ἐφ. α', 11*), *παντοδύναμον* (*Ματθ. ιθ', 26*), *δικαιοκρίτης* (*α'. Πέτρ. α'· 17· Ῥωμ. β', 11*), *πανάγαθον* (*Ἰακ. α', 15· Ματθ. 19, 17*), *ἀληθέστατον καὶ πιστότατον* (*Ἰωάν. ιζ', 17· Ἑβρ. ς', 18*). *Τὸ τελειότατον τοῦτο Πνεῦμα ἓν μέν ἐστι κατ' οὐσίαν* (*Μάρκ. ιβ', 29· α'. Κορ. η', 4*), *τριπλοῦν δὲ τὴν ὑπόστασιν* (*Ματθ. κη', 19*), *Πατὴρ* (*Ἰωάν. ιζ', 3*), *Υἱός* (*Ἰωάν. α'*), *καὶ ἅγιον Πνεῦμα* (*Λουκ. γ', 22 καὶ ἀλλ.*). *Καὶ ὁ μὲν Πατήρ, ἐκ τῆς ἑαυτοῦ οὐσίας πρὸ αἰώνων τὸν υἱὸν γεννᾷ, καὶ ἐκπορεύει τὸ ἅγιον Πνεῦμα· ὁ δὲ Υἱὸς γεννᾶται ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων, καὶ ὁμοούσιος αὐτῷ ἐστι. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἀπ' αἰῶνος ἐκπορεύεται ἐκ τοῦ Πατρός, καὶ ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐστιν* (*Ἰωάν· γ', 16· ε', 17, 18· ιε', 26· ιζ', 5 καὶ ἀλ.*). *Ὡς πρὸς τὰ ἄλλα δὲ ὄντα ὁ τρισυπόστατος οὗτος Θεὸς ποιητής ἐστι τοῦ κόσμου, τὰ πάντα ἐκ τοῦ μηδενὸς κτίσας, „τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα* (*Κολ. α', 16· παράβ. Ἑβρ. ις', 3*), *προνοητής, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ* (*Ἑβρ. α', 3*), *ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα* (-7)", *ἀγγέλους δὲ τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν ... „εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις τηρήσας* (*Ἰούδ. 6*)". *Προνοητής, πατρικῶς περὶ πάντα ἐπιμελόμενος τὰ δημιουργήματα αὐτοῦ, „διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα* (*Πράξ. ιζ', 25*)", *αὐτὸς περιβάλλων τὰ κρῖνα τοῦ ἀγροῦ, τρέφων καὶ τὰ πτεινὰ τοῦ οὐρανοῦ* (*Ματθ. ς', 26-29*)· *μετ' ἰδίας ἀγάπης φροντίζων περὶ τοῦ ἀνθρώπου, ὥστε καὶ θρὶξ ἐκ τῆς κεφαλῆς αὐτοῦ οὐ πίπτει ἄνευ τοῦ θελήματος τοῦ οὐρανίου Πατρός* (*Λουκ. ιβ', 7*), *καὶ αὐτοὶ „οἱ ἄγγελοί εἰσι λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν* (*Ἑβρ. α', 14*)".

*Περὶ δὲ τοῦ ἀνθρώπου ὁ χριστιανισμὸς διττὴν προτίθησι διδασκαλίαν· ὧν ἡ μὲν στηρίζει, ὅτι τοῦτο τὸ ὅμοιον τῷ Θεῷ ὂν* (*Ἐφ. δ', 24· Κολ. γ', 10*) *διατελεῖ ἐν τῇ πτώσει, ὅτι „δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον* (*Ῥωμ. ε', 12*)"· *ὅτι, ἕνεκα τού-*

του πάντες ἐσμὲν „τέκνα φύσει ὀργῆς τοῦ Θεοῦ (Ἐφ· β', 3), πάντες νεκροὶ τοῖς παραπτώμασι (β', 1)", καὶ οὐ δυνάμεθα ἀφ' ἑαυτῶν ἀγαθὰ ποιεῖν ἔργα, καὶ ἀποκαταστῆσαι ἣν παρέβημεν Διαθήκην πρὸς τὸν Θεόν, ὥσπερ τὸ φῶς οὐ δύναται κοινωνίαν ἔχειν τῷ σκότει (Ἐφ. ε', 8· β'. Κορ· ς', 14, 15), ἡ ἀλήθεια τῷ ψεύδει (Ἰωάν. η', 44, 45), ἡ ζωὴ τῷ θανάτῳ (Ῥωμ. ς', 23)· διὸ ἀναγκαῖός ἐστιν ἡμῖν ἀνακαινιστής (Πράξ. δ', 11, 12). Ἡ δὲ ἀπεικονίζει τὸν ἄνθρωπον ἐν τῇ ἀποκαταστάσει, καὶ λέγει, ὅτι, ἅμα, πιστεύσας εἰς Χριστὸν τὸν Σωτῆρα, λάβῃ τὸ βάπτισμα (Μάρκ. ις', 16), εὐθὺς καθαρίζεται πασῶν τῶν αὐτοῦ ἁμαρτιῶν (α'. Κορ. ς', 11), μέτοχος γίνεται τῆς θείας οὐσίας (β'. Πέτρ. α', 4), υἱὸς Θεοῦ (Ἰωάν. α', 22, 13), ναὸς τοῦ ἁγίου Πνεύματος (α'. Κορ. ς', 19), καὶ ἔκτοτε πασῶν τῶν τῆς χάριτος ἀπολαύων δωρεῶν, παρεχομένων τοῖς πιστεύουσι διὰ τῶν ἄλλων ἁγίων τῆς Ἐκκλησίας μυστηρίων, ἐνισχυόμενος κατὰ τῶν τοῦ διαβούλου ἐπιβουλῶν (Ἐφ. ς', 11), καὶ θεάρεστον ἄγων βίον, ἀδιστάκτως ἐλπίζειν δύναται τῶν ἀϊδίων ἀπολαῦσαι ἀγαθῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς τοῦ οὐρανίου (Ματθ. ζ', 21 καὶ ἄλ.).

Περὶ δὲ τοῦ λυτρωτοῦ τῶν ἀνθρώπων ἡ τῆς καινῆς Διαθήκης διδασκαλία διδάσκει, ὅτι αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐστιν (Ἰωάν. α', 18), ὃς ηὐδόκησεν ἐφ' ἑαυτὸν λαβεῖν τὴν φύσιν ἡμῶν (14), ἀνήγγειλε τοῖς ἀνθρώποις τὸ Εὐγγέλιον τῆς βασιλείας (Ματθ. θ', 14· Ῥωμ· ε', 10), ἱδρύσατο ἐπὶ τῆς γῆς τὴν ἁγίαν ἑαυτοῦ Ἐκκλησίαν, ὅπως τῆς ὑπ' αὐτοῦ διαπρ...αι ἐκ τοῦ
σης σωτηρίας οἱ ἄνθρωποι ἀπολαύωσιν (Ἐφ. δ'...α ταῦτα σχη-
ἀναληφθεὶς εἰς τοὺς οὐρανούς, καταπέμπει ...μα, ἐν ᾧ ἑκάστη
αὐτὸν πιστεύουσι „πάντα τῆς θείας δυνάμ...ι οὐκ ἀποβληθῆναι
καὶ εὐσέβειαν (β'. Πέτρ. α', 3)", μεσιτεύει ...ς. Τίς οὖν συνέθετο
τῆς ἀϊδίου Δικαιοσύνης (Ἑβρ. ζ', 25), ἕως...τημα; Μὴ οἱ Ἀπό-
ἔλθῃ κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀπο...θείας ταύτας ἐν τοῖς
ἔργα αὐτοῦ (Ἰωάν. ε', 25-29), μετὰ ...αστος γινώσκει, ἀπλού-
βασιλείαν τῷ Θεῷ καὶ Πατρί, „καὶ ...ια παντελῶς ἀνίκανοι εἰς
πᾶσι (α'. Κορ. ιε', 24-28)". ...χιστον ὁμολογῆσαι δεῖ, ὅτι

II. Πασιφανὲς δέ ἐστιν, ὅτι ...μῶς αὐτοῦ τοῦ Θεοῦ ἀνάξιόν
λίας ἀλήθειαι διτταί εἰσιν, αἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*α', 17), πανελεύθερον* (*Ἐφ. α', 11*), *παντοδύναμον* (*Ματθ. ιθ', 26*), *δικαιοκρίτης* (*α'. Πέτρ. α'· 17· Ῥωμ. β', 11*), *πανάγαθον* (*Ἰακ. α', 15· Ματθ. 19, 17*), *ἀληθέστατον καὶ πιστότατον* (*Ἰωάν. ιζ', 17· Ἑβρ. ς', 18*). *Τὸ τελειότατον τοῦτο Πνεῦμα ἓν μέν ἐστι κατ' οὐσίαν* (*Μάρκ. ιβ', 29· α'. Κορ. η', 4*), *τριπλοῦν δὲ τὴν ὑπόστασιν* (*Ματθ. κη', 19*), *Πατὴρ* (*Ἰωάν. ιζ', 3*), *Υἱός* (*Ἰωάν. α'*), *καὶ ἅγιον Πνεῦμα* (*Λουκ. γ', 22 καὶ ἀλλ.*). *Καὶ ὁ μὲν Πατήρ, ἐκ τῆς ἑαυτοῦ οὐσίας πρὸ αἰώνων τὸν υἱὸν γεννᾷ, καὶ ἐκπορεύει τὸ ἅγιον Πνεῦμα· ὁ δὲ Υἱὸς γεννᾶται ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων, καὶ ὁμοούσιος αὐτῷ ἐστι. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἀπ' αἰῶνος ἐκπορεύεται ἐκ τοῦ Πατρός, καὶ ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐστιν* (*Ἰωάν· γ', 16· ε', 17, 18· ιε', 26· ιζ', 5 καὶ ἀλ.*). *Ὡς πρὸς τὰ ἄλλα δὲ ὄντα ὁ τρισυπόστατος οὗτος Θεὸς ποιητής ἐστι τοῦ κόσμου, τὰ πάντα ἐκ τοῦ μηδενὸς κτίσας, „τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα* (*Κολ. α', 16· παράβ. Ἑβρ. ις', 3*), *προνοητής, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ* (*Ἑβρ. α', 3*), *ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα* (-7)", *ἀγγέλους δὲ τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν ... „εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις τηρήσας* (*Ἰούδ. 6*)". *Προνοητής, πατρικῶς περὶ πάντα ἐπιμελόμενος τὰ δημιουργήματα αὐτοῦ, „διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα* (*Πράξ. ιζ', 25*)", *αὐτὸς περιβάλλων τὰ κρῖνα τοῦ ἀγροῦ, τρέφων καὶ τὰ πτεινὰ τοῦ οὐρανοῦ* (*Ματθ. ς', 26-29*)· *μετ' ἰδίας ἀγάπης φροντίζων περὶ τοῦ ἀνθρώπου, ὥστε καὶ θρὶξ ἐκ τῆς κεφαλῆς αὐτοῦ οὐ πίπτει ἄνευ τοῦ θελήματος τοῦ οὐρανίου Πατρός* (*Λουκ. ιβ', 7*), *καὶ αὐτοὶ „οἱ ἄγγελοί εἰσι λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν* (*Ἑβρ. α', 14*)".

*Περὶ δὲ τοῦ ἀνθρώπου ὁ χριστιανισμὸς διττὴν προτίθησι διδασκαλίαν· ὧν ἡ μὲν στηρίζει, ὅτι τοῦτο τὸ ὅμοιον τῷ Θεῷ ὂν* (*Ἐφ. δ', 24· Κολ. γ', 10*) *διατελεῖ ἐν τῇ πτώσει, ὅτι „δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον* (*Ῥωμ. ε', 12*)"· *ὅτι, ἕνεκα τού-*

του πάντες ἐσμὲν „τέκνα φύσει ὀργῆς τοῦ Θεοῦ (Ἐφ· β', 3), πάντες νεκροὶ τοῖς παραπτώμασι (β', 1)“, καὶ οὐ δυνάμεθα ἀφ' ἑαυτῶν ἀγαθὰ ποιεῖν ἔργα, καὶ ἀποκαταστῆσαι ἣν παρέβημεν Διαθήκην πρὸς τὸν Θεόν, ὥσπερ τὸ φῶς οὐ δύναται κοινωνίαν ἔχειν τῷ σκότει (Ἐφ. ε', 8· β'. Κορ· ς', 14, 15), ἡ ἀλήθεια τῷ ψεύδει (Ἰωάν. η', 44, 45), ἡ ζωὴ τῷ θανάτῳ (Ῥωμ. ς', 23)· διὸ ἀναγκαῖός ἐστιν ἡμῖν ἀνακαινιστής (Πράξ. δ', 11, 12). Ἡ δὲ ἀπεικονίζει τὸν ἄνθρωπον ἐν τῇ ἀποκαταστάσει, καὶ λέγει, ὅτι, ἅμα, πιστεύσας εἰς Χριστὸν τὸν Σωτῆρα, λάβῃ τὸ βάπτισμα (Μάρκ. ις', 16), εὐθὺς καθαρίζεται πασῶν τῶν αὐτοῦ ἁμαρτιῶν (α'. Κορ. ς', 11), μέτοχος γίνεται τῆς θείας οὐσίας (β'. Πέτρ. α', 4), υἱὸς Θεοῦ (Ἰωάν. α', 22, 13), ναὸς τοῦ ἁγίου Πνεύματος (α'. Κορ. ς', 19), καὶ ἔκτοτε πασῶν τῶν τῆς χάριτος ἀπολαύων δωρεῶν, παρεχομένων τοῖς πιστεύουσι διὰ τῶν ἄλλων ἁγίων τῆς Ἐκκλησίας μυστηρίων, ἐνισχυόμενος κατὰ τῶν τοῦ διαβόλου ἐπιβουλῶν (Ἐφ. ς', 11), καὶ θεάρεστον ἄγων βίον, ἀδιστάκτως ἐλπίζειν δύναται τῶν ἀϊδίων ἀπολαῦσαι ἀγαθῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς τοῦ οὐρανίου (Ματθ. ζ', 21 καὶ ἄλ.).

Περὶ δὲ τοῦ λυτρωτοῦ τῶν ἀνθρώπων ἡ τῆς καινῆς Διαθήκης διδασκαλία διδάσκει, ὅτι αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐστιν (Ἰωάν. α', 18), ὃς ηὐδόκησεν ἐφ' ἑαυτὸν λαβεῖν τὴν φύσιν ἡμῶν (14), ἀνήγγειλε τοῖς ἀνθρώποις τὸ Εὐγγέλιον τῆς βασιλείας (Ματθ. θ', 14· Ῥωμ· ε', 10), ἱδρύσατο ἐπὶ τῆς γῆς τὴν ἁγίαν ἑαυτοῦ Ἐκκλησίαν, ὅπως τῆς ὑπ' αὐτοῦ διαπρα...ει ἐκ τοῦ
σης σωτηρίας οἱ ἄνθρωποι ἀπολαύωσιν (Ἐφ. δ'...α ταῦτα σχη-
ἀναληφθεὶς εἰς τοὺς οὐρανούς, καταπέμπει ...μα, ἐν ᾧ ἑκάστη
αὐτὸν πιστεύουσι „πάντα τῆς θείας δυνάμ...ι οὐκ ἀποβληθῆναι
καὶ εὐσέβειαν (β'. Πέτρ. α', 3)“, μεσιτεύει ...ς. Τίς οὖν συνέθετο
τῆς ἀϊδίου Δικαιοσύνης (Ἑβρ. ζ', 25), ἕως...τημα; Μὴ οἱ Ἀπό-
ἔλθῃ κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀπο...θείας ταύτας ἐν τοῖς
ἔργα αὐτοῦ (Ἰωάν. ε', 25-29), μετὰ ...αστος γινώσκει, ἁπλού-
βασιλείαν τῷ Θεῷ καὶ Πατρί, „καὶ ...ια παντελῶς ἀνίκανοι εἰς
πᾶσι (α'. Κορ. ιε', 24-28)“.
χιστον ὁμολογῆσαι δεῖ, ὅτι

II. Πασιφανὲς δέ ἐστιν, ὅτι ...ιμῶς αὐτοῦ τοῦ Θεοῦ ἀνάξιόν
λίας ἀλήθειαι διτταί εἰσιν, αἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῶν, οἷαι, ἡ περὶ τῶν ὑψίστων τοῦ Θεοῦ ἰδιωμάτων, τῆς κοινωνίας-τοῦ Θεοῦ πρὸς τὸν κόσμον καὶ εἰδικῶς πρὸς τὸν ἄνθρωπον· αἱ δὲ πάμπαν ἡμῖν ἀκατάληπτοι, οἷαι, τὸ μυτήριον τῆς ὑπεραγίας Τριάδος, τὰ μυστήρια τῆς πτώσεως, ἐνσαρκώσεως, ἀπολυτρώσεως, ἀναγεννήσεως καὶ ἁγιάσεως τοῦ ἀνθρώπου. Πᾶς δ' εὖ φρονῶν, μετὰ προσοχῆς θεωρῶν τὰς πρώτας ἀληθείας, οὐ δύναται μὴ ὁμολογῆσαι, ὅτι αὗται ἐκτέθεινται ἐν τῷ Χριστιανισμῷ ἐν τοσαύτῃ σαφηνείᾳ, ὕψει καὶ τελειότητι, ἐν ᾗ παρ' οὐδενὶ τῶν φιλοσόφων ἐφάνησαν. Περὶ δὲ τῆς ἐσωτερικῆς ἀξίας τῶν μυστηρίων καίτοι οὐ δυνάμεθα κρῖναι, μὴ κατανοοῦντες αὐτά, δυνάμεθα ὅμως ὑποστηρίζειν, ὅτι ὅλως ἄξιά εἰσι τοῦ Θεοῦ, τοῦ αἰτίου τοῦ Χριστιανισμοῦ. Ἐπιστήσωμεν οὖν τὴν προσοχὴν ἡμῶν (ἐκτὸς τῶν ἤδη εἰρημένων περὶ τοῦ δυνατοῦ τῶν μυστηρίων ἐν τῇ ἀποκαλύψει ἐν §. 25) ἐπὶ τοῖσδε

1. Τὰ μυστήρια ἐν πᾶσιν ἀναγκαῖά εἰσι τῷ πεπερασμένῳ ὄντι ἀνθρώπῳ. Αὐτὸς γὰρ ἑαυτῷ πρῶτον καὶ μέγα μυστήριόν ἐστι· διότι οὔτε τὴν οὐσίαν τῆς ἑαυτοῦ ψυχῆς κατανοεῖ, οὔτε τὴν θαυμασίαν διασκευὴν τοῦ σώματος, οὔτε τὸν τρόπον τῆς συναφείας καὶ ἀμοιβαίας αὐτῶν κοινωνίας. Μυστηρίοις ἐντυγχάνει ἐφ' ἕκαστον βῆμα καὶ ἐν τῇ ἐξωτερικῇ φύσει, ἀδυνατῶν λῦσαι, τί ἐστιν ἡ ὕλη καὶ τὰ αὐτῆς στοιχεῖα τὴν οὐσίαν, τί αἱ δυνάμεις, αἱ ἅπαντα τὸν μηχανισμὸν τοῦ κόσμου κινοῦσαι, πῶς προέρχονται ἄπειρα ἐκπληκτικῶς ποικίλα τῆς ζωῆς φαινόπτειν̓θ' πῶς ὁ ἀκατάληπτος ἀγὼν αὐτῆς καὶ δὴ καὶ ἐν ἑκάστῳ φροντίζων π.τελεῖται. Πᾶσαι αἱ ὑπὸ τοῦ ἀνθρώπου ἀπὸ καιαὐτοῦ οὐ πιπτόμεναι νέαι ἀνακαλύψεις ἐν τῇ φύσει ἀποκαλύ-(Λουκ. ιβ', 7), καὶ ἕα μυστήρια· καὶ ὅσῳ μᾶλλον αὐτὴν ἐκμανεὶς διακονίαν ἀποσιμᾶλλον παρατηρεῖ ἐν αὐτῇ αἰνιγματῶδες σωτηρίαν (Ἑβρ. α', 14· Πῶς οὖν δυνατὸν εν μόνῃ τῇ θρησκείᾳ,

Περὶ δὲ τοῦ ἀνθρώτου τοῦ Θεοῦ, ὄντος ὑψίστου, καὶ περὶ διδασκαλίαν· ὧν ἡ μὲν πρὸς τὸν ἄνθρωπον κοινωνίας αὐτοῦ, ὃν (Ἐφ. δ', 24· Κολ. γ', 1(πάμπαν καταληπτά; ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸ...ά εἰσι καὶ τῇ φυσικῇ θρησκείᾳ, τίας ὁ θάνατος, καὶ οὕτως ...πος μόνος περὶ Θεοῦ συνίστησι, διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον ἀληθεῖς. Ὁ νοῦς ἡμῶν, π. χ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀναγκαίως ὁμολογεῖ, ὅτι ὁ Θεὸς ὄν ἐστιν αὐθύπαρκτον καὶ ἀπολύτως ἀναγκαῖον· ἑρμηνευσάτω ὅμως ἡμῖν, πῶς τὸ ὂν δύναται τὴν αἰτίαν τῆς ἑαυτοῦ ὑπάρξεως ἐν ἑαυτῷ ἔχειν. Ἀποδέχεται, ὅτι ὁ Θεὸς ἀϊδίως ὑπάρχει· ἀλλ' ὅμως τί ἐστιν ὕπαρξις ἄνευ πάσης χρόνου διαδοχῆς, ἄνευ παρελθόντος καὶ μέλλοντος, ἢ διαδοχὴ χρόνου ἄνευ πάσης ἀρχῆς καὶ τέλους; Ἀποδέχεται, ὅτι ὁ Θεὸς ἄπειρος καὶ πανταχοῦ παρών ἐστιν· ὅμως οὔτε τὸ πανταχοῦ παρεῖναι δύναται παραστῆσαι ἄνευ ἐκτάσεως, οὔτε τὴν ἔκτασιν ἄνευ τῆς ὕλης, ὁ δὲ Θεὸς πνεῦμά ἐστιν ... Ἐπὶ τίνι δὲ βάσει ἀπαιτήσομεν, ἵνα μόνῃ τῇ ἐξ ἀποκαλύψεως θρησκείᾳ μὴ ὦσι μυστήρια, καθορῶντες, ὅτι τὸ μυστηριῶδες ἐπίκειται τὸ μὲν ἐπὶ τῷ πεπερασμένῳ τοῦ νοὸς ἡμῶν, τὸ δὲ τῷ ἀπείρῳ τοῦ Θεοῦ; Μὴ γὰρ ὁ σκοπὸς τῆς ἀποκαλύψεως ἢ τὸ πεπερασμένον ἄπειρον ποιῆσαι, ἢ τὸ ἄπειρον ὁρίοις περιβαλεῖν; Τοὐναντίον, ἐπειδὴ ἡ ἀποκάλυψις ὀφείλει μᾶλλον ἀποκαλύψαι τὸν ἄπειρον Θεὸν τῷ πεπερασμένῳ τοῦ ἀνθρώπου νοΐ, ἢ ὅσον ἡ φυσικὴ ἀπεκάλυπτε θρησκεία, ἀναγκαίως δεῖ ἐν τῇ ἀποκαλύψει καὶ πλείω εἶναι μυστήρια.

3. Ἐγγύτερον τὰ τῆς χριστιανικῆς θρησκείας μυστήρια θεωροῦντες, παρατηροῦμεν, ὅτι στενωτάτην ἔχουσι πρὸς ἄλληλα συνάφειαν, καὶ ἄλληλα ἑρμηνεύουσιν. Οὕτω, π. χ. τὸ μυστήριον τῆς ἐνσαρκώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ δείκνυσι τὸ τῆς ἁγίας Τριάδος, τὸ τῆς ἀπολυτρώσεως ὑποτίθησι τὸ τῆς πτώσεως· τὸ τῆς ἀναγεννήσεως καὶ ἁγιάσεως τοῦ ἀνθρώπου πηγάζει ἐκ τοῦ τῆς ἀπολυτρώσεως κτλ. Συνελόντι δὲ φάναι, πάντα ταῦτα σχηματίζουσιν ἓν τακτικὸν καὶ σοφώτατον σύστημα, ἐν ᾧ ἑκάστη γνῶσις ἔχει τὴν βαθεῖαν αὐτῆς σημασίαν, καὶ οὐκ ἀποβληθῆναι δύναται ἄνευ ἀποβολῆς τοῦ ὅλου συστήματος. Τίς οὖν συνέθετο τὸ πάνσοφον τοῦτο τῶν μυστηρίων σύστημα; Μὴ οἱ Ἀπόστολοι (οὗτοι γὰρ κατέγραψαν τὰς ἀληθείας ταύτας ἐν τοῖς ἱεροῖς βιβλίοις); Ἀλλ' οὗτοι, ὥσπερ ἕκαστος γινώσκει, ἁπλούστατοι ἦσαν ἄνθρωποι, καὶ τῇ παιδείᾳ παντελῶς ἀνίκανοι εἰς τοιοῦτο ἔργον. Ἀλλ' ὅμως τοὐλάχιστον ὁμολογῆσαι δεῖ, ὅτι τὸ τοσούτῳ τέλειον σύστημα οὐδαμῶς αὐτοῦ τοῦ Θεοῦ ἀνάξιόν ἐστιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

4. *Εἰδικῶς δ' ἐφ' ἕκαστον τῶν τοῦ Χριστιανισμοῦ μυστηρίων ἐμβλέποντες, παρατηροῦμεν, ὅτι, ἀκατάληπτα μένοντα, πλεῖστα ἡμῖν, ἑρμηνεύουσι, καὶ παρέχουσι μεγάλας γνώσεις τῇ θρησκείᾳ ἀναγκαίας. Οὕτω, π. χ. τὸ τῆς πτώσεως μυστήριον ἑρμηνεύει τὴν ἀρχὴν τοῦ κακοῦ ἐν τῷ κόσμῳ καὶ τὴν ἐσωτερικὴν διαμάχην, ἣν ἕκαστος ἐν ἑαυτῷ αἰσθάνεται, τὰς δυστυχίας, ἃς ἕκαστος ἐν τῷ βίῳ ὑπομένει· τὸ τῆς ἐνσαρκώσεως παρίστησιν ἡμῖν ἐν παντὶ φωτὶ τὴν ὑψηλὴν ἀξίαν τῆς ἡμῶν φύσεως, τὴν ἄπειρον πρὸς ἡμᾶς τοῦ Πλάστου ἀγάπην, καὶ δείκνυσι τὸν Ἐνσαρκωθέντα ὕψιστον ὑπογραμμὸν μιμήσεως· τὸ τῆς ἀπολυτρώσεως καὶ τοῦ σταυρικοῦ θανάτου τοῦ Λυτρωτοῦ ἔτι μᾶλλον ἀποκαλύπτει ἐνώπιον ἡμῶν καὶ πᾶν τὸ πολύτιμον τῆς ψυχῆς ἡμῶν καὶ τὸ μέγεθος τῶν τελειοτήτων τοῦ Δημιουργοῦ ἡμῶν, τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα καὶ δικαιοσύνην, τὴν ἄπειρον ἁγιότητα καὶ σοφίαν, τὴν ἄπειρον δύναμιν καὶ ἐμμονὴν εἰς τὰς ἑαυτοῦ ἐπαγγελίας.*

5. *Τὰ μυστήρια ἐν τῇ χριστιανικῇ θρησκείᾳ εἰσὶ λίαν ἀγαθουργὰ καὶ αὐτῇ τῇ θρησκείᾳ καὶ τῷ ἀνθρώπῳ, ὃς ὀφείλει αὐτὴν ἀποδέξασθαι. Εἰ γὰρ ἐν τῇ ἀποκαλύψει μόναι καταληπταὶ ἦσαν ἀλήθειαι, ταχέως ἂν ἡ ἀποκάλυψις ἀπώλεσε τὴν πλήρη αὐτῆς τιμὴν ἀφ' ἡμῶν, ὅτε, τῷ θείῳ χαρακτῆρι τοῦ ἀκαταλήπτου ἐπεσφραγισμένη, φύσει διεγείρει πρὸς ἑαυτὴν καὶ ἐνδελεχῶς ὑποστηρίζει ἐν τῷ ἀνθρώπῳ τὸ αἴσθημα τοῦ σεβασμοῦ καὶ τῆς εὐσεβείας. Ἡ ὕπαρξις τῶν μυστηρίων ἐν τῇ χριστιανικῇ ἀποκαλύψει βραχυτάτην δείκνυσι τῷ ἀνθρώπῳ ὁδὸν πρὸς ἐξοικείωσιν τῆς ἀποκαλύψεως, τὴν ὁδὸν δηλ. τῆς πίστεως, θεραπεύει τὴν βαρεῖαν τῆς φύσεως ἡμῶν νόσον, τ. ε. τὴν ὑπερηφάνειαν τοῦ νοός, πηγὴν ἀπείρων κακῶν οὖσαν, ἐκτιμᾷ τὴν πίστιν ἡμῶν, τὴν πρᾳότητα καὶ ὑποταγὴν τῷ θείῳ θελήματι, ὅτε τὸν νοῦν ἡμῶν αἰχμαλωτίζομεν εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ (β'. Κορ. ι', 5).*

6. *Τὰ μυστήρια ταῦτα τοῦ Χριστιανισμοῦ, ὑπόθεσις τῆς πίστεως ἡμῶν ὄντα, εὐεργετικωτάτην ἔχουσι κοινωνίαν καὶ πρὸς τὴν πρᾶξιν ἡμῶν. Καὶ γὰρ ἀποκαλύπτοντα μὲν ἡμῖν τὰς ἀπείρους τοῦ Κυρίου τελειότητας, τρέφουσι τὴν πρὸς αὐτὸν εὐσέ-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βειαν ἡμῶν· μαρτυροῦντα δὲ τὰς ἀπείρους αὐτοῦ πρὸς ἡμᾶς εὐεργεσίας, διεγείρουσι καὶ τρέφουσιν ἐν ἡμῖν τὴν πρὸς αὐτὸν ἀγάπην καὶ εὐχαριστίαν· δεικνῦσι τῷ ἀνθρώπῳ καὶ ἰσχυροτάτας παραινέσεις πρὸς τὴν ἀρετὴν καὶ ὕψιστον τύπον πασῶν τῶν ἀρετῶν τὸν θεῖον λυτρωτήν, καὶ πιστώτατα μέσα πρὸς ἐκτέλεσιν αὐτῶν τὰς δωρεὰς τῆς θείας χάριτος.

§. 92. *Περὶ τῆς διδασκαλίας τῆς ἠθικῆς.*

*Δύο μέρη διακρῖναι δυνάμεθα ἐν τῇ ἠθικῇ διδασκαλίᾳ τῆς καινῆς Διαθήκης, α'. τὸν νόμον καὶ β'. παραινέσεις εἰς ἐκπλήρωσιν αὐτοῦ.*

I. *Ὁ μὲν νόμος, τέλος ἔχων διδάξαι ἡμᾶς τὸ μέν, „ἀποθέσθαι κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης“, τὸ δέ, „ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας* (*Ἐφ.* δ', 22, 24)“, *προτείνει ἡμῖν δύο κυριωτάτας ἀρχὰς τῆς πράξεως, πρὸς ἡμᾶς μὲν αὐτοὺς τὴν ἀρχὴν τῆς ἡμῶν αὐτῶν ἀπαρνήσεως, πρὸς δὲ τὸν Θεὸν καὶ τὸν πλησίον τὴν τῆς ἀγάπης. Καὶ ἐκείνη μὲν ἐν τοῖσδε τοῦ Σωτῆρος ἐκπέφρασται. „Ὅς τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι* (*Μάρκ.* η', 34)“, *καὶ εὐθὺ τείνει πρὸς ἐκρίζωσιν τῆς ἐν ἡμῖν ἀρχῆς, ὑφ' ἧς ὁδηγεῖται ὁ πεπτωκὼς ἄνθρωπος, τ. ἐ., πρὸς ἐκρίζωσιν τῆς φιλαυτίας, πηγῆς ἐν ἡμῖν οὔσης πάσης ἁμαρτίας* (*Σειρ.* ι', 15). *Αὕτη δ' ἐκπέφρασται ὡσαύτως ὑπ' αὐτοῦ τοῦ Σωτῆρος ἐν τούτοις· „Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν* (*Ματθ.* κβ', 37-39)“, *καὶ σκοπεῖ ἐν ἡμῖν ἐνριζῶσαι τὸν σπόρον τῆς καινῆς ἁγίας καὶ εὐσεβοῦς ζωῆς, παρεισαγαγεῖν εἰς ἡμᾶς τὸν σύνδεσμον τῆς τελειότητος* (*Κολ.* γ', 14).

1. *Εἰδικῶς ἀναπτύσσουσα ἡ καινὴ Διαθήκη τὴν ἀρχὴν τῆς ἡμῶν ἀπαρνήσεως, ἐντέλλεται ἡμῖν α'. ἵνα πρὸ πάντων μετανοήσωμεν, καὶ καθόλου μετανοῶμεν διὰ τὰς ἁμαρτίας ἡμῶν πά-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



σας. „Μετανοεῖτε (Ματθ. γ', 2)“, οὕτως ἤρξατο ὁ θεῖος Διδάσκαλος τὸ ἑαυτοῦ κήρυγμα, καὶ οὕτως ἐπέταξε τοὺς ἑαυτοῦ ἀποστόλους αὐτῆς ἄρξασθαι (Λουκ. κδ', 47)· β'. ἵνα εἶτα ἀκαταπαύστου ἀρξώμεθα διαμάχης πρὸς ἡμᾶς αὐτούς, μέχρις αἵματος ἔστιν ὅτε ἀγωνιζόμενοι πρὸς τὴν ἐν ἡμῖν ἐνοικοῦσαν ἁμαρτίαν (Ἑβρ. ιβ', 4), καὶ προθυμώμεθα σταυρῶσαι τὴν σάρκα ἡμῶν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις (Γαλ. ε'. 24), „νεκρώσωμεν τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία (Κολ. γ', 5), καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος (β'. Κορ. ζ', 1), καὶ οὔτε ἔργῳ, οὔτε διανοίᾳ, οὔτε λόγῳ ἁμαρτάνωμεν (Ματθ. ε', 28· ιβ', 36· Ἐφ. ε', 3)“· γ'· ἵνα συνάμα ἐνδεχοῦς πνευματικῆς μάχης πρὸς τὸν κόσμον ἀρξώμεθα, ὃς ἐν τῷ ψεύδει ἔγκειται, καὶ ἀεὶ ἐπισύρει ἡμᾶς πρὸς τοὺς πειρασμούς, ἀποσχῶμεν παντός, ὅπερ δύναται ἐν ἡμῖν τὴν τριπλῆν διεγείρειν ἐπιθυμίαν, τὴν τῆς σαρκός, τὴν τῶν ὀφθαλμῶν καὶ τὴν ἀλαζονείαν τοῦ κόσμου (α'. Ἰωάν. β'. 15, 16)· καὶ ἀντὶ τῆς πρώτης σπουδάσωμεν ἐν ἑαυτοῖς τὴν ἐγκράτειαν ἐνριζῶσαι καὶ καθαριότητα (Λουκ. κα', 34· Ματθ. ε', 27-30· Ῥωμ. ιγ', 14)· ἀντὶ δὲ τῆς δευτέρας τὴν ἀφιλοκέρδειαν καὶ ἐλευθεριότητα (α'. Τιμ. ς', 8, 10)· ἀντὶ δὲ τῆς τρίτης, τὴν πρᾳότητα (Λουκ. κβ', 26)· ἵνα ἑκόντες ἀπαρνησώμεθα πάντα τὰ τοῦ κόσμου, καὶ ἂν ὦσιν ἡμῖν τοσούτῳ προσφιλῆ, ὡς αὐτὸς ὁ ὀφθαλμὸς ἡμῶν, ἢ ἡ χείρ, ἢ ὁ πούς, ἐὰν μόνον παρατηρήσωμεν, ὅτι αὐτὰ πλανῶσιν ἡμᾶς, καὶ πρὸς τὴν ἁμαρτίαν προσέλκωσι (Ματθ. ε', 29-31)· ἵνα καὶ αὐτὴν τὴν οἰκίαν, τὸν πατέρα καὶ τὴν οἰκογένειαν καταλείπωμεν, ἐὰν βλέπωμεν, ὅτι ἀδύνατον ἄλλως ἡμῖν τῆς ἀσεβείας ἀφιστάναι καὶ τῆς ἀϊδίου τυχεῖν σωτηρίας (Μάρκ. ι', 29· Λουκ. ιδ', 26)· δ'. ἐντέλλεται ἀενάως μάχεσθαι καὶ πρὸς τὸν οὐσιώδη τὸν ἔκπαλαι ἐχθρὸν ἡμῶν διάβολον, ὃς ὁ πρῶτος αἴτιος πάσης ἁμαρτίας καὶ πάντων τῶν πειρασμῶν ἐστι (α'. Ἰωάν. γ', 8), καὶ τούτου ἕνεκα „ἐνδύσασθαι τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ἡμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου (Ἐφ. ς', 11), ἀεὶ νήφειν καὶ γρηγορεῖν (α'. Πέτρ. ε', 8), διὰ πάσης προσευχῆς καὶ δεήσεως προσεύχεσθαι ἐν παντὶ καιρῷ

ἐν πνεύματι (Ἐφ. ϛ', 18), καὶ ἐνδυναμοῦσθαι ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ (-10)". Ὡς ἔπος δ' εἰπεῖν, ἡ τῆς αὐταπαρνήσεως ἀρχὴ ἀπαιτεῖ παρ' ἡμῶν, ἵνα ἀπαρνησώμεθα πάντα καὶ ἀντιστῶμεν παντί, ὁπωσδήποτε δυναμένῳ ἐν ἡμῖν διεγεῖραι ἁμαρτωλὰς ἐπιθυμίας καὶ εἰς τὰ ἁμαρτήματα ἐπισῦραι. Ἀλλ' ὅμως ἡ ἀρχὴ αὕτη, πρὸς ἐκρίζωσιν παντὸς τοῦ ἐν ἡμῖν παλαιοῦ καὶ ἁμαρτωλοῦ τείνουσα, ἀνεπαρκὴς καθ' ἑαυτήν ἐστιν εἰς ἐμφύτευσιν ἐν ἡμῖν νέας χριστιανικῆς ζωῆς, δι' ὃ ἀναγκαία ἡ ἀγάπη ἐστί· „Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι (α'. Κορ. ιγ', 3)", εἶπεν ὁ μέγας Ἀπόστολος.

2. Ἡ τῆς ἀρχῆς ἀγάπη πρὸς τὸν Θεὸν καὶ πλησίον ὁμοίως ἀνέπτυκται ἐν τῇ καινῇ Διαθήκῃ ἐν πάσῃ ἀκριβείᾳ.

Ἡ μὲν πρὸς τὸν Θεὸν ἀγάπη κατὰ τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου ὀφείλει α'. εἰλικρινεστάτη εἶναι, πλήρης καὶ ἐντελεστάτη· „Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου (Λουκ. ι', 27)", οὗ ἕνεκα οὐδαμῶς αὕτη δύναται συγκαταταχθῆναι τῇ πρὸς τὸν κόσμον ἀγάπῃ· „Οὐδεὶς δύνατια δύο κυρίοις δουλεύειν· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ (Ματθ. ϛ', 24)"· β'. ἐκφράζεσθαι ἐν τῇ ὑποταγῇ τῷ θείῳ θελήματι, τ. ε. ἐν τῇ ἐκπληρώσει τῶν ἐντολῶν· „Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε (Ἰωάν. ιδ', 15)· ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με (-21)· αὕτη ἐστὶν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν (α'. Ἰωάν. ε', 3)"· γ'. ὁρμᾶν πρὸς μίμησιν τῶν τελειοτήτων τοῦ ὑψίστου Ὄντος, καὶ τέλος ἔχειν τὴν δόξαν αὐτοῦ· „Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς (Ἐφ. ε', 1, 2)· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς (Ματθ. ε', 16)"· δ'. βαθεῖα καὶ ἀκλόνητος εἶναι, ὥστε ἑτοίμους εἶναι ἡμᾶς εἰς πάσας τὰς θυσίας χάριν τοῦ ὀνόματος τοῦ Θεοῦ, ὥστε οὔτε „θλίψιν ἢ

*στενοχωρίαν ἢ διωγμὸν ἢ λιμὸν ἢ γυμνότητα ἢ κίνδυνον ἢ μάχαιραν, οὔτε θάνατον, οὔτε ζωήν, οὔτε ἀγγέλους οὔτε ἀρχάς, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε δυνάμεις, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τινὰ κτίσιν ἑτέραν δυνήσεσθαι ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ* (*Ῥωμ. η'*, 35, 38, 39· *παράβ. Μαρκ. η'*, 35)".

*Ἡ δὲ πρὸς τὸν πλησίον ἀγάπη ἀδιασπάστως τῇ πρὸς τὸν Θεὸν συνδεδεμένη* (*α'. Ἰωάν. δ'*, 26), *τοῦτον ἔχει ἐν τῷ χριστιανισμῷ διακριτικὸν χαρακτῆρα, ὅτι α'. ἅπαντας τοὺς ἀνθρώπους περιλαμβάνει, φίλους τε καὶ ἐχθρούς· „Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς· ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους* (*Ματθ. ε'*, 44, 45)"· *β'. ἀεὶ ἀπροσωπόληπτος, ἐγκάρδιος, ἐκ καθαρᾶς καρδίας* (*α'. Πέτρ. α'*, 22)· *γ'. ἀναγκαίως ἐκφράζεται ἐν τοῖς ἔργοις· „Μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ* (*α'. Ἰωάν. γ'*, 18)· *ὁ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκεν. Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη* (*Ῥωμ. ιγ'*, 8, 10)". *Εἰδικῶς δὲ αὕτη, πεπληρωμένη τῇ χριστιανικῇ ἀγάπῃ δ'. οὐ λυπεῖ τὸν πλησίον ἔργῳ, οὐδὲ λόγῳ οὐδὲ διανοίᾳ· „Πάντα ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς* (*Ματθ. ζ'*, 12)· *Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν* (-1, 2)· *Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ* (*εἰκῇ*) *ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ· Ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ. Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός* (*Ματθ. ε'*, 22)"· *ε'. ἀλλ' ὅμως αὐτὸς μεγαθύμως φέρει πάσας τὰς πικρίας, καὶ συγχωρεῖ πάσας τὰς ὕβρεις οὐχ ἑπτάκις μόνον, ἀλλ' ἑβδομηκοντάκις ἑπτά* (*ιη'*, 22)· *„ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην* (*ε'*, 39)· *Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος* (*ς'*, 14)"· *ς'. ἀεὶ οἰκτίρμων ἐστὶ καὶ δαψιλὴς*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς τὸν πλησίον· „Τῷ αἰτοῦντί σε δός, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς (ε', 42)· ἀγαθοποιεῖτε, καὶ δανείζετε μηδὲν ἀπελπίζοντες (Λουκ. ς', 35)· γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί (-36)"· ζ'. ἐπιμελεῖται περί τε τῆς ἐξωτερικῆς αὐτῶν εὐδαιμονίας καὶ τῆς σωτηρίας τῆς ψυχῆς· „Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε, μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας (α'. Θεσσ. ε', 14, 15)· κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων (Ἑβρ. ι', 24)"· η'. καὶ καθόλου τοσούτῳ τῷ πλησίον παραδέδοται, ὥστε ἕτοιμός ἐστι, κατὰ τὸ παράδειγμα τοῦ ἑαυτοῦ Σωτῆρος, ὑπὲρ αὐτῶν αὐτὴν τὴν ἑαυτοῦ ψυχὴν θεῖναι· „Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ (Ἰωάν. ιε', 12, 13)".

II. Ἀλλὰ πολυάριθμοι καὶ παντοδαπαί εἰσιν αἱ παραινέσεις, ἃς ὁ Χριστιανισμὸς προτίθησιν, ὅπως τοὺς ἀνθρώπους ἀποσύρῃ τῆς ἀσεβείας, καὶ ἐπὶ τῆς ὁδοῦ τῆς ἀρετῆς στηρίξῃ·

Πρὸ πάντων δὲ στρέφων πρὸς τοὺς ἁμαρτωλούς, λέγει, ὅτι α'. ὅσῳ ἂν ὦσι τὰ ἁμαρτήματα αὐτῶν μεγάλα, συγχωρηθήσονται αὐτοῖς, ἐὰν μόνον εἰλικρινῶς μετανοήσωσι, καὶ θελήσωσιν ἁγίως ζῆν· „Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας (α'. Ἰωάν. α', 9)· Ἐὰν ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας (-7)". β'. ὅσῳ ἂν ὦσιν ἀσθενεῖς αἱ ἴδιαι αὐτῶν δυνάμεις διὰ τοσούτῳ μέγα ἔργον, προθύμως δύνανται προσέρχεσθαι τῷ θρόνῳ τῆς χάριτος, καὶ ἐν τῷ ὀνόματι τοῦ Σωτῆρος αἰτήσασθαι „πάντα τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν (β'. Πέτρ. ι', 3)· αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν (Ματθ. ζ', 7)· ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Ἰωάν. ιδ', 14)· προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν (Ἑβρ. δ', 16)"· γ'. καὶ ἀποθέμενοι τὰ βαρέα τῆς ἁμαρτίας δεσμά, καὶ ἀναδεξάμενοι τὸν χρηστὸν ζυγὸν τοῦ Χριστοῦ, ἐπιτεύξονται ἀναπαύσεως ταῖς ψυχαῖς αὐτῶν· „Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι (Ματθ. ια', 28-30)".

Ἐν ἄλλοις δὲ χωρίοις τὸ Εὐαγγέλιον πᾶσιν ἀγγέλει τοῖς Χριστιανοῖς, ἁμαρτωλοῖς τε καὶ δικαίοις, καὶ παραινεῖ αὐτοὺς πρὸς τὴν εὐσέβειαν α'. τὸ μὲν τῇ τῆς ὑπ' αὐτῶν ὁμολογουμένης θρησκείας ὑπεροχῇ ὑπὲρ τῆς Ἰουδαϊκῆς καὶ ἐθνικῆς· „Ἐὰν ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; Καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ οὕτω ποιοῦσιν; Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι (Ματθ. ε', 46-48)"· β'. τὸ δὲ τῷ ὕψει τῶν δεδομένων αὐτοῖς ἐν τῷ βαπτίσματι ἐπαγγελιῶν· „Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν (Ρωμ. ς', 3, 4)"· γ'. τὸ δὲ τῇ ἀξίᾳ τῆς ἰδίας κλήσεως· „Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε (Ἐφ. δ', 1)· πάντες γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους. Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν (α'. Θεσσ. ε'. 5, 6)· ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστὲ ζῶντος (β'· Κορ. ς', 16)".

Ἐν τισι δὲ χωρίοις δείκνυσι τὸ Εὐαγγέλιον τοῖς Χριστιανοῖς τὰ ἀποτελέσματα τῶν ἁμαρτημάτων καὶ ἀρετῶν, λέγον, ὅτι α'. καὶ ἐν τῇ παρούσῃ ζωῇ οὐ σπανίως „ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Ῥωμ. α΄. 18)". ἐν δὲ τῇ μετὰ θάνατον τοὺς ἀμετανοήτους ἁμαρτωλοὺς περιμένει τὸ αἰώνιον πῦρ (Ματθ. κε΄, 41), „ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων (Λουκ. ιγ΄. 28)"· ὅτε β΄. „ἡ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης (α΄. Τιμόθ. δ΄, 8)", καὶ τοῖς δικαίοις, αἰτοῦσι τὴν βασιλείαν τοῦ Θεοῦ διὰ πάντας αὐτῶν τοὺς πόνους καὶ αὐταπαρνήσεις, συχνάκις καὶ νῦν ἀποδίδοται ἑκατοστύς, προστίθενται πάντα τὰ ἀγαθὰ τοῦ κόσμου (Ματθ. ς΄. 33· Μαρκ. ι΄, 30)· μετὰ δὲ θάνατον προητοιμασμένα εἰσὶν ἀγαθά, „ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη (α΄. Κορ. β΄, 9)".

Ἀλλ' ὅμως τὰς ὑψίστας ἀδιστάκτως καὶ συγκινητικωτάτας παραινέσεις προτίθησιν ἡμῖν ὁ Χριστιανισμός, ὅτε α΄. λέγει περὶ τοῦ θαυμαστοῦ μεγέθους τῶν πρὸς ἡμᾶς οἰκτιρμῶν τοῦ Θεοῦ ἐν τῷ τῆς ἀπολυτρώσεως μυστηρίῳ· „Παρακαλῶ ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν (Ῥωμ. ιβ΄, 1)"· ὑπομιμνήσκει τὴν πρὸς ἡμᾶς ἄπειρον τοῦ οὐρανίου πατρὸς ἀγάπην ἐν τῷ μεγάλῳ τούτῳ μυστηρίῳ ἐμφανεῖσαν· „Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν (α΄. Ἰωάν. δ΄, 9-11)· ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς (-19)"· γ΄. εἰδικῶς δὲ παρακαλεῖ ἡμᾶς πρὸς τὴν ἀρετὴν τοῖς σταυρικοῖς τοῦ Λυτρωτοῦ ἡμῶν πάθεσιν· „Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ (β΄. Κορ. ε΄, 20, 21)".

III. Τριχῶς θεωρῆσαι δυνάμεθα πᾶσαν ταύτην τὴν ἠθικὴν τῆς καινῆς Διαθήκης διδασκαλίαν α΄. ὡς πρὸς τὴν δογματικὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῆς διδασκαλίαν, β΄. καθ᾽ ἑαυτήν, γ΄. ἐν συγκρίσει πρὸς ἄλλας ποτὲ ὑπαρξάσας ἠθικὰς διδασκαλίας.

α΄. Ἀδύνατον μὴ παρατηρῆσαι τὴν στενωτάτην συνάφειαν τῆς ἠθικῆς διδασκαλίας τῆς καινῆς διαθήκης τῇ δογματικῇ διδασκαλίᾳ. Αὕτη μὲν λέγει ἡμῖν, ὅτι α΄, ὁ ἄνθρωπος ἔπεσε, καὶ ἐν καταστάσει διαφθορᾶς διατελεῖ, β΄. ἀνηγέρθη τῷ σταυρικῷ τοῦ θείου Λυτρωτοῦ θανάτῳ· ἡ δὲ ἠθικὴ δείκνυσιν ἡμῖν αὐτὴν τὴν ὁδὸν τῆς μεταβάσεως ἀπὸ τῆς πρώτης καταστάσεως εἰς τὴν δευτέραν, καὶ κανόνας παρέχει, τί ἡμῖν πράσσειν δεῖ, ἵνα ἐξαλείψωμεν, τῇ ἀρωγῇ τῆς θείας χάριτος, τὸ ἐν ἑαυτοῖς ἁμαρτωλὸν καὶ παλαιόν, καὶ γενώμεθα ἀνακεκαινισμένοι καὶ ἅγιοι. Καὶ ἡ μὲν δογματικὴ διδάσκει περὶ τῶν μεγίστων τελειοτήτων τοῦ τρισυποστάτου Θεοῦ, τῆς πανταχοῦ αὐτοῦ παρουσίας, παγγνωσίας, ἀγαθότητος, δικαιοσύνης, κλπ.· λέγει περὶ τῆς ἐνσαρκώσεως, τῶν παθῶν, τοῦ θανάτου καὶ τῶν ἀπείρων τοῦ Θεανθρώπου ὑπὲρ ἡμῶν ἔργων, περὶ ὧν χρῆται πρὸς σωτηρίαν ἑκάστου ἡμῶν παντοίων μέσων, περὶ τῆς παγκοίνου κρίσεως καὶ τῶν ἀϊδίων ἀποδόσεων τοῖς δικαίοις καὶ ἁμαρτωλοῖς. Ἡ δὲ ἠθικὴ ἐκ τούτων ἐξάγει πολυαρίθμους παραινέσεις, αἷς προθυμεῖται ἀποκλῖναι τοὺς ἁμαρτωλοὺς τῆς ἀσεβείας, καὶ στηρίξαι ἐν τοῖς ἀγῶσι τῆς ἀρετῆς, ὥστε αἱ δύο αὗται τοῦ Χριστιανισμοῦ διδασκαλίαι, ἡ δογματικὴ καὶ ἠθική, κυρίως δύο εἰσὶ μέρη μιᾶς καὶ τῆς αὐτῆς διδασκαλίας ζωηρὰ καὶ ἀχώριστα.

β΄. Ἡ ἠθικὴ διδασκαλία τῆς καινῆς Διαθήκης ἐκπλήσσει ἡμᾶς τῷ ὕψει καὶ τῇ τελειότητι τῶν αὐτῆς κανόνων, τῇ δυνάμει καὶ ἁγνότητι τῶν αὐτῆς παραινέσεων. Σκοπὸς δὲ τούτων τῶν κανόνων ἐστὶ διδάξαι τοὺς ἀνθρώπους, πῶς τὴν ἀσέβειαν ἀρνήσωνται, καὶ σωφρόνως, δικαίως καὶ εὐσεβῶς βιῶσι (Τιτ. β΄, 12), καὶ πάντες οὗτοι μετὰ θαυμαστῆς σοφίας προσηρμοσμένοι εἰσὶ τῷ σκοπῷ τούτῳ. Καὶ πρὸς ἐκρίζωσιν μὲν τῶν ἐν ἑαυτῷ ἁμαρτιῶν, βοηθείᾳ τῆς θείας χάριτος, αὐταπάρτησις τῷ ἀνθρώπῳ ἐντέλλεται, ὥστε ἐν ἀνάγκῃ ἑτοίμῳ εἶναι τὴν ἑαυτοῦ θυσιάσαι ζωήν· εἰς ἐπίτευξιν δὲ τῶν ἀρετῶν ἐπιτάσσεται ἀγάπη πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον, καὶ τοσαύτη, ὥστε ἐξ αὐτῆς ἕτοιμον εἶναι τὸν χριστιανὸν τὴν ἰδίαν θυσιάσαι ζωήν. Ταῖς δ᾽ αὐτοῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραινέσεσιν ὁ Χριστιανισμός, οὕτως εἰπεῖν, πανταχόθεν τὸν ἄνθρωπον περιλαμβάνει ἐν οἱαδήποτε καταστάσει ἂν διατελῇ, καὶ ἐνεργεῖ ἐπὶ πάσας τὰς δυνάμεις τῆς αὐτοῦ ψυχῆς, καὶ ἐπὶ τὸν νοῦν, καὶ τὴν θέλησιν, καὶ τὴν καρδίαν, τὸν μὲν πείθων, τὴν δὲ ἐπικάμπτων, τὴν δὲ καρδίαν συγκινῶν καὶ ἐφέλκων.

γ'. Αὕτη ἐκπλήσσει ἕκαστον σκεπτόμενον ἄνθρωπον τῇ μεγίστῃ αὐτῆς ὑπεροχῇ πασῶν τῶν ἄλλων ἠθικῶν διδασκαλιῶν[217] ἀνθρωπίνων τε καὶ θείων, τῶν τῆς παλαιᾶς Διαθήκης (Βλ. Ματθ. ε', ς', ζ',). Ἡ δ' ἀλήθεια αὕτη τόσῳ πασίγνωστος καὶ ἀδιστακτός ἐστιν, ὥστε περιττόν ἐστιν αὐτὴν ἀποδεῖξαι· καὶ αὐτοὶ γὰρ οἱ τοῦ Χριστιανισμοῦ ἐχθροὶ εἰς ἐπήκοον πάντων αὐτὴν ὡμολόγουν[218]. Ἀλλ' ὅμως ἡ μέγιστη ὑπεροχὴ τῆς χριστιανικῆς ἠθικῆς διδασκαλίας ὑπὲρ πάσας τὰς ἀνθρωπίνους ἐκ τούτου πηγάζει, ὅτι ἡ ἁγία τοῦ Χριστοῦ θρησκεία οὐ μόνον κανόνας τῆς ζωῆς παρέχει ἡμῖν, καὶ παραινέσεις πρὸς τὴν εὐσεβῆ πρᾶξιν δείκνυσιν, ἀλλ' ἅμα δωρεῖται ἡμῖν καὶ πάντα τῆς θείας δυνάμεως τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν (β'. Πέτρ. α', 3), ἃ οὐδεὶς τῶν ἀνθρώπων ἡμῖν δωρήσασθαι δύναται.

## §. 93. Περὶ τῆς ἐξωτερικῆς λατρείας.

Ἡ ἐξωτερικὴ λατρεία, ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ὑπάρχουσα, ἀκριβῶς οὐκ ἐξετέθη ἐν τῇ ἀποκαλύψει τῆς καινῆς Διαθήκης, ὥσπερ ὁ περὶ τελετῶν νόμος ἐν τῇ παλαιᾷ. Ἀλλ' ἐπειδὴ ἡ λατρεία αὐτή, παντὶ τῷ αὐτῆς συνόλῳ καὶ τῷ πνεύματι ἐπὶ τῆς ἀποκαλύψεως δὴ τῆς καινῆς Διαθήκης βασίζεται, καὶ τὰ κυριώτερα τῶν χριστιανικῶν ἱερουργιῶν ἅγια μυστήρια ἐντεταλμένα εἰσὶν ἐν τῇ αὐτῇ ἀποκαλύψει, οὐχ οἷον μὴ ἐνταῦθα εἰπεῖν περὶ τῆς ἐξωτερικῆς λατρείας τῆς καινῆς Διαθήκης.

Διπλοῦς ἐστιν ὁ σκοπὸς τῆς λατρείας ταύτης, ὁ μὲν παρέχει ἡμῖν μέσον πρὸς ἔκφρασιν τῆς ἐσωτερικῆς ἡμῶν εὐσεβείας, τῆς ἐλπίδος, τῆς ἀγάπης καὶ καθόλου πάντων τῶν αἰσθημάτων, ἃ ἡμῖν ἔχειν πρὸς τὸν Θεὸν καὶ τοὺς ἁγίους αὐτοῦ δεῖ, ὁ δὲ διε-

---

[217] Βλ. ἁγ. Χρυσοστ. εἰς Ματθ. ὁμιλ. α', ἀριθ. 5.

[218] π. χ. Ὁ Ῥουσσὼ ἐν Emele, livr. IV, tom. III.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*γείρει, τρέφει καὶ ἀνυψοῖ ἐν ἡμῖν αὐτὴν τὴν ἐσωτερικὴν εὐσέβειαν, ἀναζωπυροῖ τὴν πίστιν ἡμῶν, ἀναφλέγει τὴν ἀγάπην, ἀναπτεροῖ τὴν ἐλπίδα, καὶ ὑφ' ὁρατὰ σημεῖα κατάγει εἰς τὴν καρδίαν ἡμῶν τὴν ἀόρατον τοῦ Θεοῦ χάριν εἰς στήριξιν ἡμῶν ἐπὶ τῆς ἀληθοῦς εὐσεβείας. Κατὰ δὲ τὸν σκοπὸν τοῦτον πάντα ἐν τῇ χριστιανικῇ εὐσεβείᾳ ἐν ἑαυτοῖς φέρουσι βαθεῖαν καὶ μυστηριώδη σημασίαν· πάντα ἐκφράζουσιν ἀληθείας τινὰς τοῦ Εὐαγγελίου καὶ συντείνουσι πρὸς παραμυθίαν ἡμῶν.*

*Καὶ οἱ μὲν χριστιανικοὶ ναοὶ ταῖς ἱεραῖς κεκόσμηνται εἰκόσι τοῦ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ· αὗται δέ, τὸν νοῦν ἡμῶν πρὸς τὸ πρωτότυπον ἀνάγουσαι, ὑπομιμνήσκουσιν ἡμᾶς τῶν ἀπείρων τελειοτήτων καὶ τῶν πρὸς ἡμᾶς εὐεργεσιῶν τοῦ Θεοῦ, κυρίως ἐμφαινομένων ἐν τῷ τῆς ἡμῶν ἀπολυτρώσεως μυστηρίῳ, καὶ οὕτω παροτρύνουσιν ἡμᾶς δοξολογεῖν τὸν Κύριον, εὐχαριστεῖν αὐτὸν καὶ ἐκχέειν ἐνώπιον αὐτοῦ τὴν ἡμῶν ψυχήν· πρὸς δὲ καὶ τῶν μεγάλων ὑπομιμνήσκουσιν ἀγώνων τῶν εὐαρεστησάντων τὸν Θεόν, τῆς οὐρανίου τυχόντων ἤδη βασιλείας, καὶ τούτῳ παρακινοῦσιν ἡμᾶς μακαρίζειν τὴν αὐτῶν μνήμην, αἰτεῖσθαι τὴν αὐτῶν ἀντίληψιν ἐνώπιον τοῦ θρόνου τοῦ Ὑψίστου καὶ τὸν αὐτῶν μιμεῖσθαι βίον.*

*Οἱ δὲ ἱεροὶ χρόνοι εἴτε χριστιανικαὶ ἑορταὶ ἐτάχθησαν αἱ μὲν εἰς δόξαν τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, αἱ δὲ εἰς τιμὴν τῶν ἀσωμάτων δυνάμεων καὶ τῶν ἁγίων. Καὶ αἱ μὲν πρῶται τὰς διαφόρους ὑπομιμνήσκουσιν ἐμφανίσεις τῆς Θεότητος, καὶ κυρίως διαφόρους περιστάσεις τοῦ ἐπιγείου βίου τοῦ Σωτῆρος ἡμῶν, αἵτινες φύσει διεγείρουσιν ἐν τῇ καρδίᾳ ἡμῶν αἰσθήματα εὐγνωμοσύνης καὶ ἀγάπης πρὸς τὸν Θεάνθρωπον, καὶ παρέχουσιν ἡμῖν ἄπειρα ἠθικὰ μαθήματα. Αἱ δὲ διαφόρους ἀναπολοῦσι περιστάσεις ἐκ τοῦ βίου τῆς Θεομήτορος καὶ διαφόρους εὐεργεσίας πρὸς τὸν ἄνθρωπον, αἵτινες παρακινοῦσιν ἡμᾶς καὶ εἰς εὐχαριστίαν πρὸς τὴν οὐράνιον Βασίλισσαν, καὶ εἰς μίμησιν τοῦ ἁγιωτάτου αὐτῆς βίου. Αἱ δὲ ἀνακαινοῦσιν ἐν τῇ μνήμῃ ἡμῶν τοὺς ἀγῶνας καὶ τὰς πρὸς ἡμᾶς εὐεργεσίας τῶν Ἁγίων καὶ τῶν Ἀγγέλων, τῇ ἡμῶν σωτηρίᾳ συνεργούν-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



των, καὶ οὕτως ἀναγκάζουσιν ἡμᾶς μακαρίζειν αὐτούς, καὶ πρὸ ἡμῶν παριστᾶσι παντοίους τύπους χριστιανικῶν ἀρετῶν.

Αἱ δὲ ἱεραὶ ἐκκλησιαστικαὶ λειτουργίαι ἐν τῇ ἀλλεπαλλήλῳ αὐτῶν τάξει συμβολικῶς ἀπεικονίζουσι πρὸ ἡμῶν ἅπασαν τὴν θαυμασίαν τάξιν τῆς θείας οἰκονομίας τῆς ἡμῶν σωτηρίας καὶ μάλιστα τὴν ἱστορίαν τοῦ ἐπιγείου βίου τοῦ λυτρωτοῦ ἡμῶν, καὶ τούτῳ ἀναπτεροῦσι τὴν ψυχὴν τοῦ χριστιανοῦ πρὸς τὰς ὑψίστας διανοίας, πρὸς τὰ ἁγιώτατα αἰσθήματα καὶ τὰς ἐπιθυμίας. Εἰδικῶς δὲ τὰ κυριώτατα τῶν ἱερουργιῶν θεῖα μυστήρια, ὥσπερ ὅπλα καὶ σημεῖα ὁρατὰ τῆς ἀοράτου θείας χάριτος, εἰς τὰς καρδίας τῶν πιστευόντων ἐκχεομένης καὶ τὴν σωτηρίαν αὐτῶν διαπρασσομένης, τὰ ἄπειρα τοῦ λυτρωτοῦ ἡμῶν ἔργα δεικνύοντα καὶ τὴν ἄπειρον πρὸς ἡμᾶς ἀγαθότητα, σφόδρα διεγείρουσι τὴν εἰς αὐτὸν ἡμῶν πίστιν, τὴν ἀγάπην καὶ ἐλπίδα εἰς τὴν αὐτοῦ μεσιτείαν καὶ ἀντίληψιν.

Καὶ αὐτὰ δὴ τὰ ἱερὰ ἄμφια, ἐν χρήσει ὄντα ἐν ταῖς ἐκκλησιαστικαῖς ἱεροτελεστίαις, αὐτὰ τὰ ἱμάτια τῶν ἱεροτελεστῶν ἕκαστα τὴν ἐσωτερικὴν αὐτῶν ἔχουσι σημασίαν, καὶ ἀνάγουσι τὴν διάνοιαν τοῦ χριστιανοῦ ἀπὸ τοῦ ὁρατοῦ πρὸς τὸ ἀόρατον καὶ πνευματικόν, διεγείρουσιν ἐν τῇ ψυχῇ αὐτοῦ εὐσεβεῖς διαλογισμούς. Οὐ μνημονεύομεν δὲ τῶν ἱερῶν ᾠδῶν, εὐχῶν καὶ αναγνωσμάτων, ἅτινα ἐν τοῖς τοῦ ἀνθρωπίνου λόγου, διακεκριμένοις φθόγγοις ἐν πάσῃ ἀκριβείᾳ μεταδιδοῦσι τοῖς πιστεύουσι καὶ τὰ δόγματα τῆς πίστεως καὶ τοὺς κανόνας τῆς πράξεως. Ὡς ἔπος δ' εἰπεῖν, μόνος ὁ εἰδὼς τὸν μυστηριώδη νοῦν πάντων τῶν μερῶν τῆς λειτουργίας τῆς καινῆς Διαθήκης οὐ δύναται μὴ συνομολογῆσαι, τὴν λειτουργίαν ταύτην πιστοτάτην εἶναι, ὡς ἐν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ ὑπάρχουσα διατελεῖ, καὶ ἀξιωτάτην ἔκφρασιν τοῦ πνεύματος τῆς χριστιανικῆς θρησκείας, καὶ τὸ ἄριστον τοῖς χριστιανοῖς σχολεῖον τῆς εὐσεβείας[219].

---

[219] Ἀκριβέστερον περὶ τοῦ πνεύματος καὶ τῆς σημασίας τῶν διαφόρων τῆς ὀρθοδόξου λειτουργίας δυνατὸν ἀναγνῶναι ἐν τῇ νέᾳ πλακὶ (ῥωσσιστὶ γεγραμμένῳ συγγράμματι).

§ 94. *Περὶ τῆς κοινωνίας τῆς ἀποκαλύψεως τῆς καινῆς Διαθήκης πρὸς τὴν πρόσκαιρον τοῦ ἀνθρώπου τύχην.*

*Ἐν τῇ ἀποκαλύψει τῆς καινῆς Διαθήκης οὐκ ἐκτέθειται τοῖς χριστιανοῖς πολιτικός τις νόμος, ὡς ἐν τῇ τῆς παλαιᾶς. Ἡ γὰρ ἁγία τοῦ Χριστοῦ θρησκεία κατὰ τὸ φαινόμενον οὐδεμίαν ἐφίστησι προσοχὴν ἐπὶ τῆς προσκαίρου τοῦ ἀνθρώπου τύχης, ἐπιμελομένη μόνον, ἵνα ἀναγεννήσῃ τὸν ἁμαρτωλὸν ἄνθρωπον, καθάρῃ τὴν ψυχὴν αὐτοῦ παντὸς μολυσμοῦ, ἅγιον αὐτὸν ποιήσῃ, καὶ εἰς τὴν ἀΐδιον προσαγάγῃ μακαριότητα. Ἀλλ' ὅμως μεταβάλλουσα μὲν πᾶσαν τὴν ἐσωτερικὴν τοῦ ἀνθρώπου φύσιν, εὐεργετικωτάτην δείκνυσιν ἐπιῤῥοὴν καὶ ἐπὶ τῆς ἐξωτερικῆς αὐτοῦ καταστάσεως· ποιοῦσα δ' αὐτὸν ἅγιον, καθίστησιν αὐτὸν καὶ εὐτυχῆ· οὖσα δὲ βασιλεία οὐκ ἐκ τοῦ κόσμου τούτου (Ἰωάν ιη',* 36), *ἔχει, κατὰ τὸν Ἀπόστολον, „ἐπαγγελίαν ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης (α'. Τιμ. δ',* 8)".

1. *Ἡ ἁγία πίστις καθίστησιν ἕκαστον ἄνθρωπον ἀληθῶς εὐτυχῆ, καὶ μόνη αὐτὴ δύναται. Οἱ πρῶτοι τοῦ ἀνθρώπου ἐχθροί, ἡ πρώτη πηγὴ πασῶν τῶν αὐτοῦ δυστυχιῶν τὰ ἴδιά εἰσιν αὐτοῦ πάθη, ὁ φθόνος, ἡ ἐκδίκησις, ἡ φιλοδοξία, ἡ φιλαργυρία, τὸ μῖσος. Ταῦτα οὖν ἐν αὐτῷ ἐνισχυθέντα ἀληθεῖς αὐτοῦ τύραννοι ἀναφαίνονται· φθείρουσι γὰρ τὴν ψυχὴν αὐτοῦ, ἐκτήκουσι τὸ σῶμα καὶ παραλύουσι τὴν ὑγείαν· συχνάκις κατεργάζονται τῷ ἀνθρώπῳ πλῆθος ἐχθρῶν, καὶ ὅσῳ ἂν αὐτὸς πλούσιος ᾖ ἐπιγείων ἀγαθῶν, οὐκ ἐῶσιν αὐτὸν ἀπολαῦσαι τῶν ἀγαθῶν τούτων, καὶ ἐν αὐτοῖς ἀναπαύσεως τυχεῖν. Ὁ δὲ ἁμαρτωλὸς ἐν ἑαυτῷ φέρει τὴν θύελλαν, ἣν οὐδὲν ἐξωτερικὸν καταπαῦσαι δύναται. Καὶ ἰδοὺ ἡ ἁγία πίστις καταπραΰνει τὴν θύελλαν, ἐξαλείφει ἐκ τοῦ ἀνθρώπου τὴν κυριωτάτην πηγὴν τῶν αὐτοῦ δυστυχιῶν· οὐ γὰρ ἀπαγορεύει μόνον τοῖς πιστεύουσι πάντα τὰ πάθη, καὶ ἐντέλλεται σταυροῦν αὐτά, ἀλλὰ καὶ πάσας τὰς ἀναγκαίας δυνάμεις παρέχει, ὧν ἄνευ μόναι αἱ ἐντολαὶ αὐτῆς καὶ αἱ ἴδιαι τοῦ ἀνθρώπου σπουδαὶ μηδὲν ἂν ποιήσειαν, καὶ ἅς, ἐκτὸς τοῦ Χριστιανισμοῦ, οὐδεὶς ἡμῖν παρασχεῖν δύναται. Διδάξασα δὲ τὸν ἄνθρωπον τὰ πάθη νικᾶν, εἰρήνην ἐν τῇ ψυχῇ αὐτοῦ ἐνοικίζει (Ἐφ. δ',* 7)· *ἐκείνην τὴν τῆς χάριτος εἰρήνην*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἥτις οὐδέποτε προσιτὴ τοῖς ὑπὸ τῶν παθῶν φερομένοις εἶναι δύναται (Ἡσ. νζ', 20, 21)· καὶ ἀντὶ τῆς φιλαυτίας σὺν πᾶσι τοῖς κλάδοις αὐτῆς δύο νέα ἐμποιεῖ αἰσθήματα ἐν τῇ καρδίᾳ, τὴν πρὸς τὸν Θεὸν ἀγάπην καὶ τὴν πρὸς τὸν πλησίον, καὶ οὕτω καθίστησι τὴν καρδίαν αὐτοῦ ἱερὸν τῆς ἀληθοῦς εὐτυχίας. Τότε οὐδεὶς ἤδη οἷός ἐστι τὴν ἐσωτερικὴν ταράξαι εἰρήνην καὶ τέρψιν ἐν τῇ τοῦ χριστιανοῦ ψυχῇ. Καὶ ἐὰν μὲν ῥέωσι πρὸς αὐτὸν τὰ πρόσκαιρα ἀγαθά, οὐκ ἀποβάλλει, ἀλλὰ δῶρον τοῦ Θεοῦ θεωρεῖ καὶ μέσα πρὸς ἀντίληψιν τῷ πλησίον καὶ σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς· οὐ προστίθησιν ὅμως τούτοις τὴν καρδίαν (Ψαλμ. ξα', 11)· διὸ ἀπολλὺς αὐτά, οὐκ αἰσθάνεται τὴν ἀπώλειαν, οὐδ' ἀθυμεῖ. Ἐὰν δ' ἐπισκέπτηται αὐτὸν ὁ Κύριος δυστυχίαις καὶ πειρασμοῖς, πλήρης υἱϊκῆς πίστεως εἰς τὴν πρόνοιαν, χαίρει καὶ ἐν τοῖς αὐτοῦ „παθήμασι (Κολ. α', 24)", πεποιθώς, ὅτι οἱ πειρασμοὶ οὗτοι νέα εἰσὶ μαρτύρια τῆς τοῦ οὐρανίου Πατρὸς πρὸς αὐτὸν ἀγάπης (Ἑβρ. ιβ', 6), πρὸς ἠθικὸν αὐτοῦ ὄφελος πεμπόμενοι (α'. Πέτρ. α', 6, 7), καὶ ὅτι ὁ Ὕψιστος οὐδέποτε „ἐάσει αὐτὸν πειρασθῆναι ὑπὲρ ὃ δύναται ὑπενεγκεῖν (α'. Κορ. ι', 1)". Ἐὰν δ' ἐπαναστῶσι κατ' αὐτοῦ οἱ πλησίον σὺν τῷ ἑαυτῶν φθόνῳ καὶ τῇ κακίᾳ, καὶ οὐδαμῶς προσχόντες εἰς τὴν αὐτοῦ ἀθωότητα, θλίβωσιν αὐτὸν καὶ παντοίως καταδιώκωσιν, ἡ ἀγάπη αὐτοῦ πάντα ὑπομένει, „οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν (α'. Κορ. ιδ', 4, 8)"· συγχωρεῖ τοὺς ἐχθροὺς καὶ δὴ καὶ εὔχεται ὑπὲρ αὐτῶν· ἀγαπᾷ αὐτούς, ἀποδίδωσιν αὐτοῖς καλὸν ἀντὶ κακοῦ (Ματθ. ε', 44). Ὁ ἀληθὴς χριστιανὸς πάντοτε εὐαρεστεῖται τῷ αὐτοῦ κλήρῳ, οἷος ἂν τις ᾖ· καὶ ἐν τούτῳ δὴ δύναται ἡ ἀληθὴς ἐπὶ τῆς γῆς εὐτυχία ὑπάρχειν.

2. Ἡ ἁγία πίστις τὴν ἀληθῆ εἰσάγει εὐτυχίαν καὶ εἰς τοὺς κόλπους τῶν οἴκων. Ὡς πρὸς τοῦτο δὲ τὸ ὑπ' αὐτῆς γινόμενον πρὸς εὐτυχίαν τοῦ ἀνθρώπου ἀνεκτίμητόν ἐστιν. Αὕτη γὰρ α'. ἀπηγόρευσε τοῖς αὐτῇ ἑπομένοις τὴν πολυγαμίαν, καὶ ἔδειξε τὴν ἀληθῆ τῆς συζυγίας μορφήν, τ. ε. τὴν μονογαμίαν, ἐν ᾗ μόνῃ οἷαί εἰσι καὶ ἡ εἰλικρινὴς ἀγάπη καὶ ἡ συμφωνία ἐν τοῖς οἴκοις, καὶ ἡ ἀπόλαυσις πάντων τῶν ἠθικῶν σκοπῶν τοῦ συζυγικοῦ βίου. β'. Καθηγίασε τὸν γάμον μυστηριώδει ἱεροτελεστίᾳ, δι' ἧς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρέχονται τοῖς νυμφευομένοις αἱ τῆς χάριτος δυνάμεις πρὸς εὐλογημένην ἐν πνεύματι καθαρᾶς ἀγάπης συμβίωσιν, γέννησιν καὶ ἀγωγὴν τέκνων, καὶ ἡρμήνευσε τὴν πνευματικὴν σημασίαν τῆς συζυγίας, καλέσασα αὐτὴν τύπον τοῦ μυστηριώδους συνδέσμου τοῦ Χριστοῦ τῇ Ἐκκλησίᾳ (Ἐφ. ε', 29-33). γ'. Ἀπήλλαξε τὴν γυναῖκα τῆς καταφρονήσεως, ἥτις ἐπεβάρυνε τὸ γυναικεῖον φῦλον ἐν τοῖς ἐθνικοῖς, καὶ ἀπέδωκεν αὐτῇ ἐν τοῖς ὀφθαλμοῖς τοῦ ἀνδρὸς ἀνθρωπίνην ἀξίαν (Γαλ. γ', 28· α'. Κορ. ια', 12), ἄνευ δὲ τούτου ἀδύνατοι ἂν εἴησαν μεταξὺ αὐτῶν ἠθικὴ ἑνότης καὶ καθαρὰ ἀγάπη. δ'. Τὰς πρὸς ἀλλήλους ὥρισε κοινωνίας τῆς ἀγάπης καὶ εἰρήνης τοσοῦτον ἀκριβῶς, ὥστε ὁ ἀνὴρ καὶ ἡ γυνὴ σχηματίζουσιν οἱονεὶ ἓν σῶμα καὶ ἓν πνεῦμα ἐν Χριστῷ Ἰησοῦ (Ἐφ. ε', 22-33). Οὕτω δὲ ὥρισεν, ἀνύψωσε καὶ ἐξευγένισε καὶ τὰς τῶν γονέων καὶ παίδων πρὸς ἀλλήλους κοινωνίας. Ἡ γὰρ φυσικὴ ἀγάπη πρὸς τὰ τέκνα ἔλαβεν ἐν τῷ Χριστιανισμῷ ὑψηλότερον χαρακτῆρα· ἤρξαντο γὰρ ἤδη θεωρεῖν τὰ τέκνα τοῦ Θεοῦ τέκνα καὶ μέλη τῆς οὐρανίου βασιλείας, διαδιδομένης ἐπὶ τῆς γῆς διὰ τῆς ὑπὸ τοῦ Θεοῦ εὐλογημένης συζυγίας. Καὶ τοῖς μὲν γονεῦσι καθήκει ἀνατρέφειν τὰ ἑαυτῶν τέκνα οὐ διὰ μόνην ταύτην τὴν ζωὴν οὐδὲ διὰ τὴν ἐπίγειον πατρίδα, ἀλλὰ μάλιστα διὰ τὴν αἰώνιον, διὰ τὴν οὐρανίαν πατρίδα (Ἐφ. ς', 4). Κατὰ τοῦτο δὲ καὶ ἡ φυσικὴ τῶν τέκνων πρὸς τοὺς γονεῖς ἀγάπη νέας ἔλαβε παραινέσεις καὶ ὑψηλότερον χαρακτῆρα. Καὶ γὰρ τὰ μὲν τέκνα ὑπείκειν ἤρξαντο τοῖς γονεῦσι καὶ ἀγαπᾶν ἤδη ἐν Κυρίῳ (Ἐφ. ς', 1), αὐτοῖς συνηνωμένα τῷ τε σαρκικῷ συνδέσμῳ καὶ τῷ πνευματικῷ ἐν Χριστῷ Ἰησοῦ. Οὕτως οὖν ἐν τοῖς Χριστιανοῖς ὁ οἰκογενειακὸς βίος ἱερὸν ἐγένετο ἁγνοτάτης ἀγάπης, πάντα τὰ τοῦ οἴκου μέλη συνδεούσης, ἱερὸν εἰρήνης καὶ εὐτυχίας. Καὶ οἱ ἀληθῶς χριστιανικοὶ οἶκοι ἀδιστάκτως οἱ εὐτυχέστατοί εἰσιν.

3. Οὐδὲν δύναται εὐεργετικώτερον εἶναι τῆς κοινωνίας, ἣν ἡ ἁγία τοῦ Χριστοῦ θρησκεία ἔχει, πρὸς ὅλας πολιτικὰς κοινωνίας καὶ ἡγεμονίας. Αὕτη γὰρ ὥρισεν, ἀνύψωσε καὶ καθηγίασε τὴν τῶν βασιλέων πρὸς ἀλλήλους κοινωνίαν, ἢ καθόλου τῆς κυβερνήσεως καὶ τῶν ὑπηκόων. Καὶ τούτοις μὲν ἐνετείλατο· „τὸν βασιλέα τιμᾶτε (α'. Πέτρ. β', 17), ἀπόδοτε τὰ Καίσαρος Καίσαρι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Ματθ. κβ', 21), ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις (α'. Πέτρ. β', 13, 14)". Διὰ τί δέ; „Οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ, αἱ δὲ οὖσαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσί (Ῥωμ. ιγ', 1)"· ἕκαστος γὰρ ἄρχων „Θεοῦ διάκονός ἐστι σοὶ εἰς τὸ ἀγαθόν", ἐπίτροπός ἐστιν ἐπὶ τῆς γῆς τῆς τε ἐλεούσης καὶ τῆς κολαζούσης Προνοίας, δεινὸς „ἔκδικος τῷ πράσσοντι τὸ κακὸν (-4)· ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται (-2)". Πρὸς τοῖσδε ἐντέλλεται τοῖς ὑπηκόοις, „ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν (-5), μετ' εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις (Ἐφ. ς', 7)"· ἀνάγκη ὑποτάσσεσθαι „τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς· τοῦτο γὰρ χάρις τῷ Θεῷ (α'. Πέτρ. β', 18, 19)", καὶ ὅτι τὴν πρώτην εὐχὴν τῶν ὑπηκόων δεῖ εἶναι „ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων (α'. Τιμ, β', 1-3)". Τοῖς δ' ἄρχουσι τῆς γῆς ἐνέπνευσεν αἰσθήματα πρὸς τοὺς ὑπηκόους τοιαῦτα, οἷα οὐ προήδεσαν, τὰ τῆς δικαιοσύνης, πρᾳότητος, ἐπιεικείας καὶ ἀγάπης. Ἀνήγγειλε γὰρ αὐτοῖς, ὅτι καὶ οἱ ὑπήκοοι αὐτῶν εἰσιν ἄνθρωποι, οἷοι καὶ αὐτοί, ἐξ ἑνὸς κοινοῦ πᾶσι προπάτορος τοῦ Ἀδὰμ τὸ γένος ἕλκοντες (Πράξ. ιζ', 26)· τέκνα εἰσὶν ἑνὸς καὶ τοῦ αὐτοῦ σὺν αὐτοῖς οὐρανίου πατρός (Ματθ. ε', 48· ς', 8), ἀδελφοὶ αὐτῶν ἐν Χριστῷ Ἰησοῦ (Κολ. γ', 11), ὑπὲρ ὧν ἀπέθανεν ὁ Χριστός (α'. Κορ. η', 11)· μέτοχοί εἰσι τῆς θείας φύσεως (β'. Πέτρ. α', 4), „προωρισμένοι καθίσαι ποτὲ μετὰ τοῦ Σωτῆρος αὐτῶν ἐν τῷ οὐρανίῳ θρόνῳ (Ἀποκ. γ', 21)", καὶ ὅτι καὶ τῶν ἀρχόντων αὐτῶν τῆς γῆς, ὡς καὶ τῶν ὑπηκόων αὐτῶν „ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ (Ἐφ. ς', 9)". Πρὸς δὲ ἄριστα ὥρισεν, ἀνύψωσε καὶ ἐνίσχυσε τὴν κοινωνίαν τῶν ὑπηκόων πρὸς ἀλλήλους, ὥσπερ μέλη ἑνὸς μεγάλου πολιτικοῦ σώματος. Καὶ τοῦτο ἐποίησε μάλιστα ταῖς δυσὶν αὐτῆς ἐντολαῖς τῆς αὐταπαρνήσεως καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης. Καὶ δι' ἐκείνης μέν, ἥτις ἐπιτάσσει τοὺς χριστιανοὺς τὴν ἐν ἑαυτοῖς φιλαυτίαν ἐκριζῶσαι καὶ πάντα τὰ πάθη ἀνασταυροῦν, τὴν

κυριωτάτην διακόπτει πηγὴν τῶν παντοίων τοῦ κοινοῦ βίου κακῶν· διὰ ταύτης δὲ ἀποκαλύπτει μεγίστην τῶν ἀγαθῶν πηγὴν διὰ ταύτην τὴν ζωήν· οἱ γὰρ ἀληθῶς ἀγαπῶντες τὸν πλησίον οὐ δι' ἑαυτοὺς ζῶσιν, ἀλλὰ διὰ τοὺς ἄλλους, καὶ ἕτοιμοί εἰσιν ὑπὲρ αὐτῶν θῦσαι πάντα, καὶ ἐν ἀνάγκῃ θεῖναι ὑπὲρ τῶν φίλων αὐτὴν τὴν αὐτῶν ψυχήν. Αὗται αἱ δύο ἐντολαί, ἐξοικειωθεῖσαι ὑπὸ τῶν μελῶν τῆς κοινότητος, φύσει αὐτὰ παροτρύνουσι πάσας φέρειν τὰς ἡγεμονικὰς ὑποχρεώσεις, ὡς ἀναγκαίας τῷ κοινῷ καλῷ, ἐκπληροῦν πάσας τὰς πολιτικὰς διατάξεις, πρὸς τοῦτο τὸ τέλος τεινούσας, παντοειδεῖς ποιεῖν θυσίας τοῖς πένησι, πάσχουσι, πρεσβυτέροις, χήραις καὶ ὀρφανοῖς, διαμονητήρια αὐτοῖς κτίζειν κλπ. Ὁ ἀληθὴς χριστιανός, ἐμψυχούμενος ὑπὸ τῆς αὐταπαρνήσεως καὶ ἀγάπης πρὸς τὸν πλησίον, ὁ ἄριστός ἐστι πολίτης ἐν οἱαδήποτ' ἂν ᾖ τάξει, ἤτοι ἄρχων ἢ ἢ τεχνίτης, πολεμικὸς ἢ ἐργατικός· αὐτὸς γὰρ πάντα τὰ καθήκοντα τῆς κλήσεως αὐτοῦ ἀσμενέστατα ἐκτελεῖ, διευθύνων εἶτα πάντα πρὸς τὸ κοινὸν καλόν. Καθόλου δέ, εἰ πάντα τὰ μέλη κράτους τινὸς ἀληθεῖς ἐγένοντο χριστιανοί, τ. ε. ὑπὸ τῆς χριστιανικῆς ἐφέροντο αὐταπαρνήσεως καὶ ἀγάπης, τὸ ἐπίγειον τοῦτο βασίλειον ὅμοιόν τι φανείη ἂν τῇ οὐρανίῳ βασιλείᾳ, βασίλειον ἐνδελεχοῦς ἐσωτερικῆς εἰρήνης καὶ παγκοίνου ἀδελφικῆς ἀγάπης, βασίλειον, ἐν ᾧ πάντες ἂν οἱ πολῖται ἀποτελοῖεν γνησίως ἓν σῶμα καὶ ἓν πνεῦμα. Ἀλλ' ὅμως μὴ ἐπιλαθώμεθα, ὅτι ἀμφοτέρας τὰς ἀρετὰς ταύτας, τ. ε. τὴν αὐταπάρνησιν καὶ ἀγάπην τοσούτῳ ἀναγκαίας τῷ ἀληθεῖ ἀγαθῷ τῶν λαῶν, ἀνατρέφειν δύναται ἐν τοῖς ἀνθρώποις μόνος ὁ χριστιανισμός.

## Β'.

## Ἐξωτερικοὶ χαρακτῆρες τοῦ θείου τῆς ἀποκαλύψεως τῆς καινῆς Διαθήκης.

### §. 95. *Περὶ τῶν μερῶν καὶ τοῦ ὁρισμοῦ τῆς ὑποθέσεως.*

Ἄπειροί εἰσιν οἱ ἐξωτερικοὶ χαρακτῆρες εἴτε ἀποδείξεις τοῦ θείου τῆς ἀποκαλύψεως τῆς καινῆς Διαθήκης. Ὑπ' αὐτῶν γὰρ πεπλήρωται 1. ἡ Χριστοῦ τοῦ Σωτῆρος ἱστορία, 2. ἡ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκκλησίας αὐτοῦ πάσης. Ἀλλ᾽ ἡμεῖς περιοριζόμεθα μόνους τοὺς κυριωτέρους αὐτῶν δεῖξαι·

## 1. Χαρακτῆρες ἐκ τῆς ἱστορίας Χριστοῦ τοῦ Σωτῆρος.

### §. 96. Ἀπαρίθμησις αὐτῶν.

Ἡ ἱστορία τοῦ ἐπιγείου τοῦ Σωτῆρος βίου, παρέχει ἀμέσως μὲν ἀποδείξεις τῆς ἀληθείας, ὅτι ὁ ἀληθὴς ἐστι Μεσσίας καὶ ὁ ἀληθὴς Υἱὸς τοῦ Θεοῦ, ὥσπερ αὐτὸς περὶ ἑαυτοῦ πολλάκις ἐμαρτύρησεν (Ἰωάν. ς′, 38-40· ζ′, 28· ι′, 30· ιζ′, 5 κλπ.), ἐμμέσως δὲ καὶ τῆς δε, ὅτι ἡ ὑπ᾽ αὐτοῦ προσενεχθεῖσα ἐπὶ τῆς γῆς θρησκεία θεία ἐστίν (Ἰωάν. ζ′, 16, 17· η′, 26-28). Τοιαῦται δ᾽ ἀποδείξεις εἰσὶ α′. αὐτὸς ὁ χρόνος καὶ αἱ περιστάσεις τῆς ἐπὶ τῆς γῆς ἐλεύσεως Χριστοῦ τοῦ Σωτῆρος· β′. ὁ αὐτοῦ χαρακτήρ, γ′. τὰ θαύματα, δ′. αἱ προφητεῖαι, ε′. εἰδικῶς ἡ ἀνάστασις, ὥσπερ μέγιστον τῶν θαυμάτων καὶ τῶν προφητειῶν αὐτοῦ.

### §. 97. Περὶ τοῦ χρόνου καὶ τῶν περιστάσσεων τῆς ἐπὶ γῆς τοῦ Ἰησοῦ Χριστοῦ ἐλεύσεως.

I. Ὁ χρόνος της ἐπὶ γῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριστοῦ ἐγένετο ῥητῶς τότε, ὅτε καὶ ἔδει τῷ Μεσσίᾳ ἐλθεῖν κατὰ τὰς ἀρχαίας προφητείας, καὶ ὅτε οἵ τε Ἰουδαῖοι καὶ οἱ ἐθνικοὶ αὐτὸν προσεδόκων.

Καὶ τὴν μὲν ὀρθότητα τῆς πρώτης ἐννοίας ἀνωτέρω εἴδομεν, αὐτὰς τὰς προφητείας θεωροῦντες, τ. ε. τὴν τοῦ Ἰακὼβ περὶ τῆς μὴ ἐκλείψεως ἄρχοντος ἐξ Ἰούδα, καὶ τὴν τοῦ Δανιὴλ περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων, αἵτινες μετὰ πάσης θαυμαστῆς ἀκριβείας ἐξεπληρώθησαν ἐπὶ τοῦ Σωτῆρος ἡμῶν. Εἰς στήριξιν δὲ τῆς δευτέρας, περὶ ἧς οὐχ ἅπαξ εἴρηται, παραθήσομεν ἐνταῦθα πληρεστέρας ἀποδείξεις.

Καὶ πρῶτον περὶ τῶν Ἰουδαίων. Οὗτοι δ᾽ ὄντως προσεδόκων τότε τὴν ἐμφάνισιν τοῦ Μεσσίου, ὅπερ ἐκ τῆς εὐαγγελικῆς ἱστορίας γινώσκομεν, ἐκ τῆς μαρτυρίας Ἰωσήπου τοῦ Φλαβίου καὶ τῆς ὁμολογίας τῶν μεταγενεστέρων ἰουδαίων Ῥαββίνων· Καὶ τὸ μὲν Εὐαγγέλιον εἰς στήριξιν τούτου παρέχει συμβάματά τινα· π. χ. α′. ἅμα ἐφάνη Ἰωάννης ὁ βαπτιστὴς παρὰ τὸν Ἰορδάνην

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κηρύσσων, πρὸς αὐτὸν ἔπεμψαν οἱ συμπολῖται αὐτοῦ ἐρωτῆσαι· μὴ αὐτὸς εἴη ὁ Χριστός (Ἰωάν. α', 19-27)· β'. ὅτε ὁ Ἰωάννης ἀπεκρίνατο οὐχί, καὶ ἑαυτὸν μόνον τοῦ Μεσσίου πρόδρομον καλῶν, ἤρξατο κηρύσσων· „Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ..., ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου (Ματθ. γ', 2· Μάρκ. α', 7)", πάντες ἐπίστευσαν τῷ κηρύγματι τούτῳ, „καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται πάντες· καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν (Μάρκ. α', 5)". γ'. ὅτε οἱ μάγοι, ὑπὸ τοῦ θαυματικοῦ ὁδηγούμενοι ἀστέρος, ἦλθον εἰς Ἱερουσαλὴμ καὶ ἠρώτησαν, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων, μόνη ἡ ἐρώτησις αὐτῶν ἐτάραξε πᾶσαν τὴν Ἱερουσαλὴμ (Ματθ. β', 3)· δ'. ὅτε τὸν Σωτῆρα, ἔτι βρέφος ὄντα, κατὰ τὸν Μωσαϊκὸν νόμον ἔφερον εἰς τὸν ναὸν „παραστῆσαι τῷ Κυρίῳ, ἐδέξατο αὐτὸν ἐνταῦθα ὁ πρεσβύτης Συμεών, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ (Λουκ. β', 25)", καὶ ἡ προφῆτις Ἄννα „ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλὴμ (-38)". Ἰώσηπος δὲ ὁ Φλάβιος διηγεῖται, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον πολλοὶ ἐφαίνοντο ἀπατεῶνες, τὸν Μεσσίαν ἐπαγελλόμενοι, καὶ ἀεὶ ἐπέσυρον πρὸς ἑαυτοὺς τὰ πλήθη τοῦ λαοῦ[220]· καὶ τοῦτο βεβαιοῖ, ὅτι καὶ οἱ ἀπατεῶνες καὶ οἱ ἀπατώμενοι ἐπίσης ἐπεπείθεσαν, ὅτι ἐπέκειτο τέλος ὁ χρόνος τῆς ἐλεύσεως τοῦ ἀληθοῦς Μεσσίου. Ἐκ δὲ τῶν μεταγενεστέρων ῥαββίνων ὁ Μανασσίας π. χ. σαφῶς λέγει, ὅτι πάντες οἱ Ἰουδαῖοι (τ. ε. οἱ πλησιέστατοι τοῖς τοῦ Σωτῆρος χρόνοις), τὰ ὅπλα κατὰ τῶν Ῥωμαίων λαβόντες ἐπὶ Οὐεσπεσιανοῦ καὶ Τίτου, σταθερῶς ἦσαν πεπεισμένοι, ὅτι αἱ ἑβδομάδες τοῦ Δανιήλ, τὴν ἔλευσιν τοῦ Μεσσίου δεικνύουσαι, ἐξεπληρώθησαν ἤδη, καὶ ὅτι δεῖ τῷ Μεσσίᾳ φανῆναι[221].

Ἀξιόπιστον δέ ἐστιν, ὅτι ἦν τότε ὁμοία προσδοκία καὶ ἐν τοῖς ἐθνικοῖς. Ὁ γὰρ σύγχρονος ἱστορικὸς Τάκιτος, ἐκτιθεὶς τὴν ἱστορίαν τοῦ Ἰουδαϊκοῦ πολέμου, γράφει· „πολλοὶ ἐπίστευσαν

---

220 Περὶ τοῦ Ἰουδ. πολέμ. γ'. κεφ. η', §. 9· ς'. κεφ. ι', §. 7.

221 Libr. de termino vitae pag. 175, παράβ. σημ. 180.

ταῖς ἀρχαίαις μαρτυρίαις τῶν θυτῶν, ὅτι κατὰ τοῦτον τὸν χρόνον ἡ ἀνατολὴ νέας κτήσεται δυνάμεις, καὶ οἱ ἐξ Ἰουδαίας ἐλευσόμενοι ἄρχοντες τοῦ κόσμου γενήσονται"[222]. Ἰσχυρώτερον δὲ περὶ τούτου ἐκφράζεται ὁ Σουητώνιος, καίπερ ταῖς αὐταῖς σχεδὸν λέξεσιν· „Ἐν πάσῃ τῇ ἀνατολῇ διεδόθη ἀρχαία καὶ ἀέναος γνώμη, ὅτι δῆθεν προώρισται, ὅτι κατὰ τὸν χρόνον τοῦτον οἱ ἐξ Ἰουδαίας ἐλευσόμενοι ἄρχοντες τοῦ κόσμου γενήσονται"[223]. Ταὐτὸ δὲ ἐπαναλαμβάνουσι καὶ δύο σύγχρονοι Φίλων[224] καὶ Φλάβιος[225] καὶ ὁ τοῦ β'. αἰῶνος συγγραφεὺς Ἡγήσιππος[226]. Εἰδικῶς δὲ ἀξιόπιστόν ἐστι α', ὅτι ἦν τότε ἡ πάγκοινος αὕτη προσδοκία μεγάλου τινὸς βασιλέως παρὰ Ῥωμαίοις, καὶ ἰσχυρῶς ἐπησχόλει πάντας, καὶ πολλοὶ φιλόδοξοι ἐπειρῶντο πρὸς τοὺς ἑαυτῶν σκοποὺς τούτου ὠφελήσασθαι· „ἐπὶ τῆς προσδοκίας ταύτης βασιζόμενος, λέγει ὁ Σαλλούστιος, ὁ Λέντουλλος συνεμίγη τῇ συνωμοσίᾳ τοῦ Κατιλίνα, καὶ κενοδόξως ἐστήριζεν, ὅτι τῷ προῤῥηθέντι βασιλεῖ φανῆναι δεῖ ἐκ τοῦ οἴκου τῶν Κορνηλίων"[227]· β', ἀκριβέστερον καὶ μᾶλλον ὡρισμένον ἦν παρὰ Πέρσαις, ὥσπερ δείκνυσιν ἡ ὁδοιπορία τῶν μάγων ἐξ ἀνατολῆς, καὶ ῥητῶς ἐκ Περσίας[228], προσκυνῆσαι τῷ γεννηθέντι Ἰησοῦ (Ματθ. β', 1)· γ', καὶ ἐν τῇ ἀπομεμακρυσμένῃ Κίνᾳ ἦν, διό, κατὰ τὴν μαρτυρίαν τῶν ἐκεῖ ἱστορικῶν, 65 ἔτη μετὰ τὴν γέννησιν τοῦ Χριστοῦ ὁ τῆς Κίνας αὐτοκράτωρ ἔπεμψεν ἐπίτηδες πρεσβείαν εἰς Παλαιστίνην μαθεῖν, εἰ ὄντως ὁ μέγας τοῦ οὐρανοῦ Ἀπόστολος ἐφάνη[229]. Ἡ προσδοκία αὕτη, τοσούτῳ σταθερὰ καὶ πάγ-

---

[222] Histor. libr. V. cap. 13.

[223] Vita Vespasiani cap. 4.

[224] Τόμ. β', σελ. 449, 899, 435, ἐκδ. Mangeq.

[225] Περὶ τοῦ Ἰουδ. πολ. Γ', κεφ. κη' · δ'. κεφ. λα'.

[226] Περὶ κατασκαφῆς τῆς Ἱερουσ. βιβλ. ε', κεφ. μδ'.

[227] Sallust. in Catelin. Confer. Ciceronis orat. III. in Catel. pag. 692, 996, edit. Graevii.

[228] Βλ. ἄρθρ. περὶ τῶν προσελθόντων μάγων τῷ Ἰησοῦ Χριστῷ προσκυνῆσαι· Χριστ. Ἀναγν. 1831 XLIV.

[229] Βλ. Geschichte der Religion Jesu Christi von Stolberg. Th. 1, Beil. 5. Spuren früherer Ueberlieferung ... bei den Völkern, S. 395. Wien 1817.

κοινος τότε παρ' αὐτοῖς τοῖς ἐθνικοῖς, νέα ἐστὶν ἀπόδειξις, ὅτι τοσούτῳ μᾶλλον ὑπῆρχε τότε παρὰ τοῖς Ἰουδαίοις· καὶ γὰρ πρὸς τοὺς ἐθνικοὺς οὐκ ἠδύνατο αὕτη ἄλλως μεταβῆναι ἢ μόνον ἀπὸ τῶν Ἰουδαίων. Πρὸς ἐξήγησιν δὲ τοῦ δυνατοῦ μεταβῆναι μεμνῆσθαι ἀρκεῖ, α', τῆς προγενομένης τῶν Ἰουδαίων διασπορᾶς εἰς διαφόρους τοῦ κόσμου χώρας, εἰς Βαβυλῶνα, Περσίαν, Μηδίαν, Συρίαν, Φοινίκην, Αἴγυπτον[230], Ἰνδίας[231] Κίναν[232] καί, ὥσπερ εἰκάζουσιν, εἰς Ἀμερικήν[233]· β', τῆς μεταφράσεως τῆς ἁγίας Γραφῆς εἰς τὴν ἑλληνικὴν γλῶσσαν, ὑπὲρ τὰς δύο ἑκατονταετηρίδας πρὸ τῆς γεννήσεως τοῦ Σωτῆρος γενομένης, καὶ μετελθούσης ἔκτοτε εἰς χεῖρας τῶν λογίων ἐθνικῶν. Ἀμφότερα δὲ τὰ γεγονότα ταῦτα ἀδιστάκτως αὐτὴ ἡ Πρόνοια ᾠκονόμησεν, ἵνα δι' αὐτῶν πρὸ τῆς τοῦ Μεσσίου ἐλεύσεως πάντας παρασκευάσῃ πρὸς ὑποδοχὴν αὐτοῦ· καὶ ἰδοὺ ὄντως, ὅτε φανῆναι τὸν Χριστὸν ἔδει, Ἰουδαῖοί τε καὶ ἐθνικοὶ προσεδόκων αὐτόν.

II. Ἀλλ' ὅμως, ὡς ὁ χρόνος τῆς ἐλεύσεως τοῦ Σωτῆρος ἡμῶν, εἰς ἐποχὴν συμβὰς τῆς παγκοίνου προσδοκίας τοῦ ἀληθοῦς Μεσσίου, καίτοι λίαν ἰσχυρῶς, ἀλλ' ἀορίστως ἔτι ἔλεγε περὶ τῆς θείας τοῦ Ἰησοῦ Χριστοῦ ἀποστολῆς, ἔκτακτα συμβάματα, γενόμενα κατὰ τὴν γέννησιν αὐτοῦ, σαφῶς ἤδη ἐμαρτύρουν, ὅτι ἐξ ἁπάντων τῶν τότε γεννηθέντων, αὐτὸς ῥητῶς ἐστιν ὁ ἔκπαλαι ἐπαγγελθεὶς Μεσσίας. Τούτων δὲ τὰ μὲν ἐγένοντο πρὸ τῆς γεννήσεως Χριστοῦ τοῦ Σωτῆρος, τὰ δὲ τούτοις παρηκολούθησαν.

Προηγηθέντα συμβάματα· χρόνον τινὰ πρὸ τῆς Χριστοῦ γεννήσεως πρὸς εὐσεβῆ τινα ἰουδαῖον ἱερέα, ὀνόματι Ζαχαρίαν, ἐφάνη ἐν τῷ Ἱεροσολυμιτικῷ ναῷ ὁ ἀρχάγγελος Γαβριὴλ ἀναγ-

---

[230] Διάγραμ. τῆς ἐκκλησιαστ. τῶν Βιβλίων Ἱστορίας, σελ. 430. Πετρούπ. 1827.

[231] Buchanan. Christian. researches, mémoire de Vansittart sur Afghans...

[232] Essai sur les Juifs de la Chine et sur l'influence, qu' ils ont eu sur la littérature de ce vaste empire avant l'ère Chrétienne, — par l'abbé Sionnet.

[233] Allgemeine Zeitung des Judenthums, 1. Jahrgang, S. 207 καὶ ἑπόμ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γελῶν, ὅτι ἐξ αὐτοῦ (τοῦ Ζαχαρίου), καίπερ προβεβηκότος τῇ ἡλικίᾳ, καὶ τῆς προβεβηκυίας ἐπίσης συζύγου αὐτοῦ καὶ στείρας Ἐλισάβετ, γεννηθήσεται υἱὸς Ἰωάννης, ὃς πρόδρομος τοῦ Μεσσίου ἔσται. Ἀλλ' ὁ μὲν Ζαχαρίας τὴν αὐτοῦ ἀπιστίαν ἐξεφράσατο πρὸς τὴν θαυματικὴν πρόῤῥησιν τοῦ ἀρχαγγέλου· διὸ ἄφωνος ἐγένετο μέχρι τῆς ἡμέρας τῆς ἐκπληρώσεως ταύτης τῆς προῤῥήσεως· ἡ δὲ ἁγία Ἐλισάβετ ὄντως συνέλαβεν ἐν τῇ κοιλίᾳ αὐτῆς (Λουκ. α', 5-25).

Μετὰ ἓξ μῆνας ἀπεστάλη ὑπὸ τοῦ Θεοῦ ὁ αὐτὸς ἀρχάγγελος εἰς τὴν πόλιν τῆς Γαλιλαίας Ναζαρὲτ πρὸς τὴν πανάμωμον παρθένον Μαρίαν, καὶ εὐηγγελίσατο αὐτῇ, ὅτι ἐξ αὐτῆς συλληφθήσεται καὶ γεννηθήσεται ὑπερφυσικῶς αὐτὸς ὁ Μεσσίας, ὁ υἱὸς τοῦ Θεοῦ. Ἡ ἁγία Παρθένος ἐπίστευσε τούτῳ, καὶ διαμένουσα παρθένος συνέλαβεν ἐν τῇ γαστρὶ αὐτῆς ἐκ Πνεύματος Ἁγίου (-26-38).

Ἐπισκεψαμένης δὲ ταχέως μετὰ τοῦτο τῆς Μαρίας τὴν Ἐλισάβετ, αὕτη μὲν ᾔσθετο τῆς σκιρτήσεως τοῦ βρέφους ἐν τῇ κοιλίᾳ αὐτῆς, καί, Πνεύματος ἁγίου πλησθεῖσα, μητέρα τοῦ Κυρίου τὴν Μαρίαν ὡμολόγησε, καὶ τὴν πίστιν αὐτῆς ἐμακάρισεν. Ἡ δὲ παναγία παρθένος Μαρία, ἀκούσασα τοῦ ἀσπασμοῦ τούτου, ἐξέχεε τὴν ψυχὴν αὐτῆς ἐν τῇ πρὸς τὸν Θεὸν χαροποιᾷ ᾠδῇ, ἐν ᾗ ἐδόξασε τὸ μεγαλεῖον τῶν εὐεργεσιῶν αὐτοῦ πρός τε ἑαυτὴν καὶ πρὸς ἅπαντα τὸν Ἰσραήλ, καὶ τὴν μέλλουσαν αὐτῆς προεῖπε δόξαν (39-56).

Ὅτε δὲ ἡ δικαία Ἐλισάβετ ἐγέννησεν, ὁ ἀνὴρ αὐτῆς Ζαχαρίας τὴν ἡμέραν τῆς περιτομῆς τοῦ παιδίου, πάντων θαυμαζόντων, ἀπηλλάγη τῆς ἀφωνίας, καί, πλησθεὶς Πνεύματος ἁγίου, ἐδόξασε τὸν Θεὸν τοῦ Ἰσραὴλ διὰ τὴν ἐκπλήρωσιν τῶν ἀρχαίων περὶ τοῦ Μεσσίου ἐπαγγελιῶν, καὶ προεφήτευσε τὸ ἔργον καὶ τοὺς ἀγῶνας τοῦ υἱοῦ (59-79).

Ἰδοὺ τέλος ἐπῆλθεν ὁ χρόνος τῆς γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ, ᾧ κατὰ τὴν προφητείαν ἐν Βηθλεὲμ γενέσθαι ἔδει (Μιχ. ε', 2). ἀλλ. ἡ ἁγία Παρθένος ἔτι διῆγεν ἐν Ναζαρέτ, ἀενάῳ αὐτῆς διαμονῇ. Τί δὲ ἡ Πρόνοια οἰκονομεῖ; κατ' αὐτὸν τοῦτον τὸν χρόνον ὁ ῥωμαῖος Καῖσαρ Τιβέριος προσέταξε γενικὴν τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λαοῦ ἀπογραφήν, καὶ τῇ Μαρίᾳ σὺν τῷ μνηστῆρι αὐτῆς Ἰωσὴφ ἐχρῆν τούτου ἕνεκα εἰς τὴν πάτριον πορευθῆναι χώραν Βηθλεέμ· ἔρχεται οὖν καὶ ἐνταῦθα γεννᾷ τὸν Υἱόν (Λουκ. β', 1-8).

Ἐπακόλουθα συμβάματα. Μόλις τοῦ Χριστοῦ γεννηθέντος, ἄγγελος Κυρίου νυκτὸς ἐφάνη τοῖς ἐκ Βηθλεὲμ ποιμέσι, φυλάσσουσι τὴν ποίμνην αὐτῶν, καὶ ἄηθες φῶς περιέλαμψεν αὐτούς. Ἤκουσαν δὲ παρὰ τοῦ ἀγγέλου τὴν γέννησιν τοῦ Σωτῆρος ἐν τῇ πόλει Δαυΐδ, ἐδιδάχθησαν, πῶς εὑρεῖν τὸ θεῖον Βρέφος, καὶ ἐξαίφνης εἶδον πλῆθος στρατιᾶς οὐρανίου αἰνούσης τὸν Θεόν, καὶ λεγούσης. „Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία (Λουκ. β', 8-14)“.

Οἱ δὲ ἀπὸ τῆς ἀπομεμακρυσμένης ἀνατολῆς μάγοι, ὑπὸ θαυματικοῦ ὁδηγούμενοι ἀστέρος, ἔρχονται εἰς Βηθλεὲμ προσκυνῆσαι τῷ ἐν φάτνῃ γεννηθέντι βασιλεῖ τῶν Ἰουδαίων, καὶ προσφέρουσιν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν (Ματ. β', 1-12).

Ὅτε δὲ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ, καὶ τὸ παιδίον Ἰησοῦν κατὰ τὸν νόμον Μωϋσέως προσήγαγον εἰς τὸν ναὸν παραστῆσαι τῷ Κυρίῳ, κατ' ἔμπνευσιν ἐκ Πνεύματος ἦλθεν εἰς τὴν Ἐκκλησίαν καὶ ὁ πρεσβύτης Συμεών, ὃς ἠξιώσατο δέξασθαι εἰς τὰς ἀγκάλας αὐτοῦ τὸν ἐπαγγελθέντα Λυτρωτήν, καὶ ὡμολόγησεν αὐτὸν Σωτῆρα τῶν ἐθνῶν καὶ δόξαν τοῦ Ἰσραήλ, προφητεύσας καὶ περὶ αὐτοῦ καὶ τῆς μητρός. Καὶ ἐκεῖ τυχοῦσα ἡ προφῆτις Ἄννα, θυγάτηρ τοῦ Φανουήλ, ἐδόξασε τὸ παιδίον Ἰησοῦν, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσεδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλὴμ (Λουκ. β', 22-38).

Μετὰ ταῦτα ταχὺ παρηκολούθησε διττὴ ἐμφάνισις τοῦ ἀγγέλου πρὸς τὸν Ἰωσήφ. Καὶ τὸ μὲν πρῶτον διὰ τὸ διαλογίζεσθαι τὸν Ἡρώδην φονεῦσαι τὸ παιδίον Ἰησοῦν, διέταξεν ὁ ἄγγελος τὸν Ἰωσὴφ παραλαβεῖν αὐτὸ καὶ τὴν μητέρα καὶ φεύγειν εἰς Αἴγυπτον· τὸ δὲ δεύτερον μετὰ τὸν θάνατον τοῦ Ἡρώδου, τοῦ κινδύνου ἐκλιπόντος, ὁ οὐράνιος ἄγγελος ἔδειξε τῷ ἁγίῳ οἴκῳ εἰς τὴν πάτριον ἐπιστρέψαι χώραν (Ματθ. β', 13-23).

Κατ' αὐτὴν οὖν τὴν εἴσοδον τοῦ Ἰησοῦ Χριστοῦ εἰς τὸν κόσμον, πάντα ἤδη προανήγγελλον αὐτὸν σπάνιον τοῦ Θεοῦ Ἀπό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στολον, ἀληθῆ Μεσσίαν. Ἐφάνη δὲ περικεκυκλωμένος σημείοις καὶ θαύμασιν, ἐν οἷς ἀδύνατον μὴ ἐπιγνῶναι τὸν ἴδιον τοῦ Θεοῦ δάκτυλον. Ἐὰν οὖν νῦν παρατηρήσωμεν αὐτὸν τὸν βίον τοῦ Σωτῆρος ἡμῶν, πεισόμεθα, ὅτι αἱ προαγγελίαι αὗται ἐξεπληρώθησαν ἐν πάσῃ ἀκριβείᾳ.

§. 98. Χαρακτὴρ τοῦ Ἰησοῦ Χριστοῦ[234].

Καὶ πρῶτον ὁ βίος οὗτος παρίστησιν ἡμῖν ἐν τῷ ἡμετέρῳ Σωτῆρι ἀληθῶς θεῖον χαρακτῆρα, ᾧ ὅμοιον οὐκ οἶδεν ἡ ἱστορία.

1. Τὸ τέλος, πρὸς ὃ ἔτεινεν ὁ Κύριος Ἰησοῦς ἐν ἅπαντι τῷ αὐτοῦ βίῳ, καὶ ὃ ἔργον αὐτοῦ ἐκάλει (Ἰωάν. ιζ', 4), μέγιστον ἦν, μηδέποτε ἐν τῷ κόσμῳ ἀκουσθέν. Ὑπῆρξαν γὰρ ἄνθρωποι, πρόβλημα τοῦ αὐτῶν βίου θέντες τὴν ἐπιστήμης τινὸς εἴτε τέχνης μόρφωσιν· ἐφάνησαν νομοθέται καὶ σοφοί, οἵτινες ἠσχολοῦντο τὸν πολιτικὸν μορφῶσαι βίον πολιτείας τινός, μεταβαλεῖν καὶ βελτιῶσαι τὰς πίστεις λαοῦ τινος κτλ. Χριστὸς δ' ὁ Σωτὴρ ἐφάνη, ἵνα ἀνακαινίσῃ τὸ ἀνθρώπινον γένος, τῇ ἁμαρτίᾳ διεφθαρμένον, φωτίσῃ πάντας τοὺς ἀνθρώπους τῷ φωτὶ τῆς ἀληθοῦς θεογνωσίας (Ἰωάν. ιβ', 46· ιζ', 3), πάντας διδάξῃ τοὺς ἁμαρτωλοὺς τὴν ἁγνοτάτην ἠθικήν, καὶ ἁγίους ποιήσῃ (Ματθ. ε', ς', ζ',), ἐκ πάντων τῶν ἐπὶ γῆς οἰκούντων μίαν ποίμνην, μίαν θείαν βασιλείαν (Ἰωάν. ι', 16· Ματθ. δ', 17), εἶτα δὲ πάντας ἀναγάγῃ εἰς τὰς ἀϊδίους μονὰς τοῦ οὐρανίου Πατρὸς (Ματθ. κε' 34)· Πότε δ' ἐφάνη ἐν τῷ ἰουδαϊκῷ λαῷ, τοιαῦτα ἐν νῷ ἔχων; Ὅτε οὗτος, τὸν ἀληθῆ ἀπολέσας νοῦν τῶν θείων αὐτοῦ Γραφῶν, τὸν Μεσσίαν προσεδόκα ὡς ἐπίγειον πολεμιστὴν βασιλέα, προσοικοίου ἑαυτῷ μόνῳ πάσας τὰς θείας εὐλογίας, καὶ περιφρονητικῶς ἐθεώρει ἅπαντας τοὺς ἄλλους λαούς. Πόσον αὐτῷ Σωτῆρι ἡμῶν ἀνόμοιοι ἅπαντες οἱ τολμήσαντες τὸν Μεσσίαν

---

[234] 1, Χριστ. Ἀνάγ. 1841, 11, 108· περὶ τῆς θειότητος τῆς Χριστιανικῆς θρησκείας, ἐκ τοῦ ἱδρυτοῦ αὐτῆς δεικνυομένης· 2 Reflexions diverses sur Jésus-Christ, ou caractères divins de Jésus-Christ dans sa doctrine et dans ses oeuvres, par d'Aguesseu (Démonst. Evangel. tom. VIII. pag. 841).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπαγγείλασθαι περὶ τοῦτον τὸν χρόνον! Ἅπαντες γὰρ οὗτοι οὐ μόνον οὐκ ἀνυψοῦντο ὑπὲρ τῶν πλανῶν τῶν συναδέλφων Ἰουδαίων, ἀλλὰ προεθυμοῦντο καρποῦσθαι τὰς πλάνας ταύτας, ἐδήλουν ἑαυτοὺς ἐπιγείους ἄρχοντας τοῦ Ἰσραὴλ καὶ πολεμιστάς, μὴ νοοῦντες, πόσον ἀνάξιός ἐστι τῷ Μεσσίᾳ τοιαύτη ἀρχή, ἐπέσυρον τὰ πλήθη πρὸς ἑαυτούς, καὶ ταχέως ἀπατῶνες ἐξηλέγχοντο. Οὐχ οὕτως ἑαυτὸν παρεῖχεν ὁ Κύριος ἡμῶν· εὐθὺ γὰρ κατὰ τῶν δυσειδαιμονιῶν τοῦ λαοῦ αὐτοῦ κατευθύνατο, σκοπὸν ἐξελέξατο τοῦ Μεσσίου ἀξιώτατον, καὶ μέχρι τέλους πιστὸς αὐτῷ διέμεινε καίπερ μεγίστοις κωλύμασι, μεγίστῃ κακίᾳ καὶ ἀντενεργείᾳ τῶν ἐχθρῶν· ὑπέμεινεν ἕνεκα τοῦ σκοποῦ τούτου διαβολάς, λοιδωρίας, καταδιωγμούς· ἀπέθανε. Τίς οὖν ἐκ τούτου μόνου οὐ τὸν θεάνθρωπον ἐπιγινώσκει; Ἀλλὰ καὶ οἷς ἐχρήσατο τρόποις, ἵνα πρὸς ἑαυτὸν τοὺς ἀνθρώπους προσελκύσῃ, οὐχ ἧττον θαυμάσιοί εἰσιν, ὥσπερ καὶ αὐτὸς ὁ σκοπός. Τίνες δ' εἰσὶν οὗτοι οἱ τρόποι; πλοῦτος ἢ εὐτυχοῦς ἐπὶ τῆς γῆς βίου ἐπαγγελία; Ἀλλὰ καὶ αὐτὸς ἐν πενίᾳ ἐγεννήθη, καὶ καθ' ὅλην τὴν διάρκειαν τοῦ ἔργου αὐτοῦ οὐκ εἶχε καὶ „ποῦ τὴν κεφαλὴν κλῖναι (Ματθ. η', 20)", τοῖς δ' ὀπαδοῖς αὐτοῦ προήγγελλε μόνας λοιδωρίας, διωγμούς, τὸν θάνατον αὐτόν (Λουκ. ς', 22. Ἰωάν. ις', 2)· Ἢ ἡ ἐπίγειος σοφία καὶ ἡ μεγίστη ῥητορεία; Ἀλλ' αὐτὸς ἐξελέξατο πρὸς διάδοσιν τῆς αὐτοῦ διδασκαλίας ἀνθρώπους ἀγραμμάτους καὶ ἰδιώτας (πράξ. δ', 13), „τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά, καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ (α'. Κορ. α', 27, 28). ηὐδόκησε διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας (21)". Συγγνώμη τῇ αἰσθήσει καὶ τοῖς τοῦ ἀνθρώπου πάθεσιν; Ἀλλὰ πρώτη ἀπαίτησις αὐτοῦ παρὰ τῶν ὀπαδῶν ἡ αὐταπάρνησις ἦν, ἡ ἀπὸ τῶν παθῶν ἀποχή, καὶ αὐστηρά, ὁ εὐσεβὴς βίος. Πόσον ταῦτα ἀνώτερά εἰσι τῶν συνήθων τοῦ ἀνθρώπου λογισμῶν! Πόσον ἁγνοὶ καὶ ἀφιλοκερδεῖς οἱ τοῦ Ἰησοῦ σκοποί, καὶ πόσον ἄξιοι τοῦ θεανθρώπου! Τίς δ' ἂν τῶν ἰδιωτῶν θαῤῥήσειε τοιούτους ἐκλέξασθαι τρόπους

*πρὸς τοὺς ἑαυτοῦ σκοπούς, οἱ ἂν ὁρατῶς τάχιον ἀπομακρύνειαν ἀπ' αὐτοῦ;*

2. *Αἱ τοῦ Κυρίου Ἰησοῦ διανοητικαὶ ἰδιότητες ἐπίσης σαφῶς δεικνύουσιν αὐτὸν οἷος ἐπηγγέλλετο (Ἰωάν. γ', 17). Ἡ σοφία αὐτοῦ σπανία ἦν, οὐδόλως ἀνθρωπίνη· σπανία δ' ἦν, καὶ διότι πρὸς κτῆσιν αὐτῆς οὐδενὶ ἐχρήσατο τρόπῳ (Ἰωάν. ζ', 15), γεγεννημένος ἐν μεγίστῃ πενίᾳ (Λουκ. β', 7), καὶ τριάκοντα ἔτη διάγων βίον τέκτονος ἐν πόλει, πάσης παιδείας στερουμένῃ. „Πόθεν τούτῳ ἡ σοφία" αὕτη (Ματθ. ιγ', 54), ἀπορoῦντες ἠρώτων περὶ αὐτοῦ οἱ συμπολῖται, εὖ γινώσκοντες καὶ τὸ γένος καὶ τὴν παιδείαν αὐτοῦ, „πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς (Ἰωάν. ζ', 15)"; Σπανία ἦν, καὶ διότι φανερῶς ὑπερέβαινε τὴν ἡλικίαν αὐτοῦ (Λουκ. β', 52)· δωδεκαετὴς γὰρ ὢν ταῖς ἀποκρίσεσι καὶ τῇ συνέσει προσήγαγέ ποτε ἐν τῷ ναῷ αὐτοὺς τοὺς νομικοὺς τῶν Ἰουδαίων εἰς ἔκπληξιν καὶ θαυμασμόν (46-49). Σπανία δέ, καὶ διότι ὑπὲρ τὰς γνώσεις πάντων τῶν ἀνθρώπων ἀνυψοῦτο· καὶ γὰρ κατὰ τὴν πανηγυρικὴν αὐτοῦ διακονίαν ὁ Κύριος οὐχ ἅπαξ ἔδειξεν αὐτὴν οὕτως, ὥστε κοινὴν διήγειρε ἔκστασιν ἐν τοῖς ἀκροαταῖς αὐτοῦ (Ἰωάν. ζ', 49). Ἰδίως δὲ ἡ τοῦ Σωτῆρος σοφία σπανία ἦν, καὶ διότι ἐπεκτείνετο πρῶτον μὲν μέχρι τῆς γνώσεως τῶν καρδιῶν, μέχρι τῆς ἐντελοῦς γνώσεως τῶν κρυφιωτάτων ἀνθρωπίνων διαλογισμῶν καὶ σκοπῶν (Ἰωάν. α', 47· β', 25· Ματθ. ιβ', 25· Μάρκ. ιβ', 8· Λουκ. ιθ', 43· κβ', 34· Μάρκ. ιγ', 9 κλπ.)· ἀμφότερα δὲ ταῦτα τὰ χαρακτηριστικὰ τῆς γνώσεως τοιαῦτά εἰσιν, οἷα προσήκειν δύνανται μόνῳ τῷ Θεῷ κατὰ τοὺς ἰδίους αὐτοῦ λόγους (Ἱερεμ. ιζ', 9· Ἡσ. μδ', 7).*

3. *Αἱ δὲ ἠθικαὶ τοῦ Σωτῆρος ἰδιότητες παρέχουσιν ἡμῖν ἐν αὐτῷ τελειότατον τύπον ἁπασῶν τῶν ἀρετῶν. Πρῶτος γὰρ ἐν τῷ αὐτοῦ βίῳ ἔργῳ ἀπέδειξεν ὃ τοὺς ἄλλους ἐδίδαξε, καὶ ἡ Εὐαγγελικὴ ἠθικὴ ἔτι ἀνωτέρα φαίνεται ἐν τῷ ἰδίῳ αὐτοῦ παραδείγματι. Τί δ' ἂν βαθύτερον εἴη τῆς αὐταπαρνήσεως αὐτοῦ; Ἐκείνη ἡ ἀκτημοσύνη, ἧς ἕνεκα κατὰ πάντα τὸν χρόνον τῆς διακονίας αὐτοῦ οὐκ εἶχε καὶ „ποῦ τὴν κεφαλὴν κλῖναι (Ματθ. η', 20)", καὶ πρὸς ἐκπλήρωσιν τῶν ἀναγκαίων σωματικῶν χρειῶν ἔδει αὐτῷ ξέναις χρῆσθαι βοηθείαις (Λουκ. η', 1-3).*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκείνη ἡ ταπεινότης τοσοῦτον ἐπεκτεινομένη, ὥστε ἔπλυνε τοὺς πόδας τῶν ἰδίων μαθητῶν (Ἰωάν. ιγ', 4-15), καὶ ἀπέστη ἀπ' αὐτοῦ τοῦ βασιλικοῦ στέμματος, ὅν ποτε βίᾳ ἐπιθεῖναι ἐπ' αὐτὸν ἠβούλοντο οἱ Ἰουδαῖοι (ς', 15)· ἡ ἐκπληκτικὴ ἐκείνη πρᾳότης, ἀνέχεια καὶ μεγαλοψυχία, δι' ὧν ὑπέμενε τὰς διαβολὰς καὶ τοὺς διωγμοὺς τῶν ἐχθρῶν, ὑπέφερε λοιδωρίας, ἐμπτυσμούς, κολαφισμοὺς καὶ μαστιγώσεις πρὸ τοῦ θανάτου αὐτοῦ· αὐτὸς τέλος ἐκεῖνος ὁ βασανιστικώτατος καὶ ἀτιμωτικώτατος θάνατος, οὗ ὅμως ἑκὼν καὶ ἀθωώτατος ἐγεύσατο ὑπὲρ τῶν ἄλλων· ποῦ δὲ πάσης τῆς ἱστορίας τοῦ ἀνθρωπίνου γένους εὑρήσομεν τοιαῦτα; Ἀλλ' ἡ πρὸς τὸν Θεὸν ἀγάπη αὐτοῦ; „Καταβέβηκα", ἔλεγε περὶ ἑαυτοῦ, „ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός (Ἰωάν. ς', 38), ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν Πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ Πατὴρ οὕτω ποιῶ (ιδ', 31)"· καὶ ἅπας ὁ βίος αὐτοῦ τῇ ἐκπληρώσει τῆς ἁγιωτάτης ταύτης βουλῆς ἀφιέρωτο· ἅπαντα τὰ ἔργα αὐτοῦ ἔτεινον εἰς τὸ διδάσκειν τοὺς ἀνθρώπους τὴν ἐπίγνωσιν τοῦ μόνου ἀληθινοῦ Θεοῦ (Ἰωάν. ιζ', 3), διδάσκειν αὐτοὺς ἀγαθοῖς ἔργοις τὸν οὐράνιον δοξάζειν Πατέρα (Ματθ. ε', 16), εἰς τὸ ἱδρῦσαι καὶ στηρίξαι ἐπὶ τῆς γῆς τὴν βασιλείαν τοῦ Θεοῦ (Μάρκ. α', 14, 15). Ἐν μόνῃ δὲ τῇ ἐκπληρώσει ταύτῃ τῆς τοῦ Πατρὸς βουλῆς τὴν ἀληθῆ δι' ἑαυτὸν εὕρισκε τροφήν (Ἰωάν. δ', 34)· ἕνεκα αὐτῆς τῆς ἐκπληρώσεως „ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ (Φιλιπ. β', 8)". Τίς δ' ἦν ἡ πρὸς τοὺς ἀνθρώπους ἀγάπη; Αὐτὸς ἀνέλαβε μεγίστους πόνους, ἵνα φωτίσῃ αὐτοὺς τῷ φωτὶ τοῦ Εὐαγγελίου, περιήρχετο ἀπὸ τόπου εἰς τόπον, ἐκήρυσσε, παρῄνει, ἤλεγχεν, ὑπέμενε πικρίας καὶ διωγμούς· καὶ πρὸς ἀπόδειξιν τῆς θείας αὐτοῦ ἀποστολῆς θαύματα ἔδει αὐτῷ ποιεῖν, ἅτινα ἐξετέλει πρὸς βοήθειαν τῶν δυστυχῶν· ἀσθενεῖς γὰρ ἰᾶτο, τυφλοῖς ἀνάβλεψιν ἐδίδου, ἀκοὴν κωφοῖς, δαιμονιζομένους ἐκαθάριζε, πάντας εὐηργέτει (Πράξ. ι', 38). Ειδικῶς δὲ νήπιος ἐδείκνυεν ἀγάπην καὶ ὑποταγὴν τῇ Μητρὶ καὶ τῷ καλουμένῳ πατρὶ Ἰωσήφ (Λουκ. β', 5· Ἰωάν. ιθ', 27), ἀγάπην πρὸς τὸν πλησίον ἐξ αἵματος καὶ τοὺς φίλους (Ἰωάν. ια', 5, 11, 36· ιγ', 23), ἀγάπην πρὸς τὴν πα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίδα (Ματθ. ιθ', 13-15), ἀγάπην πρὸς τοὺς ἑαυτοῦ μαθητὰς (Ματθ. ιη', 1-5 καὶ ἀλλ.), ἀγαθότητα καὶ ἀπαραδειγμάτιστον συγκατάβασιν πρὸς τοὺς ἁμαρτωλοὺς (Ματθ. θ', 10-13· Λουκ. ιθ', 10). Τὸν δὲ μέγιστον βαθμὸν τῆς ἑαυτοῦ ἀγάπης πρὸς τοὺς ἀνθρώπους ἔδειξεν ἐπὶ τοῦ σταυροῦ, ἐφ' οὗ ἀνέβη μόνον ὑπὲρ τῆς σωτηρίας αὐτῶν, καὶ ἐφ' οὗ ἐν τοῖς μεγίστοις παθήμασιν ηὔχετο τῷ Πατρὶ ὑπὲρ τῶν αὐτοῦ σταυρωτῶν καὶ ἐχθρῶν (Ἰωάν. γ', 16· Λουκ. κγ', 34). Τοιαύτας δὲ ὑψίστας τελειότητας ὁ Κύριος Ἰησοῦς ἔχων, ὅλως ξένος ἦν καὶ τῶν ἐλαχίστων ἐλλειμμάτων· οὐ γὰρ μόνον, κατὰ τὴν μαρτυρίαν τῶν μαθητῶν αὐτοῦ, ἁμαρτίαν οὐκ ἐποίησεν, ἀλλ' οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ (α'. Πέτρ. β', 22· παρ. α', Ἰωάν. γ', 5), οὐδὲ αὐτοὶ οἱ ἔχθιστοι αὐτῷ ἐλέγξαι ἔν τινι αὐτὸν ἠδύναντο. Οἱ ἀρχιερεῖς, οἱ πρεσβύτεροι καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, „ὅπως θανατώσωσιν αὐτόν, καὶ οὐχ εὕρισκον (Ματθ. κς', 59)“· Ἰούδας ὅμως, εὖ εἰδὼς τὸν βίον τοῦ ἑαυτοῦ διδασκάλου, παρέδωκεν αὐτόν, καὶ μετεμελήθη, ὅτι παρέδωκεν αἷμα ἀθῷον (Ματθ. κζ', 4). Ὁ δὲ Πιλάτος, μετὰ προσοχῆς ἐξετάσας πάσας τὰς διαβολὰς καὶ κατηγορίας τῶν Ἰουδαίων κατὰ τοῦ Ἰησοῦ, εἶπεν εἰς ἐπήκοον αὐτῶν τῶν διαβολέων· „Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ (Λουκ. κγ', 4)· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε (Ματθ. κζ', 24)“. Τοιαύτη δὲ τελειοτάτη ἁγιότης καὶ ἀναμαρτησία τοῦ Κυρίου Ἰησοῦ, οὐδαμῶς ἰδία τοῖς ἀνθρώποις ἐν τῇ νῦν πεπτωκυίᾳ καταστάσει αὐτῶν οὖσα (Ρωμ. ε', 12), δείκνυσιν ἡμῖν τὸν Σωτῆρα ἡμῶν μείζω ἢ ἄνθρωπον, δείκνυσιν ἀληθῶς τὸν ἐνσαρκωθέντα Υἱὸν τοῦ Θεοῦ, ὥσπερ αὐτὸς ἑαυτὸν καλέσαι ηὐδόκησεν.

### §. 99. *Περὶ τῶν θαυμάτων τοῦ Ἰησοῦ Χριστοῦ*[235].

I. Ἀλλὰ τὰ θαύματα τοῦ Ἰησοῦ Χριστοῦ ἰσχυρωτέρα εἰσὶ καὶ λίαν ἀναντίῤῥητος ἀπόδειξις ταύτης τῆς ἀληθείας

[235] 1, *Περὶ τῶν θαυμάτων τοῦ Ἰησοῦ Χριστοῦ βλ. Χριστιαν. ἀνάγν.* 1835, 11, 57· 2, *περὶ τοῦ ἀναμφιβόλου καὶ ἀξιοπίστου τῶν Εὐαγγελικῶν θαυμάτων αὐτόθι*, 1838, 11, 184· 3, Albert Guil. Melchioris — apologia

(Ἰωάν. ε΄, 33-36· ι΄, 37, 38). Ταῦτα μέγιστα καὶ πολυάριθμα ἦσαν καὶ καθόλου τοιαῦτα, „ἃ οὐδεὶς ἄλλος πεποίηκεν (Ἰωάν. ιε΄, 24).“ Ἐν τούτοις γὰρ ἐδείκνυεν ἑαυτὸν α΄, δεσπότην τῆς ἐξωτερικῆς φύσεως, ὅτε εἰς οἶνον τὸ ὕδωρ μετέβαλεν (Ἰωάν. β΄, 1-11), ἐπέτασσε τοὺς ἀνέμους καὶ τὴν θάλασσαν, καὶ ὑπήκουον (Λουκ. η΄, 24· Ματθ. η΄, 23-27)· ὀλίγοις ἄρτοις καὶ ἰχθύσιν ἔθρεψέ ποτε πέντε ἄλλοτε δὲ τέσσαρας χιλιάδας ἀνδρῶν, ἐκτὸς τῶν γυναικῶν καὶ παίδων (Ματθ. ιδ΄, ιε΄,)· β΄. δεσπότην τῆς ἀνθρωπίνου φύσεως, ὅτε μόνῳ λόγῳ, μόνῃ ἐπαφῇ τῆς χειρὸς αὐτοῦ ἢ ἐσθῆτος πᾶσαν ἐθεράπευεν ἀσθένειαν (Ματθ. θ΄, 20-23· ιδ΄, 35, 36· Λουκ. δ΄, 40)· ὅρασιν τοῖς τυφλοῖς ἐδίδου (Ματθ. κ΄, 29-34· Μάρκ. ι΄, 46-52), ἀκοὴν κωφοῖς, λαλιὰν βωβοῖς (Ματθ. θ΄, 32-35· ιβ΄, 22· Λουκ. ια΄, 14), κάθαρσιν λεπροῖς (Ματθ. η΄, 1-5)· δεσπότην αὐτῆς τῆς ὑποχθονίου, ὅτε μόνῃ τῇ προσεγγίσει πρὸς τοὺς ἀνθρώπους, ὑπ᾿ ἀκαθάρτων κατεχομένους πνευμάτων, ἠνάγκαζεν αὐτὰ τρέμειν, καὶ λόγῳ μόνῳ ἐξέβαλλεν αὐτὰ ἐκ τῶν ἀνθρώπων (Ματθ. η΄, 28-34· Λουκ. η΄, 26-40)· δ΄, δεσπότην ζωῆς τε καὶ θανάτου, ὅτε ἀνέστησε τὸν υἱὸν τῆς πτωχῆς χήρας ἐκ τῆς πόλεως Ναῒν (Λουκ. ζ΄, 11), τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου Ἰαὶρ (Ματθ. θ΄, 18, 19· Λουκ. η΄, 49), τὸν Λάζαρον, τετραήμερον ἐν τῷ τάφῳ ὄντα (Ἰωάν. ια΄.). Προσθετέον δὲ τούτοις καὶ τὰ σπάνια σημεῖα, ἅτινα ἐτελέσθησαν οὐχ ὑπ᾿ αὐτοῦ τοῦ Σωτῆρος, ἀλλὰ χάριν τοῦ Σωτῆρος, ἐν διαφόροις περιστάσεσι τῆς ἐπιγείου αὐτοῦ ζωῆς, οἷα· α΄, ἅμα βαπτισθεὶς ἐξήρχετο τοῦ ὕδατος, οἱ οὐρανοὶ ἠνεῴχθησαν, τὸ Πνεῦμα τὸ ἅγιον ἐφάνη ἐν εἴδει περιστερᾶς, κατερχόμενον ἐπ᾿ αὐτὸν, καὶ φωνὴ ἠκούσθη ἐκ τοῦ οὐρανοῦ, λέγουσα· „οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα (Ματθ. α΄, 10, 11· Λουκ. γ΄, 21, 22)“· β΄, κατὰ τὴν μεταμόρφωσιν αὐτοῦ ἐπὶ τοῦ Θαβωρίου ἐνώπιον τριῶν ἀποστόλων, ὅτε „ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς,

---

pro miraculis Christi et expositionibus patrum allegoricis... Franeck, 1731· Mich. Lilienthalii — Wunderwerke Jesu, als ein überzeugender Beweis, daß er der wahre Messias sei, Regiom. 1748. 5, Philosophische Vertheidigung der Wunder Jesu und seiner Apostel von Joh. Christoph. Gräffe 1812.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες, καὶ αὖθις ἐγένετο φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα. Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε (Ματθ. ιζ', 1-5)"· γ', ἐν Ἱερουσαλὴμ ποτε, ἐπὶ παρουσίᾳ πολλοῦ λαοῦ, ὅτε μετὰ τὴν προσευχὴν τοῦ Κυρίου πρὸς τὸν οὐράνιον Πατέρα, ἵνα δοξάσῃ τὸ αὐτοῦ ὄνομα, „ἦλθε φωνὴ ἐκ τοῦ οὐρανοῦ. Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω (Ἰωάν. ιβ', 28-31)"· δ', κατὰ τὰ σταυρικὰ τοῦ Λυτρωτοῦ πάθη, „ὅτε ἀπὸ τῆς ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης, καὶ ὡς παρέδωκε τὸ πνεῦμα εἰς χεῖρας τοῦ οὐρανίου Πατρός, τό καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη (Ματθ. κζ', 45, 51, 52)". Ἐν ἑνὶ λόγῳ, ὁ βίος τοῦ Σωτῆρος ἡμῶν, ὃς θαῦμά ἐστιν ὡς πρὸς τὴν ἠθικήν, πλήρης ἐστὶ καὶ πανταχόθεν περικυκλοῦται ὑπὸ θαυμάτων.

II. Ὅτι δὲ τὰ θαύματα ταῦτα ἀληθῆ ἦσαν, τ. ε. ὑπερφυσικὰ γεγονότα, ἀπόδειξις τὰ ἑπόμενά εἰσιν.

1. Αὐτὴ αὐτῶν ἡ ἰδιότης· πάντα γὰρ ταῦτα πασιφανῶς ὑπερβαίνουσι τὰς δυνάμεις καὶ τοὺς νόμους τῆς φύσεως καὶ οὐδεὶς εὔφρων διϊσχυρίσεται, ὅτι, ἠδύνατο π. χ. ἄνθρωπος μόνῳ τῷ λόγῳ νεκροὺς ἀνιστάναι, πᾶσαν ἀσθένειαν θεραπεύειν, ὀλίγοις ἄρτοις ὅλας χιλιάδας κορέσαι, ὅρασιν τυφλοῦ ἐκ γενετῆς δοῦναι, τὰ στοιχεῖα τοῦ κόσμου ἐπιτάσσειν κτλ.

2. Ὁ τρόπος τῆς ἐκτελέσεως αὐτῶν. Ὁ Σωτὴρ διέπραισσε τὰ θαύματα οὕτως, ὥστε πάμπαν ἀδύνατόν ἐστιν ὑπονοῆσαι ἐν αὐτοῖς παραποίησιν ἢ τέχνην· ἐξετέλει γὰρ αὐτὰ α'. ἄνευ πάσης προπαρασκευῆς, ὅτε μόνον περίστασις παρῆν· β'. μόνῳ τῷ λόγῳ καὶ οὐ σπανίως μόνῃ προσεγγίσει ἢ καὶ διαλογισμῷ καὶ θελήσει (Λουκ. ς', 19· Ἰωάν. δ', 50-54· Ματθ. η', 8, 13)· ἔλεγε τῷ μὲν παραλυτικῷ· „Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου", καὶ ὁ παραλυτικὸς ἐθεραπεύετο (Ματθ. θ', 6)· „θέλω, καθαρίσθητι, καὶ εὐθέως (Ματθ. η', 3)"· ἐφώνει τῷ νεκρῷ· „Λάζαρε, δεῦρο ἔξω", καὶ ὁ τεταρταῖος νεκρός, ἀρξάμενος ἤδη ὄζειν, ἐξῆλθε τοῦ τάφου (Ἰωάν. ια', 43)· γ', οὐκ ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινι ὡρισμένῳ τόπῳ ἢ χρόνῳ, ἐπὶ παρουσίᾳ ὀλίγων ματύρων, τοὐναντίον, πάντοτε καὶ πανταχοῦ, φανερῶς καὶ κοινῇ· περιήρχετο γὰρ πόλεις καὶ κώμας τῆς Ἰουδαίας, συνεχῶς συνοδευόμενος ὑφ᾿ ὅλων χιλιάδων λαοῦ, ἐφαίνετο ἐν Ἱερουσαλήμ, ἐν κοινοῖς τόποις, ἐν τῷ ναῷ, ἐν ταῖς μεγάλαις ἑορταῖς, εἰς ἃς παταχόθεν οἱ Ἰουδαῖοι συνήρχοντο, καὶ πανταχοῦ ἐδείκνυε τὴν παντοδυναμίαν αὐτοῦ καὶ τὴν θαυματουργὸν δύναμιν. Οἱ δὲ ὑπ᾿ αὐτοῦ θεραπευθέντες κατῴκουν μετὰ τὴν θεραπείαν ἐν αἷς πόλεσι καὶ κώμαις πρὶν εἶδον αὐτοὺς ἀσθενεῖς· καὶ αἱ ἀσθένειαι αὐτῶν καὶ ἡ θαυμανικὴ θεραπεία γνωσταὶ ἦσαν τοῖς γονεῦσι, τοῖς γείτοσι καὶ πᾶσι τοῖς συμπολίταις· ὅλα πλήθη, π. χ. συνέῤῥεον, ὅπως ἴδωσι τὸν ἀναστάντα Λάζαρον, ὥστε οἱ ἀρχισυνάγωγοι ἐζήτουν αὐτὸν ἀπολέσαι, „ὅτι πολλοὶ δι᾿ αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν (Ἰωάν. ιβ΄, 11)".

3. *Σκοπὸς τῶν θαυμάτων.* Ὁ σκοπὸς τῶν εὐαγγελικῶν θαυμάτων ὕψιστος ἦν καὶ ἐντελῶς τοῦ Θεοῦ ἄξιος. Συνέστηκε δέ, ἵνα δείξῃ πρὸς τοὺς ἀνθρώπους τὸν Ἰησοῦν Χριστὸν ἀληθῆ Μεσσίαν, Υἱὸν τοῦ Θεοῦ, διαθέσῃ αὐτούς, ὅπως εἰς αὐτὸν πιστεύσωσι, τὴν αὐτοῦ διδασκαλίαν καὶ τὴν χάριν παραλάβωσι, καὶ οὕτως αἰωνίου τύχωσι σωτηρίας (Ἰωάν. ι΄, 38· ιε΄, 24· Ματθ. ια΄ 20-24).

4. *Τὸ πολυάριθμον καὶ ἡ ποικιλία αὐτῶν.* Ὁ Σωτὴρ οὐχ ἕν τι, οὐδὲ δύο ἢ δέκα θαύματα ἐποίησεν, ἀλλ᾿ ἄπειρον πλῆθος· οὐδὲ ἡ θαυματουργὸς αὐτοῦ δύναμις περιωρίζετο ἔν τισιν ὀλίγαις ἐνεργείαις, ἀλλ᾿ ἐδηλοῦτο ἐν ποικίλοις, ἐπὶ πάντα ἐπεκτείνετο τὸν κόσμον, καὶ ἐδείκνυεν ἑαυτὸν δεσπότην ἁπάντων τῶν ὄντων.

5. *Ἐξέτασις τῶν θαυμάτων τούτων ὑπ᾿ αὐτῶν τῶν ἐχθρῶν τοῦ Σωτῆρος* (Ματθ. θ΄, 12-24). Οἱ Φαρισαῖοι, Σαδδουκαῖοι, γραμματεῖς καὶ ἱερεῖς, δυσμενεῖς ὄντες κατὰ τοῦ Ἰησοῦ, αὐτοὶ πολλάκις μάρτυρες ἦσαν τῶν θαυμάτων αὐτοῦ, καὶ ἔβλεπον πάσας τὰς ἀσυνήθεις αὐτῶν ἐνεργείας ἐπὶ τὸν λαόν (Ἰωάν. ιβ΄, 19). Ἀδύνατον δὲ μὴ τοὺς ἐχθροὺς τούτους παντοίως φροντίσαι, ὅπως ἐξελέγξωσι πλάνην, εἰ ἐν τούτοις ἐκρύπτετο. Καὶ γὰρ ἐν ταῖς χερσὶν αὐτῶν πᾶσα ἡ κοινὴ ἐξουσία ἦν, καὶ ῥᾴδιον αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



τοῖς ἦν, ἵνα ἀποδείξωσι τὸ ψεῦδος δικαστικαῖς ἀνακρίσεσιν· ἤρκει δὲ τὴν νοθείαν ἑνὸς θαύματος ἐξελέγξαι, ἵνα δίκαιοι ὦσι καὶ πάντων τῶν ἄλλων ὑπονοεῖν τὴν ἀλήθειαν. Τί δέ; Αὐτοὶ οἱ ἐχθροὶ τοῦ Κυρίου Ἰησοῦ τὸ γνήσιον τῶν θαυμάτων αὐτοῦ ὁμολογοῦσι· „Τί ποιοῦμεν, ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ"; ἔλεγον πρὸς ἀλλήλους· „ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν (Ἰωάν. ια', 47, 48). Καὶ τὸν Σωτῆρα εἰς σταυρικὸν θάνατον κατακρίνοντες οὐκ ἐτόλμησαν ἐλέγξαι ἐνώπιον τοῦ λαοῦ, ὅτι δῆθεν ψευδῆ ἐποίει θαύματα, καίτοι τοῦτο λίαν ἂν αὐτοῖς σύμφορον εἴη· ἀλλ' ἠναγκασμένοι ἦσαν ψευδομαρτυρίαν κατ' αὐτοῦ ἐπινοῆσαι.

6. Ἡ ἄφοβος καὶ φανερὰ εἰς τὰ θαύματα ταῦτα δεῖξις αὐτοῦ τοῦ Σωτῆρος, ὡς εἰς μεγίστην ἀπόδειξιν τῆς θειότητος αὐτῶν· „Τὰ ἔργα ἃ ἔδωκέ μοι ὁ Πατὴρ ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκεν (Ἰωάν. ε', 36· παράβ. ιδ', 11· ιε', 24)". Ἠδύνατο ἄρα ὁ Ἰησοῦς Χριστὸς τοσούτῳ τελειωτικῶς καὶ πανδήμως δεικνύειν τὰ θαύματα ταῦτα καὶ δοῦναι αὐτοῖς τοσαύτην ὑψηλὴν σημασίαν, εἰ ἐν τῇ διαπράξει αὐτῶν νοθεία τις ἐκρύπτετο ἢ τέχνη τις μετεῖχεν;

7. Τοιαύτη δὲ ὄντως δεῖξις εἰς τὰ θαύματα τοῦ Χριστοῦ τῶν ἁγίων Ἀποστόλων. „Πολλὰ καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ", λέγει ὁ ἅγ. Ἰωάννης ὁ θεολόγος ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ· „ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ (Ἰωάν. κ', 30, 31)". „Ἄνδρες Ἰσραηλῖται", ἔκραζεν ὁ ἀπόστολος Πέτρος ἐν τῷ λόγῳ αὐτοῦ πρὸς τοὺς Ἰουδαίους μετὰ τὴν ἐπέλευσιν τοῦ ἁγ. Πνεύματος ἐπὶ τοὺς ἀποστόλους, „ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε· τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων

προσπήξαντες ἀνείλατε· ὃν ὁ Θεὸς ἀνέστησε (Πράξ. β', 22-24· καὶ ι', 38· Ἑβρ. β', 3, 4)".

8. *Ἡ ἐνέργεια τῶν θαυμάτων τούτων ἐπὶ μαρτύρων.* Μετὰ τὸ πρῶτον θαῦμα, ὃ ὁ Σωτὴρ ἐποίησεν ἐν Κανᾶ τῆς Γαλιλαίας, „ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ (Ἰωάν. β', 11)"· μετὰ δὲ τὴν ὑπ' αὐτοῦ ἀνάστασιν τοῦ υἱοῦ βασιλικοῦ τινος ἐν Καπερναούμ, „ἐπίστευσεν" εἰς αὐτὸν καὶ αὐτὸς ὁ βασιλικὸς „καὶ πᾶς ὁ οἶκος αὐτοῦ (Ἰωάν. δ', 53)"· μετὰ δὲ τὴν ὑπ' αὐτοῦ κατάπαυσιν τῆς τρικυμίας, „οἱ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς εἶ (Ματθ. ιδ', 33)"· ὅτε δὲ πέντε ἄρτοις καὶ δυσὶν ἰχθύσιν ἔθρεψε χιλιάδας τινὰς λαοῦ, οἱ ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς ἔλεγον· Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον (Ἰωάν. ς', 14). Καὶ καθόλου „πολλοί" παρακινούμενοι ὑπὸ τῶν θαυμάτων τοῦ Κυρίου, „ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτόν, καὶ ἔλεγον. Ὅτι ὁ Χριστὸς ὅταν ἔλθῃ, μή τι πλείονα σημεῖα τούτων ποιήσῃ ὧν οὗτος ἐποίησεν (Ἰωάν. ζ', 31)", καὶ ὁ ἀριθμὸς τῶν πιστευσάντων τούτων τόσῳ μέγας ἦν, ὥστε αὐτοὶ οἱ Φαρισαῖοι ὡμολόγουν· „ἴδε, ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν (Ἰωάν. ιβ', 19)".

III. Ἐὰν στρέψωμεν ἤδη πρὸς τὴν ἱστορικὴν ἀξιοπιστίαν τῶν εὐαγγελικῶν θαυμάτων καὶ καθόλου τῶν εὐαγγελικῶν συμβεβηκότων, ὀψόμεθα, ὅτι καὶ κατὰ τοῦτο οὐδὲν λείπεται, ἵνα πλέον ἐπιθυμήσωμεν.

1. Τὰ γεγονότα ταῦτα παρεδόθησαν ἡμῖν ὑπὸ ὀκτὼ συγχρόνων συγγραφέων· ἱστορικοὺς γὰρ τοῦ Ἰησοῦ Χριστοῦ ἀποδέξασθαι δεῖ καὶ τοὺς τέσσαρας Εὐαγγελιστὰς καὶ πάντας τοὺς ἀποστόλους, οἵτινες κατέλιπον τὰ αὐτῶν συγγράμματα, ἐν οἷς, ὡς γινώσκομεν, τὰ εὐαγγελικὰ συμβεβηκότα ἤτοι σαφῶς γνωστὰ ὑποτίθενται, ἢ καὶ ῥητῶς ἱστοροῦνται. Καὶ πέντε μὲν τῶν συγγραφέων τούτων Ματθαῖος, Ἰωάννης, Πέτρος, Ἰάκωβος καὶ Ἰούδας αὐτόπται ἦσαν, καὶ συνώδευον τὸν Σωτῆρα κατὰ πάντα τὸν χρόνον τῆς διακονίας αὐτοῦ, καὶ ἕκαστος εἰπεῖν ἠδύνατο, ὡς ὁ ἅγιος Ἰωάννης λέγει· „Ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν (α΄. Ἰωάν. α΄, 1, 2)". Δύο δέ, ὁ Μάρκος καὶ Λουκᾶς, καίτοι οὐκ ἦσαν ἐκ τῶν δώδεκα ἀποστόλων, ἦσαν ὅμως σύγχρονοι τοῦ Ἰησοῦ Χριστοῦ, στενῶς διῆγον πρὸς τοὺς αὐτόπτας αὐτοῦ μαθητάς, καὶ παρ' αὐτῶν ἤκουσαν τὴν ἱστορίαν αὐτοῦ. Ὁ δὲ ἅγιος Παῦλος καὶ αὐτὸς ἀμέσως συναναστράφη πρὸς τοὺς πλησιεστάτους μαθητὰς τοῦ Κυρίου· διὸ δικαίως δύναται ὀνομασθῆναι σύγχρονος μάρτυς τῶν ἔργων τοῦ Χριστοῦ. Τούτων οὕτως ἐχόντων, ὀφείλομεν ὁμολογῆσαι ὅτι οὐδὲν πάντων τῶν λίαν ἀξιομνημονεύτων γεγονότων τῆς ἀρχαιότητος τόσον καλῶς ἐμαρτυρήθη, ὡς τὰ εὐαγγελικὰ γεγονότα, οὐδὲν γὰρ ἐγράφη ὑπὸ τοσούτων συγχρόνων· ὃς δ' ἂν τολμήσειε τὰ γεγονότα ταῦτα ἀποβαλεῖν, πάντως ἂν φανείη εἰς ἄκρον ἐπίμονος κατὰ τοῦ ὀρθοῦ λόγου, καὶ ἅπασαν τὴν ἀρχαίαν ἱστορίαν προαποβαλεῖν αὐτῷ δέοι.

2. Ὑποθῆναι δέ, ὅτι οἱ ἀπόστολοι, παρὰ τῷ Σωτῆρι ὄντες κατὰ τὴν διακονίαν αὐτοῦ, καὶ ἰδίοις ὀφθαλμοῖς ἰδόντες πάντα τὰ θαύματα, ἠδύναντο ἐξ αὐτῶν ἀπατηθῆναι, πάντως ἄλογον. Τούτῳ γὰρ ἀντιλέγει αὐτὸς ὁ χαρακτὴρ τῶν θαυμάτων τοῦ Χριστοῦ, καθ' ὅν, ὡς ἤδη εἴρηται, πολὺ μὲν διάφορα καὶ πολυάριθμα ἦσαν, ἐξετελοῦντο δὲ ἄνευ πάσης προπαρασκευῆς, φανερῶς καὶ πανδήμως, οὐδ' ἐγίνοντο εἴς τινα τόπον καὶ χρόνον, ἀλλὰ πάντοτε καὶ πανταχοῦ. Ἔτι δὲ μᾶλλον ἀντιλέγει ἡ διάρκεια τῆς παρὰ τῷ Σωτῆρι διαμονῆς τῶν ἀποστόλων, οἵτινες ἠδύναντο ἅπαξ, δίς, τρὶς ἢ καὶ πλεῖον ἀπατηθῆναι, ἀλλ' εἰς διάρκειαν τριῶν ἐτῶν καὶ ἡμίσεως ἑκάστην ἡμέραν καὶ ἐνίοτε πολλάκις, καὶ οὐδ' εἰς μίαν μόνην πρᾶξιν θαύματος, ἐπαναληφθεῖσαν πολλάκις, ἀλλ' εἰς πάντα τὰ ἀπειράριθμα θαύματα οὐδεὶς ὀρθῶς σκεπτόμενος ἀποδέξεται. Ἔστω, οἱ ἀπόστολοι ἦσαν ἁπλοῖ καὶ ἀγράμματοι· ἀλλ' ἆρα οὐκ ἤρκουν αἱ ὑγιεῖς αἰσθήσεις καὶ ὁ ὑγιὴς νοῦς, ἵνα πεισθῶσιν, ὅτι μόνῳ τῷ λόγῳ τοῦ Σωτῆρος ἀσθενεῖς ἐθεραπεύοντο, τυφλοὶ ἀνέβλεπον, νεκροὶ ἀνίσταντο; Ἡ μεγίστη δὲ καὶ παντοειδὴς παιδεία οὐδὲν ἂν προσθείη, διότι καὶ ὁ λόγιος καὶ ὁ ἀπαίδευτος ὄψαιντ' ἂν μόνον θαῦμα, μὴ ἐννοοῦντες ἐπίσης, πῶς ἐπράχθη.

3. Πάντα δὲ πείθουσιν ἡμᾶς, ὅτι οἱ ἀπόστολοι, ἐντελῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἀλήθειαν περὶ τοῦ διδασκάλου αὐτῶν γνῶναι δυνάμενοι, μετεδίδοσαν καὶ πρὸς τοὺς ἄλλους περὶ αὐτοῦ μόνην τὴν ἀλήθειαν· ἐκήρυσσον, ἅμα ἐπράχθησαν τὰ θαύματα, καὶ ὅπου τὰ γεγονότα ταῦτα ἐγένοντο· ἀναφέρουσι γὰρ πόλεις, κώμας, οἰκογενείας καὶ πρόσωπα, μάρτυρας ὄντα τῶν θαυμάτων τοῦ Χριστοῦ, ἢ ἐφ' ὧν ἐξετελέσθησαν τὰ θαύματα· οὐδὲ καταγίνονται πρὸς τοὺς Ἰουδαίους τὴν ἀλήθειαν τῶν περιγραφομένων ἀποδεῖξαι, ἀλλὰ συχνότατα τὸ πάγγνωστον αὐτῶν ἀναφέρουσι, καὶ αὐτοὺς τοὺς Ἰουδαίους μάρτυρας τῶν συμβάντων προσκαλοῦσι· δύνανται οὖν οὕτως ἐνεργεῖν οἱ ἀπατεῶνες; Τούτοις δὲ προστεθήτωσαν τὰ θαυμάσια γνωρίσματα τῆς εἰλικρινείας καὶ ἁγνείας, αἷς σαφέστατα ἐπεσφραγισμένα εἰσὶ τα συγγράμματα τῶν ἀποστόλων, οἵτινες οὐδὲ τὰς ἰδίας ἐλλείψεις ἀποσιωπῶσιν· οἷον, ὅτι οὐκ ἠδύναντο νοῆσαι, ὅτι ἀλλήλοις διεφώνουν, οὐκ εἶχον ὀρθὰς περὶ τῆς βασιλείας τοῦ Μεσσίου ἐννοίας· ἀλλ' ἀναφέρουσι τὸν ἀπρεπῆ αὐτῶν ζῆλον, τὴν ἄρνησιν τοῦ Πέτρου, τὴν ἀπιστίαν τοῦ Θωμᾶ κτλ. Ἀδύνατον δὲ κατιδεῖν ἐν τῇ διηγήσει τῶν Ἀποστόλων καὶ ἴχνος συμπαθείας πρὸς τὸν διδάσκαλον αὐτῶν, ἢ μῖσος πρὸς τοὺς ἐχθροὺς αὐτοῦ. Τὰ γὰρ πάθη αὐτοῦ, ὡς καὶ τὰ θαύματα, οἱ Εὐαγγελισταὶ διηγοῦνται ἁπλούστατα. Παριστάντες δὲ τὸν Σωτῆρα παντὶ τῷ μεγέθει τῆς θείας δυνάμεως, οὐ κρύπτουσι καὶ πόσον κατ' ἀρχὰς ὀλίγοι ἐπίστευσαν εἰς αὐτόν, καὶ τὴν τρομερὰν εἰκόνα τῆς σταυρώσεως αὐτοῦ ἐκφράζουσι μόνον ταύταις ταῖς λέξεσιν· „ἐκεῖ ἐσταύρωσαν αὐτόν (Λουκ. κγ', 33)". Ἡ μεγίστη ὅμως ἀπόδειξις τῆς εἰλικρινείας τῶν ἀποστόλων ἥδέ ἐστιν, ὅτι οὐ μόνον πανδήμως τὰ εὐαγγελικὰ κηρύσσουσι γεγονότα, ἀλλὰ καὶ εἰς ἀπόδειξιν τῶν λόγων αὐτῶν ἑκόντες ὑποβάλλονται ὑπὸ κινδύνους, ἀπείρους ἀνέχονται λοιδωρίας, διωγμούς, βασάνους, καὶ εἰς αὐτὸν τὸν θάνατον ἔρχονται· ἵνα δ' εὐάριθμοι ὁμονοήσωσιν ἐπινοῆσαι γεγονότα, καὶ εἶτα αὐτὰ πραγματικὰ διαδοῦναι ἄνευ πάσης ἰδιοτελείας κινδύνῳ μάλιστα τῆς αὐτῶν ζωῆς, ἵνα θελήσωσι καὶ διὰ τοῦ ἰδίου αἵματος ἐπισφραγίσαι τὴν μαρτυρίαν αὐτῶν, ὅτι εἴδοιεν καὶ ἀκούσειαν ὅπερ οὐδαμῶς εἶδον καὶ ἤκουσαν, ταῦτα ὅλως ἀπίθανα. Ἀληθὲς δέ, ὅτι τινές, ἐν δυσειδαιμονίαις καὶ ἀπάταις παιδιόθεν ἀνατραφέντες καὶ ἐν δυσι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δαιμονίαις ἐγγηράσαντες, ἐννοίας ἀληθεῖς τὰς ἑαυτῶν ἡγεῖσθαι δύνανται, καὶ πρὸς ὑπεράσπισιν αὐτῶν ἐνίοτε ἕτοιμοί εἰσι πάντα θῦσαι· ἀλλ᾽ οἱ ἀπόστολοι οὐδαμῶς ὅμοιοι τοιούτοις ἦσαν, οἳ ὑπὲρ τῆς νέας διδασκαλίας πάσας τὰς προλήψεις τῆς ἀνατροφῆς αὐτῶν ἀπέβαλον, ἀφῆκαν τὴν πίστιν καὶ τὰ ἔθιμα τῶν πατέρων καὶ ἐγένοντο Χριστιανοὶ μόνον διὰ τὸ ἰδίοις εἰδεῖν ὀφθαλμοῖς τὰ θαυμάσια τοῦ Σωτῆρος ἔργα. Ῥητῶς δὲ καὶ φανερῶς μαρτυροῦσιν· „ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν ..., καὶ ἀπαγγέλλομεν ὑμῖν (α'. Ἰωάν. α', 1)· οὐ δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν (Πράξ. δ', 20)".

4. Νέαι ἀναντίῤῥητοι μαρτυρίαι τῆς ἀξιοπιστίας τῶν εὐαγγελικῶν θαυμάτων πάντες εἰσὶν οἱ ἐπὶ τῶν Ἀποστόλων τὸν Χριστιανισμὸν ἀποδεξάμενοι. Οἴδαμεν γάρ, ὅτι τὸ ἀποστολικὸν κήρυγμα μετὰ μεγίστης διεδόθη ταχύτητος, καὶ ὅτι οὐ μόνον ἐθνικοὶ ἀλλὰ πρὶν ὁλόκληροι χιλιάδες καὶ αὐτῶν τῶν Ἰουδαίων ἐφάπαξ παρεδέχοντο τὸ κήρυγμα. Πῶς δὲ παρεδέχοντο αὐτό; Οὕτως, ὥστε ὑπὲρ αὐτοῦ πάντα ἔθνον, χαριέντως ὑπέκυπτον αὐτοῦ ἕνεκεν εἰς τὸ μῖσος τῶν πλησίον, εἰς διωγμούς, βασάνους, εἰς αὐτὸν τὸν θάνατον. Καὶ ὅμως πάντες οὗτοι σύγχρονοι τῶν ἀποστόλων ἦσαν, πολλοὶ δὲ καὶ αὐτοῦ τοῦ Ἰησοῦ· ἄρα πάντες οὗτοι, καὶ μάλιστα οἱ Ἰουδαῖοι, ἠδύναντο τὰς διηγήσεις τῶν ἀποστόλων περὶ τῶν θαυμάτων τοῦ Ἰησοῦ Χριστοῦ ἐρευνῆσαι, αὐστηρῶς ἐξετάσαι καὶ αὐτὴν γνῶναι τὴν ἀλήθειαν. Ὑποτεθήσθω δέ, ὅτι εὐαγγελικὰ θαύματα οὐχ ὑπῆρξαν, ἀλλὰ ἐπλάσθησαν· πῶς οὖν ἠδύναντο χιλιάδες συγχρόνων τὸ ἀποστολικὸν ἀποδέξασθαι κήρυγμα; πῶς ἔστερξαν πλάνοις πιστεῦσαι; πῶς ἀπεφάσισαν θῦσαι ὑπὲρ τῆς ἀπάτης ταύτης τὴν ἱερωτάτην πίστιν τῶν ἰδίων προγόνων, καὶ οὐδὲ τῆς ἰδίας φείσασθαι ζωῆς;

5. Ἀλλ᾽ ἡμεῖς δυνάμεθα προσαγαγεῖν μάρτυρας τῶν θαυμάτων τοῦ Σωτῆρος ἡμῶν αὐτοὺς τοὺς ἐχθροὺς αὐτοῦ Ἰουδαίους, μὴ εἰς αὐτὸν πιστεύσαντας. Οὗτοι δὲ οὐ τὴν γνησιότητα τῶν θαυμάτων τούτων ἠρνοῦντο, ἀλλά, καίτοι ἐμίσουν τὸν Ἰησοῦν Χριστόν, ἄκοντες ὡμολόγουν, ὅτι „οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ, ὧν ἕνεκα ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν (Ἰωάν. ιά

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

47, 48· *ιβ'*, 19)". *Καὶ πρὸς ἀνάπαυσιν καὶ δικαίωσιν τῆς ἀπιστίας αὐτῶν στηρίζειν προεθυμοῦντο, ὅτι ὁ Χριστὸς ἐποίει δῆθεν θαύματα τῇ δυνάμει τοῦ βεελζεβούλ* (*Ματθ. ιβ'*, 24). *Ἀλλὰ καὶ ἐν τῷ ἰουδαϊκῷ Ταλμούδῳ λέγεται, ὅτι ὁ Χριστὸς ὄντως θαυματικὰ ἐποίει ἔργα, ὅτι μόνον τὸ ὄνομα αὐτοῦ, ὑπ' ἄλλων προφερόμενον, πᾶσαν ἀσθένειαν ἐθεράπευεν· ἀναφέρονται καὶ δοκιμαί τινες τῆς θαυματουργοῦ δυνάμεως αὐτοῦ, καίτοι πολὺ παραμεμορφωμένως· προστίθεται δὲ μόνον, ὅτι ταῦτα πάντα ἐξετέλει οὐχὶ τῇ ἑαυτοῦ δυνάμει, ἀλλὰ τῷ μυστηριώδει, ἀῤῥήτῳ τοῦ Κυρίου ὀνόματι, ὃ πανούργως ἥρπασεν ἐκ τοῦ Ἁγίου τῶν ἁγίων, ὅπου ἐπὶ μιᾶς ἦν πέτρας γεγλυμμένον· ἀλλὰ τοῦτο καθαρά ἐστιν ἀλογία, ἣν ἀπὸ τῶν ἀρχαιοτάτων μέχρι τῶν νεωτάτων χρόνων οὐκ ἐπαύσαντο οἱ Ἰουδαῖοι ἐπαναλαμβάνοντες, πρὸς ἐξήγησιν τῶν θαυμάτων τοῦ Χριστοῦ, μὴ τολμῶντες κατὰ τὸ παράδειγμα τῶν προπατόρων αὐτῶν αὐτὴν τὴν πραγματικότητα τῶν θαυμάτων τούτων ἀρνηθῆναι* [263]. *Εἰδικῶς δὲ δυνάμεθα μνημονεῦσαι τὴν περὶ τοῦ Ἰησοῦ Χριστοῦ μαρτυρίαν τοῦ ἰουδαίου ἱστορικοῦ Φλαβίου, ὅς, ἐν τῷ συγγράμματι αὐτοῦ περὶ τῶν ἰουδαϊκῶν ἀρχαιολογιῶν ἐξεικονίζων τὴν ἐν Ἰουδαίᾳ διοίκησιν τοῦ Πιλάτου, καὶ περὶ τῆς κατ' αὐτοῦ ἐπαναστάσεως τῶν Ἑβραίων εἰπών, προστίθησι καὶ ταῦτα· „Γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνήρ, εἴγε ἄνδρα αὐτὸν λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιτής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τ' ἀληθῆ δεχομένων, καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν. Καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἵ γε πρῶτον αὐτὸν ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία θαυμάσια περὶ αὐτοῦ εἰρηκότων· εἰσέτι νῦν Χριστιανῶν ὑπὸ τοῦδε ὠνομασμένων οὐκ ἀπέλιπε τὸ φῦλον"* [237]. *Τὴν δὲ γνησιότητα τῆς μαρτυρίας ταύτης*

---

236 *Βλ. θεωρίαν πρὸς τὰς μαρτυρίας τῶν Ῥαββίνων περὶ τοῦ Ἰησοῦ Χριστοῦ ἐν Χριστ. Ἀναγνώσματι*, 1835, I, *σελ.* 287-299.

217 *Ἰουδ. Ἀρχαιολ. βιβλ. ιη', κεφ. γ'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Φλαΐου ἀποδεικνύουσι ταῦτα, α΄. ὅτι εὑρίσκεται αὕτη ἄνευ πάσης μεταβολῆς ἐν πᾶσι τοῖς ἀρχαίοις χειρογράφοις καὶ ταῖς ἐκδόσεσι τῶν ἰουδαϊκῶν ἀρχαιολογιῶν· β΄. αὐτὴν εἰσάγει ὁ Εὐσέβιος καὶ ἐν τῇ ἐκκλησιαστικῇ Ἱστορίᾳ[238] καὶ ἐν τῷ κατὰ Ἰουδαίων συγγράμματι αὐτοῦ[239]· καὶ ταῦτα ἦσαν καθ' ὃν χρόνον, κατὰ τὰ ὑπὸ τοῦ Εὐσεβίου λεγόμενα[240], τὰ συγγράμματα τοῦ Φλαΐου ἐν μεγίστῃ τιμῇ καὶ χρήσει ἦσαν παρὰ πᾶσι τοῖς Ἰουδαίοις καὶ Ῥωμαίοις· γ΄. ταύτην εἰσάγουσι καὶ ὁ Ἱερώνυμος[241] καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης περὶ τὸ τέλος τῆς δ΄. ἑκατονταετηρίδος[242], ὁ Σωζόμενος κατὰ τὸ πρῶτον ἥμισυ τῆς ε΄.[243], ὁ Κεδρινὸς καὶ ἄλλοι κατὰ τοὺς ἔπειτα χρόνους[244]· δ΄. ὅτι οἱ Ἰουδαῖοι οὐδέποτε ἐξήλεγξαν τοὺς Χριστιανούς, ὡς δῆθεν εἰσαγαγόντας εἰς τὸ σύγγραμμα τοῦ Φλαΐου τὸ χωρίον τοῦτο, ἢ διαφθείραντάς πως αὐτό· ε΄. ἀπίθανον, ὅτι ὁ Ἰώσηπος, μετ' αὐστηρᾶς διηγούμενος ἀκριβείας περὶ πάντων τῶν ἀρχηγῶν τῶν διαφόρων πολιτικῶν καὶ θρησκευτικῶν κοινοτήτων, αἵτινες ἀνεφάνησαν μόνον παρὰ τοῖς Ἰουδαίοις ἀπὸ τῶν χρόνων τοῦ Αὐγούστου μέχρι τῆς πτώσεως τῆς Ἱερουσαλὴμ· οἷον, περὶ Ἰούδα τοῦ Γαλιλαίου, Θευδᾶ καὶ ἄλλων[245], μνημονεύσας μάλιστα καὶ Ἰωάννην τὸν βαπτιστὴν[246], καὶ Ἰάκωβον, ὃν καὶ ἀδελφὸν Ἰησοῦ, „τοῦ λεγομένου Χριστοῦ" καλεῖ[247], ἀποσιωπῆσαι ἠδύνατο τὸν Ἰησοῦν Χριστόν, οὗ τὸ ὄνομα πασίγνωστον τότε ἦν, καὶ οὗ οἱ ὀπαδοὶ ἀπετέλουν ἤδη ἐντὸς αὐτῆς τῆς Ῥωμαϊκῆς αὐτοκρατορίας πολυαρίθμους κοινότητας, αἵτινες ἐφείλκυσαν πρὸς ἑαυτὰς τὴν προ-

---

238 Βιβλ. α΄, κεφ. ι΄.

239 Εὐαγγελ. προπαρασκ. βιβλ. γ΄. κεφ. ε΄.

240 Ἐκκλ. Ἱστορ. βιβλ. γ΄. κεφ. θ΄.

241 Catalog. Script. Eccles. — Joseph.

242 Ἰσιδώρ. Πηλουσ. βιβλ. Α΄. ἐπιστ. ρκέ.

243 Σωζομ. Ἐκκλ. Ἱστορ. βιβλ. Α΄. κεφ. α΄.

244 Κεδριν. Ἱστορ. σελ. 169. Νικηφ. Καλλίστ. Ἱστορ. βιβλ. α΄.

245 Ἀρχαιολ. βιβλ. ιη΄. κεφ. μ΄. βιβλ. κ΄. κεφ. ε΄, καὶ η΄.

246 Αὐτόθι, βιβλ. ιη΄. κεφ. ε΄.

247 Αὐτόθ. βιβλ. κ΄, κεφ. θ΄. Βλ. καὶ παρὰ Ὠριγέν. βιβλ. α΄, κατὰ Κέλσ. κεφ. μζ΄. καὶ Εὐσεβ. Ἐκκλ. Ἱστορ. βιβλ. Β΄. κεφ. κγ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*σοχὴν τῶν Καισάρων*[248]. *Ἐὰν δὲ ἡ προσαγομένη μαρτυρία τοῦ Φλαυΐου περὶ τοῦ Ἰησοῦ Χριστοῦ γνησία ᾖ, οὐ κρείττονος δεόμεθα ἀποδείξεως, ὅτι οἱ τοῦ Σωτῆρος σύγχρονοι Ἰουδαῖοι οὐκ ἠρνοῦντο τὸ ἀξιόπιστον τῶν θαυμάτων αὐτοῦ, καίτοι ἡρμήνευον αὐτὰ κατὰ τὸ ἑαυτοῖς δοκοῦν. Οὗτος γάρ, ἀκμάσας τὴν α', ἑκατονταετηρίδα, καὶ ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ οἰκῶν, καὶ τῶν λογιωτάτων ἐν τοῖς συγχρόνοις ὤν, σαφέστατα διηγεῖται περὶ τῶν θαυμάτων τούτων ἐν συγγράμματι, εἰς κοινὴν προωρισμένῳ χρῆσιν.*

6. *Οὐδὲ οἱ ἐθνικοὶ ἀπέβαλον τὴν γνησιότητα τῶν θαυμάτων τοῦ Χριστοῦ. Ἐνταῦθα δ' ἄξια μνήμης εἰσὶν*

*α'. Τὰ οὕτω καλούμενα ἄκτα εἴτε ἀναφορὰ τοῦ Ποντίου Πιλάτου πρὸς τὸν τῆς Ῥώμης αὐτοκράτορα Τιβέριον περὶ τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ βίου αὐτοῦ, τῆς εἰς θάνατον καταδίκης καὶ τῆς ἀναστάσεως, ὡς καὶ περὶ πολλῶν ἄλλων θαυμάτων, περὶ τοῦ ὅτι, π. χ. ἐθεράπευεν ἀσθενεῖς, ἀνίστα νεκρούς, κατὰ τὸν χρόνον τοῦ θανάτου αὐτοῦ ἐσκοτίσθη ὁ ἥλιος. Ὅτι δὲ αἱ πράξεις αὗται ἀδιστάκτως ὑπῆρχον, πρῶτος ὁ μάρτυς Ἰουστῖνος μαρτυρεῖ,* (*τὸ α', ἥμισυ τῆς β', ἑκατοντ. ἀκμάσας*), *καὶ δὶς παραπέμπει εἰς αὐτὰ*[249] *ἐν τῇ ἀπολογίᾳ, ἣν ἐν αὐτῇ τῇ Ῥώμῃ συνέγραψεν, ὅπου καὶ τὰ ἄκτα ταῦτα ἐφυλάσσοντο ἐν τῷ κοινῷ ἀρχείῳ, καὶ ὅπου εὐκόλως ἐρευνῆσαι ἠδύνατο ἀκριβῶς περὶ τῆς ἀληθείας ἐν τῇ ἀπολογίᾳ, ἥτις ἀπετείνετο πρὸς αὐτὸν τὸν αὐτοκράτορα, τὴν*

---

[248] *Ἀπολογίαν ὑπὲρ τῆς μαρτυρίας ταύτης τοῦ Φλαυΐου κατὰ τῶν διαφόρων ἀντιῤῥήσεων, αἵτινες ἀνεφάνησαν τοὺς νεωτάτους χρόνους, καὶ καθόλου λίαν ἀδυνάτων, ἀπαντῶμεν ἐν τοῖς ἐφεξῆς συγγράμμασι·* 1. Stelzig, Illustre Flavii Josephi Judai testimonium de Christo, Bamberg 1720. 2. J. Vernet, Traité de la vérité de la religion Chrétienne, tom. IX, Lavsan 1782. 3. Böhmert, Ueber des Flavius Jos. Zeugniß von Christo. Leipzig 1823. 4. *Μαρτυρία περὶ τοῦ Ἰησοῦ Χριστοῦ Ἰωσήπου τοῦ Φλαυΐου ἐν Χριστ. Ἀναγν.* 1834, I, *σελ.* 176-198.

[249] *Καὶ τὸ μὲν πρῶτον διηγούμενος τὴν σταύρωσιν τοῦ Σωτῆρος, λέγει. „Καὶ ταῦτα ὅτι γέγονε, δύνασθε μαθεῖν ἐκ τῶν ἐπὶ Ποντίου Πιλάτου γενομένων ἄκτων“. Ἀλλαχοῦ δέ, μνημονεύων τὰς διὰ θαύματος θεραπεύσεις τοῦ Σωτῆρος καὶ τὴν ὑπ' αὐτοῦ ἀνάστασιν τῶν νεκρῶν, λέγει. „Ὅτι δὲ ταῦτα ἐποίησαν ἐκ τῶν ἐπὶ Ποντίου Πιλάτου γενομένων αὐτῷ μαθεῖν δύνασθε“. Ἀπολογ. α', κεφ. λε', καὶ μη'.*

γερουσίαν καὶ πρὸς πάντα τὸν Ῥωμαϊκὸν λαόν· τ. ε. πρὸς τοιούτους, οἷς ἀδύνατον ἦν μὴ τὰ ἄκτα ταῦτα γινώσκειν· τῇ ἀπολογίᾳ δὲ ταύτῃ ὁ Ἰουστῖνος ἠβούλετο ὑπὲρ τῶν χριστιανῶν ἀπολογήσασθαι κατὰ τῶν ἀδικιῶν τῶν ἐθνικῶν, ἐν ᾗ ἔδει πρὸ πάντων περὶ τὴν πιστότητα τῶν ἀποδείξεων καταγενέσθαι, ἵνα μὴ ἐξελέγξει ὑποπέσῃ, καὶ βλάψῃ τὸ ἔργον αὐτοῦ. Εἰς τὰ ἄκτα ταῦτα παραπέμπουσι μετὰ τὸν Ἰουστῖνον ὁ Τερτυλλιανὸς (περὶ τὸ τέλος τῆς β', ἑκατοντ.) ἐν τῇ ἀπολογίᾳ αὐτοῦ, γραφείσῃ εἰς ὑπεράσπισιν τῶν Χριστιανῶν κατὰ τῶν ἐθνικῶν[250], ὁ Εὐσέβιος κατὰ τὰς ἀρχὰς τῆς δ',[251], ὁ ἅγιος Χρυσόστομος κατὰ τὸ β', ἥμισυ τῆς αὐτῆς ἑκατοντ.[252], καὶ ὁ Ὀρόσιος κατὰ τὰς ἀρχὰς τῆς ε',[253]. Ἐκ τούτων δὲ ὁ Εὐσέβιος ἑρμηνεύει αὐτὴν τὴν βιάσασαν τὸν Πιλάτον αἰτίαν οὕτω πρᾶξαι. „Παλαιοῦ κεκρατηκότος ἔθους, λέγει ὁ ἔμπειρος οὗτος ἱστορικός, τοῖς τῶν ἐθνῶν ἄρχουσι, τὰ περὶ σφίσι καινοτομούμενα τῷ τὴν βασίλειον ἀρχὴν ἐπικρατοῦντι σημαίνειν, ὡς ἂν μηδὲν αὐτὸν διαδιδράσκοι τῶν γινομένων, τὰ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς πάντας ἤδη καθ' ὅλης Παλαιστίνης βεβοημένα, Πιλάτος Τιβερίῳ βασιλεῖ κοινοῦται· ὡς τάς τε ἄλλας αὐτοῦ πυθόμενος τεραστείας, καὶ ὡς ὅτι μετὰ θάνατον ἐκ νεκρῶν ἀναστὰς ἤδη θεὸς εἶναι παρὰ τοῖς πολλοῖς ἐπιστεύετο“[254].

Μνηστέον δέ, ὅτι καὶ αὐτὸς ὁ τὸν Σωτῆρα ἡμῶν δικάσας

---

[250] Εἰπὼν ὁ Τερτυλλιανὸς περὶ τοῦ σκοτασμοῦ τοῦ ἡλίου κατα τὸν χρόνον τοῦ θανάτου τοῦ Σωτῆρος, προστίθησι· „Cum mundi casum in archivis vestris habetis“: εἶτα δέ, μνημονεύσας τὴν ἀνάστασιν τοῦ Χριστοῦ καὶ ἄλλα θαύματα, σαφέστερον ἐκφράζεται, λέγων· „Ea omnia super Christo Pilatus, et ipse jam pro sua conscientia christianus, Caesari tum Tiberio nunciavit. Apolog. advers. gentes cap. 21.

[251] Ἐκκλ. Ἱστορ. βιβλ. Β'. κεφ. β'.

[252] Ἑρμην. εἰς β'. Κορινθ. Ὁμιλ. κς'.

[253] Ἐκκλ. Ἱστορ. βιβλ. ζ, κεφ. γ', δ'.

[254] Βλ. ἀνωτέρω τὸ χωρίον τοῦτο. Ὅτι δὲ τοιοῦτον ἔθος παρὰ Ῥωμαίοις ἦν, ἀποδεικνύει καὶ ἡ γνωστὴ ἀναφορὰ Πλινίου τοῦ νεωτέρου πρὸς τὸν αὐτοκράτορα Τραϊανὸν τὸ 104 ἔτος Μ. Χ. περὶ τοῦ διωγμοῦ τῶν Χριστιανῶν. Relat. ad Trajapum Epist. libr. X, 97, καὶ ἐν ἀπολογ. Τερτυλλ. κεφ. β'.

Πιλάτος, ἀθῶον αὐτὸν ὡμολόγησε, καὶ παντοίως ἐσπούδασεν ἐλευθερῶσαι, ὅτι Σωτῆρα αὐτὸν αὐτὴ ἡ αὐτοῦ γυνὴ ἐνώπιον αὐτοῦ παρέστησε (Ματθ. κζ', 18-25), καὶ ὅτι ἔπειτα ὁ Πιλάτος, ἐξ ἀδυναμίας ἐνδοὺς τῇ ἐπιμόνῳ ἀπαιτήσει τῶν Ἰουδαίων, ὅτε ἤκουσε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, φυσικώτατα ἠδύνατο καὶ ἕνεκα τῆς συνειδήσεως αὐτοῦ καὶ ἕνεκα τοῦ φόβου ἐπισπεῦσαι τὴν ἀγγελίαν περὶ πάντων τούτων πρὸς τὸν αὐτοκράτορα τῆς Ῥώμης, ὅπως ἀποφύγῃ τὴν εὐθύνην τῆς εἰς θάνατον καταδίκης τοιούτου σπανίου ἀνδρός. Ἀλλ' ὅμως ἔτι μείζω διήγησιν ἀναφέρει ὁ Εὐσέβιος ταύτην. Ὁ αὐτοκράτωρ Μαξιμῖνος, σκληρότατος τῶν Χριστιανῶν διώκτης (τὸν γ'. αἰῶνα), συνταγῆναι ἐπέταξε καὶ διαδοθῆναι ἀνὰ πᾶσαν τὴν αὐτοκρατορίαν ψευδῆ ἄκτα ὑπὸ τὸ ὄνομα τοῦ Πιλάτου, πλήρη διαβολῶν καὶ λοιδωριῶν κατὰ τοῦ Ἰησοῦ Χριστοῦ[255]· ἆρα οὐ τοῦτο μαρτυρεῖ ῥητῶς, ὅτι ὑπῆρχόν ποτε καὶ γνήσια τοῦ Πιλάτου ἄκτα, ἅτινα ἀνέφερον εἰς ἐξέλεγξιν τῶν ἐθνικῶν καὶ κατὰ τὴν β'. ἑκατοντ. ὁ Ἰουστῖνος καὶ Τερτυλλιανός, καὶ ὧν τὸ περιεχόμενον, ὡς φαίνεται ἐκ τῶν λόγων τούτων τῶν συγγραφέων, ὅλως διάφορον ἦν; Ὁ γὰρ Τερτυλλιανὸς καὶ Εὐσέβιος ἀναφέρουσιν, ὅτι ἡ τοῦ Πιλάτου ἀναφορὰ περὶ τῶν θαυμάτων τοῦ Χριστοῦ ἐγράφη οὕτως, ὥστε ὁ Τιβέριος, ἀναγνοὺς αὐτήν, συμπεριλαβεῖν ἠβούλετο τὸν Ἰησοῦν Χριστὸν εἰς τὸν ἀριθμὸν τῶν Θεῶν, καὶ προέτεινε τοῦτο εἰς τὴν γερουσίαν, ἥτις τῷ αὐτοκράτορι οὐ συνωμολόγησε διὰ τὸ μὴ αὐτὸν τοῦτο ἐρευνῆσαι[256]. Ἐκτὸς δὲ τοῦ

---

[255] Ἐκκλ. Ἱστορ. βιβλ. θ', κεφ. ε'.

[256] Tiberius, cujus tempore nomen christianum in saeculum introivit, annunciatum sibi ex Syria Palaestina, quod illic veritatem illius divinitatis reclamaverat, detulit ad senatum cum praerogativa suffragii sui: senatus, quia non ipse probaverat, respuit. (Tertull. Apol. adv. gent. cap. 5). *Πῶς δὲ ἡ γερουσία οὕτως ἠδύνατο πρᾶξαι, ἑρμηνεύει ὁ αὐτὸς Τερτυλλιανός·* Vetus erat decretum, ut neque Deus ab imperatore consecraretur, nisi a Senatu probatus (*αὐτόθι*). *Τὸ αὐτὸ δὲ λέγει καὶ ὁ Εὐσέβιος· „Τὸν δὲ Τιβέριον ἀνενεγκεῖν μὲν τῇ συγκλήτῳ, ἐκείνην δ' ἀπώσασθαί φασι τὸν λόγον. Τῷ μὲν δοκεῖν, ὅτι μὴ πρότερον αὐτὴ τοῦτο δοκιμάσασα ἦν· παλαιοῦ νόμου κεκρατηκότος, μὴ ἄλλως τινὰ παρὰ Ῥωμαίοις θεοποιεῖσθαι, μὴ οὐχὶ ψήφῳ καὶ δόγματι συγκλήτου". Ἐκκλ. Ἱστορ. βιβλ. Β', κεφ. β'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Ποντίου Πιλάτου ἐμαρτύρησαν τὸ γνήσιον τῶν θαυμάτων τοῦ Χριστοῦ καὶ πολλοὶ ἄλλοι ἐθνικοί· π. χ.*

*β'. Ὁ Θαλλὸς εἴτε Θαλός, ἕλλην συγγραφεὺς τῆς α'. ἑκατοντ., λέγων, ὅτι τὸ ιη', ἔτος τῆς βασιλείας Τιβερίου αἰφνίδιον σκότος διεδόθη ποτὲ ἐπὶ τὴν γῆν κατ' αὐτὴν τὴν μεσημβρίαν· τοῦτο δ' ἦν τὸ ἔτος καὶ ἡ ὥρα τοῦ θανάτου τοῦ Χριστοῦ*[257].

*γ'. Φλέγων ὁ ἀπελεύθερος τοῦ αὐτοκράτορος Τραϊανοῦ (τὸν β'. ἀκμάσας αἰῶνα), ἀναφέρων ἰσχυρὸν σεισμόν, καταστρέψαντα ἐν Βιθυνίᾳ πολλὰς οἰκοδομάς, ἅμα δὲ καὶ σπάνιον (διὰ τὸ κατὰ τὴν μεσημβρίαν συμβῆναι) σκοτασμὸν τοῦ ἡλίου τὴν ἕκτην ὥραν τῆς ἡμέρας, καὶ ἀναφέρει τὰ γεγονότα ταῦτα πρὸς τὸ δ'. ἔτος τῆς σβ', ὀλυμπιάδος. τ. ε. πρὸς τὸ ιη', ἔτος τῆς βασιλείας Τιβερίου, ἄρα πρὸς τὸν χρόνον τοῦ θανάτου τοῦ Σωτῆρος*[258].

*δ'. Κέλσος ὁ ἐμπειρικὸς φιλόσοφος, τὴν β'. ἀκμάσας ἑκατοντ., λίαν λόγιος καὶ θερμότατος τοῦ Χριστιανισμοῦ ἀντίπαλος, ὃς οὐδαμῶς ἀποβάλλει τὴν γνησιότητα καθόλου πάντων τῶν εὐαγγελικῶν θαυμάτων, ἀλλὰ μόνον τῇ μαγείᾳ ταῦτα ἀποδίδωσι, καὶ οὐκ ἀποδέχεται, ὅτι ἔδει τὸν Ἰησοῦν Χριστὸν Θεὸν νομίζειν, διότι τυφλοὺς καὶ χωλοὺς μόνον ἐθεράπευεν*[259].

*ε'. Χαλκίδιος ὁ πλατωνικὸς φιλόσοφος, τὴν γ'. ἀκμάσας ἑκατοντ., ὃς ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ εἰς τὸν Πλάτωνος Τιμαῖον περὶ ἐμφανίσεως λέγει ἰδίου ἀστέρος, προαγγείλαντος τὴν ἐπὶ τῆς γῆς κατέλευσιν Θεοῦ, καὶ προσαγαγόντος τοὺς χαλδαίους σοφοὺς πρὸς τὴν κοιτίδα τοῦ θεόπαιδος, ὅπως προσκυνήσωσι καὶ δῶρα αὐτῷ πρασενέγκωσιν*[260].

---

[257] *Διαλ. Συριακ. Ἱστορ. βιβλ. γ'.*

[258] Quarte anno ducentessimae secundae olympiadis, magna et excellens inter omnes, quae ante eam acciderant, defectio solis facta. Dies hora sexta ita in tenebrosam noctem versus, ut stellae in coelo visae sint, terraeque motus in Bithynia Niceae urbis multas aedes subvertit (Phleg. Olymp. lib. XIII).

[259] *Βλ. παρ' Ὠριγένει κατὰ Κέλσ. βιβλ. α'. ἀρ.* 28, 38, 67, 68.

[260] Est quoque alia sanctior et venerabilior historia, quae perhibet, ortu stellae cujusdam ... descensum Dei venerabilis ad humanae conservationis rerumque mortalium gratiam. Quam stellam cum nocturno itinere inspexissent Chaldaeorum profecto sapientes viri, et conside-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ς'. Πορφύριος ὁ πλατωνικὸς φιλόσοφος, τὴν γ'. καὶ αὐτὸς ἀκμάσας ἑκατοντ.[261], καὶ πολλοὶ ἄλλοι αὐτῷ σύγχρονοι φιλόσοφοι, κατ' Ἀρνόβιον, οἵτινες ὁμοίως οὐκ ἠρνοῦντο τὴν ὕπαρξιν τῶν τοῦ Χριστοῦ θαυμάτων, ἀλλὰ μόνον ἀπεδίδοσαν αὐτὰ τῇ μαγείᾳ[262].

ζ'. Ἱεροκλῆς ὁ Ἀλεξανδρείας διοικητὴς τὸ 303 ἔτος ἐπὶ Διοκλητιανοῦ τοῦ αὐτοκράτορος, ὃς ὁμολογεῖ μὲν τὴν γνησιότητα τῶν τοῦ Χριστοῦ θαυμάτων, προθυμεῖται δ' ἀντιθεῖναι πρὸς τὰ Ἀπολλωνίου τοῦ Τιανοῦ[263].

η'. Καὶ αὐτὸς ὁ θερμότατος τοῦ Χριστιανισμοῦ ἐχθρὸς Ἰουλιανὸς ὁ παραβάτης (τὴν δ'. ἑκατοντ.), ὃς οὐκ ἀρνήσασθαι ἐτόλμησε τὸ ἀληθὲς τῶν θαυμάτων τούτων, προθυμούμενος μόνον ἄσημον αὐτὰ παραστῆσαι ἔργον. „Ὁ δὲ Ἰησοῦς, λέγει, ἀναπείσας τὸ χείριστον τῶν παρ' ὑμῖν ὀλίγους πρὸς τοῖς τριακοσίοις ἐνιαυτοῖς ὀνομάζεται, ἐργασάμενος παρ' ὃν ἔζη χρόνον ἔργον οὐδὲν ἀκοῆς ἄξιον, εἰ μήτις οἴεται τοὺς κυλλοὺς καὶ τυφλοὺς ἰάσασθαι, καὶ δαιμονῶντας ἐφορκίζειν ἐν Βηθσαϊδᾷ καὶ ἐν Βηθανίᾳ ταῖς κώμαις, τῶν μεγίστων ἔργων εἶναι"[264].

Καθόλου δ' εἰπεῖν οὐδεὶς τῶν τοὺς πρώτους τοῦ Χριστιανισμοῦ αἰῶνας ἐθνικῶν τὸ ἀληθὲς τῶν εὐαγγελικῶν ἠρνεῖτο θαυμάτων· ὅπερ δῆλον σαφῶς ἐκ τῶν τότε γραφεισῶν χριστιανικῶν ἀπολογιῶν, ἐν αἷς οἱ τῆς πίστεως ὑπέρμαχοι πεποιθότες λέγουσι περὶ τῶν εὐαγγελικῶν θαυμάτων, ὡς περὶ πράξεων ἀποδεδειγμένων, καὶ περὶ ὧν οὐδεὶς πρὸς αὐτοὺς φιλονεικεῖ, καὶ ἀγωνίζονται ταύτην τῶν ἐθνικῶν τὴν γνώμην ἀνασκευάσαι, ὅτι δῆθεν μαγίᾳ τὰ θαύματα ἐξετελοῦντο, καὶ δῆθεν ὅμοια καὶ δὴ καὶ ἀνώτερα θαύματα πολλάκις διεπράχθησαν ὑπὸ τῶν Θεῶν καί τινων ἡρώων τῶν ἐθνικῶν[265].

---

ratione rerum coelestium satis exercitati, quaesiisse dicuntur recentem ortum Dei, repertaque illa majestate puerili, veneratos esse et vota Deo tanto convenientia nuncupasse.

261 Βλ. παρ' Εὐσεβ. Εὐαγγ. προπαρασκ. βιβλ. ε', κεφ. α'.

262 Arnob. adv. gentes lib. 1, pag. 25.

263 Βλ. παρ' Εὐσεβ. κατὰ Ἱεροκλ.

264 Βλέπ. παρὰ Κυρίλλῳ τῷ Ἀλεξανδρείας κατὰ Ἰουλιαν. βιβλ. ς'.

265 Συλλογὴ τῶν διαφόρων μαρτυριῶν τῶν ἐθνικῶν περὶ τῶν εὐαγγε-

*Μετὰ τοσοῦτο περὶ τῆς ἀξιοπιστίας τῶν εὐαγγελικῶν θαυμάτων πλῆθος μαρτύρων ἡμετέρων τε καὶ ξένων, φίλων τε καὶ ἐχθρῶν τοῦ Χριστιανισμοῦ, διστάζειν περὶ τῆς γνησιότητος αὐτῶν ἀδιστάκτως ἔργον ἂν εἴη μεγίστης ἱστορικῆς οὐκ ὀρθότητος καὶ τῶν σκεπτικῶν ἴδιον.*

§. 100. *Περὶ τῶν προφητειῶν τοῦ Χριστοῦ* [266].

*Τῶν προφητειῶν τοῦ Ἰησοῦ Χριστοῦ αἱ μὲν αὐτῷ τῷ ἰδίῳ ἀνάγονται, αἱ δὲ τοῖς αὐτοῦ μαθηταῖς, αἱ δὲ τῇ διδασκαλίᾳ καὶ τῇ Ἐκκλησίᾳ, αἱ δὲ τῇ τύχῃ τῆς Ἱερουσαλὴμ καὶ ἅπασι τοῖς Ἰουδαίοις, αἱ δὲ τοῖς ἐσχάτοις τοῦ κόσμου.*

I. *Καὶ περὶ μὲν ἑαυτοῦ ὁ Σωτὴρ προεῖπε τάδε· „Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι· κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται (Ματθ. κ',* 18, 19· *παράβ. Λουκ. ιη',* 31, 32)". *Ὅτι δὲ ἡ πρόῤῥησις αὕτη ἀληθής ἐστι προφητεία, δεικνύουσι α'. ἡ ἐντελὴς σαφήνεια, ἀκρίβεια καὶ ὁριστότης· καὶ γὰρ ὁ Σωτὴρ ἐξεφράσατο αὐτὴν πολλάκις (Ματθ. ιβ',* 40· *ις',* 21· *ιζ,* 22, 23· *Ἰωάν. ι',* 17 *κλπ.), καὶ ἀεὶ τὴν αὐτὴν ἀπεφήνατο· β'. εἰδικοῖς ἀνάγεται συμβάσιν, ἃ οὐδαμῶς οἷόν τ' ἦν εἰκάσαι ἐκ τῶν φυσικῶν συλλογισμῶν· ὁ γὰρ Σωτὴρ λέγει καὶ περὶ τοῦ θανάτου αὐτοῦ καὶ περὶ τοῦ ὅτι ῥητῶς ἐν Ἱερουσαλὴμ οὗτος συμβήσεται, ὅτι παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι καὶ ἐθνικοῖς, οἵτινες λοιδωρήσουσι καὶ ὀνειδίσουσι καὶ ἐμπτύσουσιν αὐτόν, καὶ ὅτι ὁ σταυρικὸς αὐτὸν περιμένει θάνατος· γ'. πρὸς ταύταις ταῖς ἐντε-*

---

*λικῶν θαυμάτων παρὰ πολλοῖς ἀπαντᾶται συγγραφεῦσιν· οἷον, παρ' Εὐσεβ. ἐξήγ. Εὐαγγελ.· Οὐετίῳ,* Demonst. Evang. *Οὐττεβίλῳ,* La religion Chrétienne, prouvée par des faits: *Δομινίκῳ δὲ Κολονίῳ,* la religion Chrét., autorisée par le témoignage des anciens auteurs paiens. *Ἀδησσῶνι,* De la religion Chrétienne; *Βουλέτῃ,* Histoire de l'établissement du Christianisme, tirée des seuls auteurs juifs et païens, *κτλ.*

[266] 1. Die göttliche Sendung Jesu aus seinen Weissagungen erwiesen, von Dr. Sandermann, in Frints theol. Zeitschrift 1821, IX. Jahrg. II. Bd. I. H. 2. Jesus, der göttliche Prophet, von Staudlin, Göttingen 1824.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῶς τυχαίαις περιστάσεσι προλέγει ὁ Ἰησοῦς Χριστὸς καὶ μίαν ἐν τῇ κυρίᾳ σημασίᾳ θαυματικήν, τὴν ἰδίαν ἀνάστασιν, ἣν οὐχ οἷος ἦν προϊδεῖν κατὰ τοὺς φυσικοὺς διαλογισμούς· δ'. πᾶσαι αὗται αἱ λεπτότητες τῆς προφητείας ἀκριβέστατα ἐξεπληρώθησαν (Ματθ. κς', κζ'· Λουκ. κγ', κδ'.).

II. Τῶν δὲ προφητειῶν περὶ τῶν ἀποστόλων αἱ μὲν ἀνήγοντο πρὸς ἕνα τινὰ αὐτῶν, αἱ δὲ πρὸς πάντας. Καὶ γὰρ α'. προεῖπεν, ὅτι εἷς τῶν μαθητῶν παραδώσει τὸν αὐτοῦ Διδάσκαλον, οὐδενὸς αὐτῶν τοῦτο εἰδότος, καὶ αὐτὸν δὴ τὸν προδότην προέδειξε (Ματθ. ις', 21· Μάρκ. ιδ', 18· Λουκ. κβ', 21· Ἰωάν. ιγ', 31 καὶ ἑπ.)· β'. τῷ ἀποστόλῳ Πέτρῳ, βεβαιοῦντι εἰς τὴν ἰδίαν πρὸς αὐτὸν ἀφοσίωσιν, τὴν ἑτοιμότητα καὶ συναποθανεῖν καὶ μὴ ἀφιέναι αὐτόν, καὶ εἰ ἅπαντες οἱ ἄλλοι καταλίποιεν, προεῖπεν, ὅτι ἐναντίον πασῶν τῶν διαβεβαιώσεων αὐτοῦ ἀρνηθήσεται τὸν Διδάσκαλον τρὶς κατ' αὐτὴν ἐκείνην τὴν νύκτα καὶ πρὶν ἀλέκτωρ φωνήσῃ (Ματθ. κς', 30-35· Μάρκ. ιδ', 29, 30· Λουκ. κβ', 33, 34)· β'. προεῖπεν αὐτῷ μὲν τὴν βασανιστικὴν αὐτοῦ τελευτὴν (Ἰωάν. κα', 18), πᾶσι δὲ τοῖς ἀποστόλοις, ὅτι α'. καταλείψουσι τὸν Διδάσκαλον, ὅτε παραδοθήσεται, καὶ διασκορπισθήσονται ὥσπερ πρόβατα, μὴ ἔχοντα ποιμένα, καίτοι οἱ ἀπόστολοι προεθυμοῦντο αὐτὸν εἰς τοὐναντίον διαβεβαιῶσαι (Ματθ. κς', 31, 35)· β'. μετὰ τὴν ἀνάληψιν αὐτοῦ κατελεύσεται ἐπ' αὐτοὺς τὸ ἅγιον Πνεῦμα (Ἰωάν. ιδ', 26· ιε', 26· ις', 7 καὶ ἑπ.), καὶ τοῦτο ἐν Ἱερουσαλὴμ συμβήσεται (Πράξ. α', 4, 8)· γ'. αὐτοί, ὡς καὶ πάντες οἱ εἰς αὐτὸν πιστεύοντες, μεγάλα ποιήσουσι θαύματα (Μάρκ. ις', 17, 18· Ἰωάν. ιδ', 12)· δ'. ἕνεκα αὐτοῦ διωχθήσονται, βασανισθήσονται καὶ θανατωθήσονται (Ματθ. ι', 17· κδ', 9· Λουκ. κα', 12· Ἰωάν ιε', 20· ις', 2).

III. Περὶ δὲ τῆς διδασκαλίας αὐτοῦ προεῖπεν ὁ Σωτήρ, ὅτι α'. τὸ Εὐαγγέλιον ἀνὰ πᾶσαν διαδοθήσεται τὴν γῆν ἔν τε τοῖς Ἰουδαίοις καὶ ἐθνικοῖς (Ματθ. η', 11, 12· κδ', 14· Μάρκ. ιγ', 10· Λουκ. κδ', 47· Ἰωάν. ι', 16· ιβ', 32· Πράξ. α', 8)· β'. τὴν αὐτοῦ Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσι, καὶ ἐπὶ τῆς γῆς στηριχθήσεται, καὶ ἔσται μέχρι συντελείας τοῦ κόσμου (Ματθ. ις', 18· κε', 20)· γ'. τὸ ἁγιώτατον τῆς εὐχαριστίας μυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στήριον τελεσθήσεται ἐπὶ τῆς γῆς μέχρι τῆς δευτέρας αὐτοῦ ἐνδόξου ἐλεύσεως (Λουκ. κβ', 16· παράβ. α'. Κορ. ια', 24 καὶ ἑπ.). Προεῖπε δὲ ταῦτα, ὅτε κατὰ πάντας τοὺς ἀνθρωπίνους διαλογισμοὺς τοὐναντίον ἔδει προσδοκᾶν. Ὁ γὰρ Σωτὴρ πανταχόθεν ὑπ' ἐχθρῶν περιεκυκλοῦτο, οἵτινες ἐν χερσὶ πᾶσαν τὴν κοινὴν εἶχον ἐξουσίαν, καὶ αὐτὸν αὐτὸς ὁ θάνατος περιέμενεν, ὅπερ προεῖδεν· ἡ δὲ διδασκαλία αὐτοῦ ῥητῶς ἐναντία ἦν τῇ σοφίᾳ καὶ τοῖς ἤθεσι τῶν συγχρόνων, ὅπερ καὶ ἐπειράσατο (Ἰωάν. ς', 66· Ματθ. ιθ', 22)· καὶ πρὸς διάδοσιν αὐτῆς δώδεκα μόνοι ἦσαν αὐτῷ μαθηταὶ ὅλως ἀγράμματοι, οὓς κατὰ τὴν προφητείαν αὐτοῦ πάγκοινον περιέμενε μῖσος, διωγμοί, βασανιστικὸς θάνατος κτλ. Πῶς οὖν οἷον ἦν, τοσούτων ὑπαρχόντων κωλυμάτων, μετὰ θετικότητος διαβεβαιοῦν, ὅτι τὸ μὲν Εὐαγγέλιον ἀνὰ πᾶσαν διαδοθήσεται τὴν γῆν, οἱ δ' αὐτοῦ ὀπαδοὶ κοινωνίαν ἀποτελέσουσιν, ἥτις ἀκλόνητος διαμενεῖ μέχρι συντελείας τοῦ αἰῶνος; Μόνος ὁ παγγνώστης καὶ παντοδύναμος Θεὸς στηρίζειν τοῦτο οἷος ἦν.

IV. Ἐν δὲ τῇ προφητείᾳ περὶ τῆς τύχης τῆς Ἱερουσαλὴμ καὶ τῶν Ἰουδαίων ὁ Ἰησοῦς Χριστὸς διαφόρους προεῖπε περιστάσεις, πρὸ τῆς καταστροφῆς τῆς ἁγίας πόλεως καὶ παντὸς τοῦ Ἰουδαϊκοῦ βασιλείου προηγηθείσας, καὶ κατ' αὐτὴν τὴν δεινὴν ἐκτέλεσιν γενομένας, καὶ μετ' αὐτὴν ἐπακολουθησάσας.

1. Καὶ αἱ μὲν προηγηθεῖσαι περιστάσεις ὑπαχθῆναι δύνανται εἰς τὰς πέντε ταύτας.

α'. „Πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλοὺς (Ματθ. κδ', 11· Μάρκ. ιγ', 6)". Καὶ εἰ μὲν τοῦτο ἐγένετο ἐπὶ τῆς προφητικῆς περιόδου, ὅτε συχνάκις καὶ ψευδεῖς ἐφαίνοντο προφῆται, ἡ προφητεία αὕτη μηδὲν ἂν περιεῖχε θαυμάσιον. Ἀλλ' ὅτε ἀπὸ τῆς βαβυλωνίας αἰχμαλωσίας ἡ τῶν προφητῶν σειρὰ διεκόπη, ἦν δυνατὸν προσδοκᾶν καὶ προφητεύειν κατὰ μόνους τοὺς φυσικοὺς διαλογισμούς, ὅτι ταχέως ψευδοπροφῆται ἀναφανήσονται; Καὶ ὅμως τοῦτο ἐξεπληρώθη ἀκριβέστατα. Καὶ γὰρ πρὸ τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ ὄντως ἀνεφάνησαν πολλοὶ ψευδοπροφῆται, καὶ ἠπάτησαν πολλούς· οἷον, Θευδᾶς (Πράξ. ε', 36· παράβ. Ἰωσήπ. Ἀρχαιολ. βιβλ. κ', κεφ. ε'.), Σίμων ὁ μάγος (Πράξ. η', 9, 10), Ἐλύμας (ιγ',

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

8), *Αἰγύπτιός τις, ὃς καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων* (κα', 38) *καὶ παρ' Ἰωσήπῳ*[267] *ἀναφέρεται, Δοσίθεος*[268] *καὶ ἄλλοι ἀπαταιῶνες, οἵτινες ἐπὶ Νέρωνος* (55-68), *ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν διασπαρέντες, προέτρεπον τὸν λαὸν κατὰ τῶν Ῥωμαίων ἐπαναστῆναι, καὶ εἰς τὴν ἔρημον ἐκάλουν αὐτόν, μέγα ἐκεῖ θαῦμα αὐτῷ δεῖξαι ὑπισχνούμενοι*[269].

*β'. „Μελλήσετε ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων. ὁρᾶτε, μὴ θροεῖσθε. δεῖ γὰρ γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος· ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ καὶ σεισμοὶ κατὰ τόπους (Ματθ. κδ',* 6, 7)". *Ἡ δὲ ἱστορία μαρτυρεῖ, ὅτι ἀπὸ τοῦ θανάτου τοῦ Νέρωνος μέχρι τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ* (68-70) *ἐν τῇ Ῥωμαϊκῇ αὐτοκρατορίᾳ ἀδιάκοπος ἦν σειρὰ πολέμων μεταξὺ Ὄθωνος, Οὐϊτελλίου καὶ Οὐεσπασιανοῦ, ταραχαὶ δὲ καὶ στάσεις ἐν διαφόροις συνέβησαν χώραις, Καισαρείᾳ, Πτολεμαΐδι, Σκυθοπόλει, Τύρῳ, Δαμασκῷ, Ἀλεξανδρείᾳ. Καὶ τρὶς μὲν τὴν Ἰταλίαν ἐπὶ Κλαυδίου καὶ Νέρωνος περὶ τοῦτον τὸν χρόνον λιμὸς κατηρήμωσεν*[270], *ἅπαξ δὲ τὴν Ἰουδαίαν*[271]· *λοιμὸς δ' ἐν Ῥώμῃ, Καμπανίᾳ καὶ Ἱερουσαλὴμ ἐμαίνετο*[272], *τρομεροὶ δὲ σεισμοὶ ὅλας ἀνέτρεψαν πόλεις ἐν Ἀσίᾳ, Σικελίᾳ, Καλαυρίᾳ, Πόντῳ, Καμπανίᾳ, Μακεδονίᾳ καὶ Ἀχαΐᾳ*[273].

*γ'. „Φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται (Λουκ. κα',* 11)". *Τὰ θαυματικὰ ταῦτα σημεῖα, ἅτινα μόνος ὁ παγγνώστης καὶ παντοδύναμος ὁ τὸν κόσμον διευθύνων ἀναμφιλέκτως γινώσκειν ἠδύνατο, ὄντως προηγήθησαν τῆς καταστροφῆς τῆς Ἱερουσαλήμ. Φλάβιος δὲ καὶ Τάκιτος ὁμοφώνως μαρτυροῦσιν, ὅτι πρὸ τοῦ χρόνου ἐκείνου οἱ τῆς ἁγίας πόλεως κάτοικοι κίνησιν ἐν τῷ ἀέρι ἤκουον ἀοράτου στρατοῦ καὶ ἁρμάτων·*

---

[267] *Ἀρχαιολ. κ', κεφ. β'. Περὶ Ἰουδ. πολέμ. β', κεφ. κγ'.*
[268] *Βλ. παρ' Ὠριγέν. κατὰ Κέλσ. βιβλ. Α'. ἀρ.* 17.
[269] *Φλαβίου Ἀρχαιολ. κ'. κεφ. ε', καὶ η'.*
[270] Tacit. Annal. VIII, cap. 12: XVI, cap. 13: Sueton. in Nerone.
[271] *Ἀρχαιολ. κ', κεφ. γ'.*
[272] *Φλαβίου περὶ Ἰουδ. πολέμ. ς', κεφ. μέ.*
[273] Tacit. Histor. I, cap. 2; Plin. Histor. Nat. II, cap. 84 seu 86.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἐν δὲ τῷ ναῷ ποτε τὸ μεσονύκτιον ὤφθη περὶ τὸ θυσιαστήριον ὅμοιον τῷ τῆς ἡμέρας φῶς, καὶ ἄλλοτε αἱ ἀνατολικαὶ χαλκαῖ τοῦ ναοῦ πύλαι, ἃς μετὰ πόνου εἴκοσιν ἄνθρωποι κλεῖσαι ἠδύναντο, ἠνεῴχθησαν μόναι περὶ τὴν ς', ὥραν τῆς νυκτός· τὴν δὲ νύκτα τῆς Πεντηκοστῆς ἰσχυρὰ διεδόθη ἐκ τοῦ ἱεροῦ φωνὴ ὡσεὶ πολλῶν ἀνθρώπων, φάντων· „ἄγωμεν ἐντεῦθεν"*[274].

δ'. „*Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη πολλῶν* (Ματθ. κδ', 12)". *Καὶ περὶ τούτου ὁ Φλάϊος λέγει· „Οἶμαι, Ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἀλιτηρίους* (*Ἰουδαίους*) *καταποθῆναι ὑπὸ τοῦ χάσματος ἢ κατακλυσθῆναι τὴν πόλιν, ἢ τοὺς τῆς Σοδομικῆς μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα παθόντων ἔνεγκε γενεὰν ἀθεωτέραν*[275].

ε'. „*Πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου* (*Λουκ. κα'*, 12)". *Καὶ τοῦτο ἐξεπληρώθη· ἐξ αὐτῆς γὰρ τῆς ἀρχῆς τοῦ κηρύγματος κατεδιώχθησαν οἱ ἀπόστολοι, ὑπό τε τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν προσήχθησαν εἰς τὰ δικαστήρια, καθείρχθησαν, καὶ μέχρι τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ ἔσπευσαν ἤδη βασανιστικοῦ γεύσασθαι θανάτου· οἷον, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου, Πέτρος καὶ Παῦλος.*

2. *Περὶ δὲ αὐτῆς τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ καὶ τῶν τῇ καταστροφῇ ἀκολουθησασῶν περιστάσεων προεῖπεν ὁ Σωτὴρ*

α'. *Τὸν χρόνον τοῦ γεγονότος· „ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται* (Ματθ. κδ', 34· *Λουκ. κα'*, 32)". *Καὶ ἀληθῶς ἡ τῆς Ἱερουσαλὴμ καταστροφὴ* 36 *ἢ* 37 *ἔτη μετὰ τὴν ἔκφρασιν τῆς προφητείας ἐγένετο, ὥσπερ ἐκ τοῦ Φλαυΐου γινώσκομεν*[276].

---

[274] *Ἰωσὴπ. Φλαυΐου περὶ Ἰουδ. πολ. ς', κεφ. λα'.* Tacit. Histor. V., cap. 13.

[275] *Περὶ Ἰουδ. πολέμου ε', κεφ. ιγ'.*

[276] *Περὶ Ἰουδ. πολ. βιβλ. ζ'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



β'. Τὴν ἀπομάκρυνσίν τινων ἀπὸ τῆς Ἱερουσαλὴμ μέχρι τῆς πολιορκίας· „Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη (Ματθ. κδ', 16)". Καὶ κατὰ τὸν Εὐσέβιον οἱ χριστιανοὶ ἀπῆλθον ἐκ τῆς Ἱερουσαλὴμ εἰς τὴν ὀρεινὴν εἰς τὴν πόλιν Πέλλαν[277].

γ'. Τὸν τῆς πολιορκίας τρόπον· „Καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι Ἱερουσαλήμ, καὶ περικυκλώσουσί σε καὶ συνέξουσί σε πανταχόθεν (Λουκ. ιθ', 43· κα', 20)". Οὕτω καὶ ἔπραξεν ὁ Τίτος, ὅς, βουλόμενος πᾶσαν ἐξωτερικὴν κωλῦσαι πρὸς τοὺς πολιορκουμένους βοήθειαν καὶ πᾶν τὸ δυνατὸν πρὸς φυγήν, ὅπως τάχιον αὐτοὺς παραδοθῆναι ἀναγκάσῃ, τεῖχος περὶ τὴν Ἱερουσαλὴμ οἰκοδομῆσαι προσέταξεν (ὅπερ ἐν ταῖς πολιορκίαις ἄχρηστον μέχρι τότε ἦν), καὶ τὸ γιγάντιον τοῦτο ἔργον εἰς τρεῖς ἐξετελέσθη ἡμέρας ὑπὸ τῶν Ῥωμαϊκῶν ταγμάτων[278].

δ'. Τὰς τῶν πολιορκουμένων δυστυχίας· „Ἔσται τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται (Ματθ. κδ', 21)· οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις (19)" Καὶ ὁ Φλάϊος, τὰς δυστυχίας ταύτας περιγράφων, ταῖς αὐταῖς ἐκφράζεται σχεδὸν λέξεσι τοῦ Εὐαγγελίου, ἀπίθανον ἡγούμενος, ὅτι ἀπὸ κτίσεως κόσμου ἦν πόλις τις, τοσοῦτο ὑπενεγκοῦσα, ὅσον τότε ἡ Ἱερουσαλὴμ[279]. Οἱ δὲ πρὸς βοήθειαν τῆς Ἱερουσαλὴμ κληθέντες Ἰδουμαῖοι κατ' αὐτὴν τὴν εἰς τὴν ἁγίαν πόλιν εἴσοδον καθήμαξαν τὰς ἀγυιὰς αὐτῆς, 18,000 πολιτῶν φονεύσαντες· τρεῖς δὲ κακοῦργοι φατρίαι ἐσχηματίσθησαν, αἵτινες, τοὺς προασπιστὰς τῆς πατρίδος προσποιούμεναι, αἱματηρὰς ἐν τῇ πόλει, τῷ ναῷ καὶ αὐτῷ τῷ ἱερῷ προσήγαγον ἔριδας, καὶ οὔτε γένους, οὔτε ἡλικίας, οὔτε καταστάσεως ἐφείδοντο, γέροντας, γυναῖκας καὶ παιδία ἐν τῇ κοίτῃ φονεύουσαι. Πολλοὶ δὲ τῶν πολιτῶν ἔσπευσαν ἐν ὑπογείοις περὶ τὴν Ἱερουσαλὴμ κρυβῆναι· ἀλλ' ὑπὸ τῶν Ῥωμαίων συλλαμβανόμενοι, κατὰ διαταγὴν τοῦ Τίτου ἐσταυροῦντο ἀνὰ πεντακοσίους καθ' ἑκάστην ἀπέναντι

---

[277] Ἐκκλ. Ἱστορ. ζ, κεφ. ε'.

[278] Φλαυΐου περὶ Ἰουδ. πολ. ε', κεφ. ιβ'.

[279] Βιβλ. ε', κεφ. κζ'.

τῆς πόλεως καὶ τοῦ ναοῦ. Μετὰ βραχὺ δὲ δεινὴ ἀνεφάνη πεῖνα, καὶ αὐτῇ ἠκολούθησεν ὀλετήριος λοιμός, ὥστε ἐν αὐτῇ σχεδὸν τῇ πολιορκίᾳ ἀπεῤῥίφθησαν ἐκ τῆς Ἱερουσαλὴμ διὰ τῶν πυλῶν μόνον μέχρις 115 χιλιάδων πτωμάτων· οἱ δὲ ζῶντες ἐτρέφοντο τοῖς πτώμασι τῶν τεθνεώτων, καὶ μήτηρ τις, ἐν ἀπελπισίᾳ οὖσα, τὸ ἴδιον πρὸς βρῶσιν τέκνον ἔσφαξε[280].

ε΄. Τὸν βαθμὸν αὐτῆς τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ καὶ τὸν ὄλεθρον τῶν Ἰουδαίων· „Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται (Ματθ. κδ΄, 2)· καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου ἐν σοί, καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθου (Λουκ. ιθ΄, 44)". Ἐρεθισθέντα τὰ Ῥωμαϊκὰ τάγματα ἕνεκα τῆς ἐμμόνου ἀντιστάσεως τῶν Ἰουδαίων, καταλαβόντα τὴν Ἱερουσαλήμ, οὐδενὸς ἐφείσαντο· πόλις καὶ τὰ περικείμενα χωρία εἰς ἔκτασιν σταδίων τινῶν καὶ τὰ ὕδατα τοῦ Ἰορδάνου αἱματόφυρτα ἦσαν, ἐν αὐτῇ δὲ τῇ Ἱερουσαλήμ, κατὰ Φλάβϊον, οὐδὲ σημεῖον ἔμεινεν, ὅτι αὕτη εἶχέ ποτε κατοίκους[281]. Ἀλλὰ καὶ ὁ ναός, καίτοι ὁ Τίτος θερμῶς ἠβούλετο καὶ προσέταξε τὴν διαφύλαξιν τοῦ μεγαλοπρεποῦς τούτου οἰκοδομήματος, ἕνεκα τῆς ἀπροσεξίας στρατιώτου τινὸς κατεκάη. Κατὰ τὴν διάρκειαν δὲ τῆς πολιορκίας κατεστράφησαν περὶ τὰς 110 μυριάδας Ἰουδαίων[282].

3. Τὰ δὲ μετὰ ταῦτα συμβάντα ὁ Σωτὴρ ἐξεφράσατο ἐν τούτοις· „Καὶ πεσοῦνται ἐν στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη, καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρις οὗ πληρωθῶσι καιροὶ ἐθνῶν (Λουκ. κα΄, 24)". Καὶ ὁ Φλάβϊος ἀναφέρει, ὅτι ᾐχμαλωτίσθησαν μετὰ τὴν τῆς Ἱερουσαλὴμ ὑπὸ Τίτου καταστροφὴν περὶ τὰς 97,000, ὧν πολλοὶ ἐν τῇ αἰχμαλωσίᾳ ἠφανίσθησαν, οἱ μὲν πρὸς ἀλλήλους μαχόμενοι; οἱ δὲ πρὸς θηρία· πολλοὶ δὲ εἰς Αἴγυπτον, Ἀλεξάνδρειαν καὶ ἀλλαχοῦ δοῦλοι πωληθῆναι ἐπέμφθησαν[283]. Ἑβδομήκοντα δὲ ἔτη ἕνεκα νέων ταραχῶν τῶν Ἰουδαίων αὖθις ἡ Ἱε-

---

[280] Φλαυΐου περὶ Ἰουδ. πολέμ. βιβλ. ς΄, καὶ ζ΄.
[281] Βιβλ. Ζ΄, κεφ. α΄.
[282] Βιβλ. ς΄, κεφ. με΄· ε΄, κζ΄.
[283] Φλαυΐου περὶ Ἰουδ. πολ. βιβλ. ς΄, κεφ. με΄· ζ΄, κεφ. β΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρουσαλὴμ κατελήφθη ὑπὸ τῶν Ῥωμαίων, ὅτε περὶ τὰς 580,000 Ἰουδαίων ἀπώλοντο. Ἀλλὰ τότε κατὰ προσταγὴν τοῦ αὐτοκράτορος Ἀδριανοῦ ἡ μὲν πόλις ἀνετράπη, τὰ δὲ ἐρείπια τοῦ ναοῦ ἠροτριάσθησαν, νέα δὲ πόλις μετὰ νέων κατοίκων καὶ νέου ὀνόματος (Ἐλία) καὶ θεῶν ἀνηγέρθη ἐπὶ τοῦ τόπου τῆς Ἱερουσαλὴμ, οἱ δὲ Ἰουδαῖοι ἐσαεὶ ἐξ αὐτῆς ἐξώσθησαν, καὶ ἁπανταχοῦ διεσπάρησαν. Ἔκτοτε ἡ ἁγία πόλις, καίπερ, τοῦ χρόνου προϊόντος, τὸ πρότερον ἔλαβεν ὄνομα, παραδέδοται καὶ ἄχρι νῦν τοῖς ἐθνικοῖς εἰς ὕβριν. Πᾶσαι δὲ αἱ ἀπόπειραι Ἰουλιανοῦ τοῦ παραβάτου καὶ αὐτῶν τῶν Ἰουδαίων τὴν Ἱερουσαλὴμ καὶ τὸν ναὸν ἀνεγεῖραι μάταιαι ἀπέβησαν.

Καὶ λοιπὸν οὔτε ἓν ἰῶτα ἐκ τῆς δεινῆς τοῦ Ἰησοῦ προφητείας περὶ τῆς τύχης τῆς Ἱερουσαλὴμ ἀνεκπλήρωτος ἔμεινε! Λίαν δὲ καταληπτόν ἐστι, διὰ τί οἱ ἀρχαῖοι ὑπὲρ τοῦ Χριστιανισμοῦ ἀπολογηταὶ τὴν προφητείαν ταύτην ἐδείκνυον ὡς ἰσχυροτάτην ἀπόδειξιν τῆς θειότητος τῆς ἁγίας θρησκείας.

4. Τὰς προφητείας τοῦ Χριστοῦ περὶ τῶν ἐσχάτων τοῦ κόσμου, τ. ε. τοῦ τέλους αὐτοῦ (Λουκ. κα', 34-36), τῆς ἀναστάσεως τῶν νεκρῶν (Ματθ. κβ', 30-32), τοῦ κοινοῦ κριτηρίου καὶ τῶν ἀποτελεσμάτων αὐτοῦ (Ματθ. κε', 31-46) περιττὸν θεωρῆσαι νομίζομεν. Διό, παραλιπόντες ταῦτα, μεταβαίνομεν εἰς τὴν ἔρευναν τοῦ μεγίστου τῶν εὐαγγελικῶν θαυμάτων καὶ προφητειῶν.

### §. 101. Περὶ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ ἐκ τῶν νεκρῶν[285].

Ἡ ἀνάστασις τοῦ Κυρίου ἡμῶν οἱονεὶ στέφανός ἐστι πάντων τῶν σπανίων συμβάντων, δι' ὧν ἀποδείκνυται ἡ θεία αὐτοῦ

---

[284] Χρυσοστ. πρὸς Ἰουδ. περὶ τοῦ ὅτι ὁ Ἰησοῦς Χριστὸς Θεός ἐστιν. ἀρ. 16. Ἰσιδώρ. Πηλουσ. βιβλ. δ', ἐπιστ. οδ', κτλ.

[285] 1. Ἱστορία τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Χριστ. Ἀναγν. 1833, 11, σελ. 19· 2. Ἀπόδειξις, γνωρίσματα καὶ ἐπακολουθήματα τῆς ἀναστάσεως τοῦ Χριστοῦ· αὐτόθι σελ. 42· 3. Les témoiens de la résurrection de J.-C., examinés et jugéels son les règles du barreau, par Scherlock, trad. de l'anglais. Hag. 1732. 4. Humfredi Ditton, veritas religionis Christianae ex resurrectione Jesu Christi, demonstrativa methodo com-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταγωγὴ καὶ ἀποστολὴ καὶ ἡ θεία τῆς θρησκείας αὐτοῦ ἀρχή. Τοῦτο δὲ καὶ αὐτὸς ὁ Σωτὴρ ἐξεφράσατο, ὅτε πρὸς τοὺς Ἰουδαίους, παρ' αὐτοῦ νέα ἀπαιτοῦντας θαύματα, δὶς ἀπεκρίνατο· „Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας (Ματθ. ιβ', 39, 40· ις', 4)"· ἀπερχόμενος δὲ εἰς τὸ σταυρωθῆναι, μεθ' ὃ τὴν ἀνάστασιν αὐτοῦ παρομαρτῆσαι ἔδει, ἐφώνησε· „Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ (Ἰωάν. ιγ', 31)". Οὕτω καὶ οἱ ἅγιοι ἀπόστολοι τὸ γεγονὸς τοῦτο ἐθεώρουν, διϊσχυριζόμενοι, ὅτι διὰ τῆς ἀναστάσεως αὐτοῦ ἀπεκαλύφθη ὁ Χριστὸς ἐν πάσῃ τῇ δυνάμει τοῦ Υἱοῦ τοῦ Θεοῦ (Ῥωμ. α', 4), καὶ ἐκήρυσσον· „εἰ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ἡμῶν (α'. Κορ. ιε', 17· Πράξ. δ', 33)". Ἐνταῦθα βλέπομεν α'. μεγίστην προφητείαν· λέγων γὰρ ὁ Χριστὸς περὶ τῆς μελλούσης αὐτοῦ ἀναστάσεως, προεῖπεν ὑπερφυσικὸν γεγονός, ὅπερ ἀδύνατον ἦν προϊδεῖν δι' οὐδενὸς συλλογισμοῦ. Πρὸς δὲ ὁ Σωτὴρ ἐξεφράσατο οὐχ ἅπαξ τὴν προφητείαν ταύτην καὶ οὐκ ἐν παρόδῳ, ἀλλὰ πολλάκις καὶ ἐν διαφόροις περιστάσεσι, καὶ οὐ μόνοις τοῖς μαθηταῖς (Ματθ. ις', 21· ιζ', 9, 22, 23· κβ', 17-19· κς', 31, 32), ἀλλὰ πᾶσι τοῖς Ἰουδαίοις καὶ τοῖς μαθηταῖς αὐτῶν (Ματθ. ιβ', 40· ις', 4· Ἰωάν. β', 19· ι', 17 καὶ ἀλλ.), οὐκ ἐν ἀμφιβόλοις ἐκφράσεσιν, ἀλλὰ σαφῶς, ὥστε ἕκαστος νοῆσαι ἠδύνατο τὴν προφητείαν ταύτην, ἢ ἄλλως αὐτὴν νοῆσαι (Ματθ. κζ', 62-64)· εἶπεν αὐτήν, ἀκριβέστατα ὁρίσας τὸν χρόνον, ὃν αὐτῷ ἔδει ἐν τῷ τάφῳ διαμεῖναι (Μάρκ. η', 31· Ματθ. ιβ', 40· ις', 21· κ', 19)· β'. καὶ μέγα θαῦμα, διότι προείρηται καὶ ὑπ' αὐτοῦ τοῦ ἀναστάντος· „ὁ Χριστὸς ἠγέρθη, καθὼς προεῖπε (Ματθ. κε', 6)", καὶ διὰ τὴν σπανίαν ἐν αὐτῷ ἐμφάνισιν τῆς τοῦ Θεοῦ δυνάμεως.

---

probata per Georg. Franck. Presburg. 1811. 5. Observations de Gilbert West sur l'histoire et sur les preuves de la résurrection de Jesus Christ, traduit par l'abbé Guénée. Paris. 1757.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ ἀνάστασις γὰρ νεκροῦ ἀδιστάκτως ἔργον ἐστὶ δυνάμεως μείζονος ἢ ἡ ἴασις ἀσθενῶν, ὁ καθαρισμὸς λεπρῶν κτλ., καὶ διότι ἡ ἀνάστασις τοῦ Σωτῆρος οὐ διεπράχθη ὑπό τινος ἄλλου θαυματουργοῦ, ὥσπερ αἱ ἐν τῇ παλαιᾷ καὶ καινῇ Διαθήκῃ μνημονευόμεναι τῶν νεκρῶν ἀναστάσεις, ἀλλ' αὐτὸς ὁ ἀναστὰς ἐξετέλεσεν αὐτήν, ὡς ἐξουσίαν ἔχων θεῖναι τὴν ψυχὴν αὐτοῦ, οὕτω καὶ αὖθις αὐτὴν ἀναλαβεῖν (Ἰωάν. ι', 18)· ἀνέστη δὲ τῇ δυνάμει τῆς αὐτοῦ Θεότητος, ὥσπερ ὁμοούσιος τῷ Θεῷ πατρί, αὐτὸν ἐκ νεκρῶν ἀνεγείραντι (Ῥωμ. ε', 11· ι', 9), ὅς, „ὥσπερ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκεν ἀπ' αἰῶνος καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ (Ἰωάν. ε', 26)".

Μόνοι δὲ μάρτυρες τῆς τοῦ Χριστοῦ ἀναστάσεως μόνοι οἱ Ἰουδαῖοι ἠδύναντο εἶναι, ἐν οἷς αὕτη ἐγένετο, τ. ε. τὸ μὲν οἱ μαθηταὶ τοῦ Σωτῆρος, τὸ δὲ οἱ αὐτοῦ ἐχθροί. Καὶ ἀμφότεροι ὄντως μὲν τὸ γεγονὸς τοῦτο ἐμαρτύρησαν, διαφόρως δέ. Οἱ μὲν γὰρ ἀπόστολοι ἐνώπιον παντὸς τοῦ κόσμου λόγῳ τε καὶ γραφῇ καὶ τῇ αὐτῶν ζωῇ καὶ τῷ θανάτῳ ὡμολόγησαν, ὅτι ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ ἀποθανὼν καὶ τεθεὶς ἐν τάφῳ, δι' ὃν φρουρὰ ἐπίτηδες ἐτέθη, ἀνέστη τὴν τρίτην ἡμέραν, ὥσπερ αὐτὸς πολλάκις προεῖπεν ἔτι ζῶν. Οἱ δὲ ἐχθροὶ Ἰουδαῖοι διέδωκαν, ὅτι οὐκ ἀνέστη, ἀλλὰ δῆθεν οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κρύφα ἥρπαξαν τὸ νεκρὸν σῶμα τοῦ διδασκάλου αὐτῶν ἐκ τοῦ τάφου, τῆς φρουρᾶς κοιμωμένης. Καὶ ἀξιοσημείωτόν ἐστιν, ὅτι αὕτη ἦν ἡ μόνη ἑρμηνεία, ἣν οἱ τοῦ Χριστοῦ ἐχθροὶ ἐσπούδαζον τότε καὶ ἔπειτα τῇ μαρτυρίᾳ τῶν ἀποστόλων ἀντιθεῖναι, ὥσπερ δῆλόν ἐστι α'. ἐκ τῶν τοῦ ἁγίου Εὐαγγελιστοῦ Ματθαίου (κη', 15)· β'. ἐκ τῶν τοῦ ἁγίου Ἰουστίνου τοῦ μάρτυρος, ὃς ἐν τῷ διαλόγῳ πρὸς Τρύφωνα τὸν Ἰουδαῖον λέγει αὐτῷ, ὅτι οἱ συμπολῖται αὐτοῦ μετὰ τὴν Χριστοῦ ἀνάστασιν διέσπειραν τοὺς αὐτοῖς ὁμόφρονας εἰς διαφόρους χώρας, ὅπως πανταχοῦ διαδῶσι τὴν φήμην περὶ τῆς ἁρπαγῆς τοῦ σώματος τοῦ Σωτῆρος ὑπὸ τῶν μαθητῶν[286]· σαφέστερον δὲ γ'. ἐκ τῶν διαλόγων τῶν ἀρχαιοτέρων ἐχθρῶν τοῦ Χριστιανισμοῦ καὶ τῶν ὑπὲρ αὐτοῦ ἀπολογητῶν, ὧν ἐκεῖνοι

[286] Ἰουστίν. Διάλ. πρὸς Τρύφων. ἀρ. 108.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*μὲν (Κέλσος, Πορφύριος, Ἰουλιανός), μηδεμίαν ἄλλην ἐπινοοῦντες ἀντίῤῥησιν, ἐπανελάμβανον μόνον κατὰ τῆς Χριστοῦ ἀναστάσεως, ὅτι δῆθεν οἱ ἀποστολοι ἀπήγαγον τὸ σῶμα τοῦ αὐτῶν Διδασκάλου· οὗτοι δὲ μόνην τὴν ἀντίῤῥησιν ταύτην ἀνασκευάσαι ἐσπούδαζον, μὴ ἀκούοντες ἄλλων ὁμοίων. Τί δ' εἴπωμεν πρὸς ἀμφοτέρας ταύτας τὰς πρὸς ἀλλήλας λίαν ἀνομοίους ἀποδείξεις τῶν μαρτύρων; Μόνα ταῦτα, ὅτι* I. *εἰσί τινες περιστάσεις τοῦ συμβάντος, αἵτινες ἐπίσης παραδεκταί εἰσιν ὑπ' ἀμφοτέρων τῶν ἀποδείξεων·* II. *ἡ τῶν Ἰουδαίων ἀπόδειξις λίαν ἄλογός ἐστι καὶ ἀπίθανος, ὅτε* III. *ἡ τῶν ἀποστόλων μαρτυρία ἐπεσφράγισται πᾶσι τοῖς χαρακτῆρσι τῆς ἀναντιῤῥήτου ἀξιοπιστίας.*

I. *Ἀμφότεροι ἀλλήλοις σύμφωνοί εἰσιν·*

*α'. Ὅτι ὁ Ἰ. Χριστὸς ὄντως ἀπέθανεν. Οἱ μὲν γὰρ ἀπόστολοι οὐ μόνον τοῦτο προϋποτιθεῖσιν ἐν τῇ αὐτῶν μαρτυρίᾳ, ἀλλὰ καὶ σαφῶς αὐτὸ ἀποφαίνονται (Ἰωάν. ιθ', 30)· οἱ δὲ ἐχθροὶ Ἰουδαῖοι ἀναγκαίως προϋποτιθεῖσιν. Ὅ τι δὲ οὗτοι ἐπινοῆσαι ἠδύναντο κατὰ τῆς μαρτυρίας τῶν ἀποστόλων, ὥσπερ εἴρηται, ἐν τούτῳ συνέστηκεν, ὅτι δῆθεν ἡρπάγη τὸ σῶμα τοῦ Σωτῆρος, ἀλλ' οὐκ ἐτόλμησαν διαδοῦναι, ὅτι ὁ Χριστὸς οὐκ ἀπέθανεν ἐπὶ τοῦ σταυροῦ· ἄρα ὁ θάνατος τοῦ Σωτῆρος λίαν ἀναμφίβολος ἦν καὶ πασίγνωστος, καὶ ἀπιστεῖν εἰς τοῦτο αὐτοῖς τοῖς αὐτοῦ ἐχθροῖς ὅλως ἀδύνατον ἐφαίνετο. Καὶ ὄντως τὸν θάνατον πολλοὶ ἐμαρτύρησαν· οἷον, οἱ στρατιῶται, οἵτινες προσελθόντες πρὸς τὸν Ἰησοῦν τὰ σκέλη αὐτοῦ κατάξαι, οὐ κατέαξαν, ἰδόντες αὐτὸν καὶ ἄνευ τούτου τεθνεῶτα (Ἰωάν. ιθ', 33)· εἰδικῶς δὲ ὁ στρατιώτης, ὃς πρὸς πλείονα ἑαυτοῦ βεβαιότητα εἰς τὸν θάνατον τοῦ Σωτῆρος ἡμῶν λόγχῃ τὴν αὐτοῦ ἐκέντησε πλευράν, ἐξ ἧς αἴφνης ἐῤῥευσεν αἷμα καὶ ὕδωρ (34)· ἐκ μόνης δὲ ταύτης τῆς ἰσχυροτάτης πληγῆς ἀδιστάκτως διεκόπη τὸ ἀσθενὲς νῆμα τῆς ζωῆς τοῦ θείου Μάρτυρος, εἰ τότε ζῶν ἔτι ἦν· ὁ ἑκατόνταρχος, παρὰ τῷ σταυρῷ τοῦ Χριστοῦ ἱστάμενος, καὶ αὐτὸς ὁ Πιλάτος, ὃς οὐκ ἐπέτρεψε πρὶν Ἰωσὴφ τῷ ἀπ' Ἀριμαθέας ἀπὸ τοῦ σταυροῦ ἀφελεῖν τὸ σῶμα τοῦ Σωτῆρος, εἰ μὴ μαθών, ὅτι ὄντως ἀπέθανε (Μαρ. ιε', 44)· αὐτοὶ οἱ ἐχθροί, ὅτε προσῆλθον τῷ Πιλάτῳ φρουρὰν αἰτήσοντες*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεῖναι ἐπὶ τοῦ τάφου τοῦ Ἰησοῦ, „Ἐμνήσθημεν, ἔλεγον, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι (Ματθ. κζ', 63)“· ὅπερ δηλοῖ κατὰ τοὺς ἰδίους αὐτῶν λόγους, ὅτι ἤδη τεθνεὼς ἦν. Εἰ δὲ καὶ ἐλάχιστος δισταγμὸς περὶ τούτου τοῖς Ἰουδαίοις ὑπελίπετο, οὐκ ἂν ἐπεμέλοντο ἑαυτοὺς πεῖσαι καὶ ἐξελέγξαι τὴν αὐτῶν θυσίαν; Καθόλου δὲ καθ' ἅπαντας τοὺς πρώτους τοῦ Χριστιανισμοῦ αἰῶνας οὐδέποτε ἠκούσθη ἐκ τῶν ἐχθρῶν τοῦ Χριστοῦ, ὅτι οὐκ ἐπὶ τοῦ σταυροῦ ἀπέθανε· τοὐναντίον δὲ οἵ τε Ἰουδαῖοι καὶ ἐθνικοὶ πάντοτε τοὺς Χριστιανοὺς ἐμέμφοντο, θεοποιοῦντας ἄνθρωπον, ἀτιμωτικωτάτῳ θανόντι θανάτῳ·

β'. Ὅτι ἐπὶ τοῦ τάφου τοῦ Σωτῆρος φρουρὰ ἐτέθη ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ· Καὶ ἡ μὲν περὶ τούτου μαρτυρία τῶν ἀποστόλων γνωστή ἐστιν ἐκ τοῦ Εὐαγγελίου (Ματθ. κζ', 66), ἡ δὲ τῶν Ἰουδαίων ἐκ τῆς ἀποδείξεως αὐτῶν. Τὸ γὰρ σῶμα τοῦ Χριστοῦ κατὰ τοὺς λόγους αὐτῶν, κρύφα ἀπήχθη ἐκ τοῦ τάφου ὑπὸ τῶν μαθητῶν, τῆς φρουρᾶς κοιμωμένης· ἄρα ἡ φρουρὰ αὐτη ἦν παρὰ τῷ τάφῳ. Τίς δ' ἔθηκεν αὐτήν; Ἀδιστάκτως οὐχ οἱ μαθηταί, ἀλλ' οἱ ἐχθροί· Τίνος δ' ἕνεκα; Ἄλλο δεῖξαί ἐστιν ἀδύνατον ἐκτὸς τοῦ ῥηθέντος ὑπὸ τοῦ Εὐαγγελιστοῦ Ματθαίου, λέγοντος· „Συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλάτον, λέγοντες· Κύριε, ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν αὐτὸν καὶ εἴπωσι τῷ λαῷ. Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης (Ματθ. κζ', 62-64)“. Καὶ ἰδοὺ ἐνώπιον ἡμῶν ἀδίστακτος μαρτυρία αὐτῶν τῶν ἐχθρῶν, ὅτι ὁ Σωτὴρ ὄντως περὶ τῆς ἑαυτοῦ ἀναστάσεως προεφήτευσεν.

γ'. Ὅτι τὸ σῶμα τοῦ Χριστοῦ τὴν πρωΐαν τοῦ σαββάτου ἐν τῷ τάφῳ ἔτι ἦν· ἄλλως, εἰ οἱ Ἰουδαῖοι οὐκ εἰς τοῦτο ἐπεποίθεσαν, τίνι σκοπῷ φρουρὰν ἐπὶ τοῦ τάφου ἐτίθεσαν; τὴν δὲ πρωΐαν τῆς κυριακῆς οὐκ ἐφάνη ἤδη τὸ σῶμα ἐν τῷ τάφῳ· ἄλλως διὰ τί διέδωκαν οἱ Ἰουδαῖοι, ὅτι δῆθεν οἱ μαθηταὶ ἀπήγαγον τὸ σῶμα;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Μετὰ ταῦτα μόνη διαφωνία μεταξὺ τῶν Ἰουδαίων καὶ ἀποστόλων ἐν τῇ λύσει μιᾶς μόνης ἐρωτήσεως μένει. Τί ἐγένετο τὸ τοῦ Σωτῆρος σῶμα; Ὄντως αὐτὸς ἀνέστη, ὥσπερ οἱ ἀπόστολοι λέγουσιν, ἢ κρύφα ἡρπάγη ὑπὸ τῶν μαθητῶν, ὡς διϊσχυρίζονται οἱ Ἰουδαῖοι;*

II. *Ἡ μαρτυρία τῶν Ἰουδαίων ἐντελῶς ἄλογός ἐστι καὶ ἀπίθανος. Ἡ γὰρ τοῦ σώματος τοῦ Χριστοῦ ἁρπαγὴ ὑπὸ τῶν μαθητῶν, τῶν φυλάκων κοιμωμένων, ἤτοι ἀδύνατος παρίσταται ἢ ἄλογος.*

*α΄. Καὶ ἀπὸ μὲν τῶν ἀποστόλων. Γνωστόν ἐστιν, ὅτι οὗτοι μέχρι τότε δειλοὶ ἦσαν καὶ περιδεεῖς· πόθεν οὖν αὐτοῖς ἡ τοσαύτη τόλμη; αὐτοὺς κλέψαι τεθνεῶτα, ζῶντα καταλιπόντας; αὐτοὶ διεσπάρησαν, ἰδόντες δούλους τινὰς μετὰ ῥοπάλων, τὸν Ἰησοῦν λαβεῖν ἐλθόντας· πῶς οὖν ἐτόλμησαν νῦν καθ᾽ ὡπλισμένων ἐπιπεσεῖν στρατιωτῶν; Τί δὲ ἠδύνατο αὐτοὺς εἰς τοσαύτην ἀπελπιστικὴν παρακινῆσαι ἐπιχείρησιν; Εἰ γὰρ ὁ Ἰησοῦς Χριστὸς οὐκ ἀνέστη, ὡς προεῖπε, τί ἂν περιέμενον παρ᾽ αὐτοῦ; Πρὸς τί αὐτοῖς τὸ νεκρὸν αὐτοῦ σῶμα; Ἀλλ᾽ ἔστω, καίτοι ἠθικῶς ἀδύνατος ἡ ἐπιχείρησις, οἱ ἀπόστολοι ἥρπασαν τὸ σῶμα τοῦ Σωτῆρος· πῶς δ᾽ οὐκ ἔπραξαν τοῦτο τὴν πρώτην νύκτα τῆς παρασκευῆς πρὸς τὸ σάββατον, ὅτε πάντα εὐνοϊκὰ αὐτοῖς εἶχον, καὶ γὰρ παρὰ τῷ τάφῳ οὐκ ἦν φρουρά, ἀλλ᾽ ἔννοια αὐτοῖς ἐγένετο τὸν σκοπὸν αὐτῶν ἐκτελέσαι, ὅτε τὸν τάφον φρουρὰ ἐφύλασσεν; Εἰ δ᾽ ὄντως ἔτυχον ἀπὸ τοῦ ὕπνου τῆς φρουρᾶς ὠφεληθῆναι, πῶς ἔδει αὐτοῖς πρᾶξαι τότε κατ᾽ αὐτὴν τὴν φρόνησιν; Ἀδιστάκτως ἔδει μετὰ πάσης τῆς δυνατῆς σπουδῆς ἐπισπεῦσαι εἰς τὸν τάφον, καὶ μεθ᾽ ἑαυτῶν τὸ σῶμα ἀπαγαγεῖν. Ἀλλ᾽ οἱ κλέπται οἱονεὶ ἐπίτηδες ἐν τῷ σπηλαίῳ βραδύνουσιν, ἐκβάλλουσιν ἀπὸ τοῦ Σωτῆρος τὰ ὀθόνια καὶ τὸ σουδάριον, ἀποτιθέασιν αὐτὰ ἐν τάξει, ἐν ᾗ μετὰ ταῦτα εὗρον ὁ Πέτρος καὶ Ἰωάννης (Ἰωάν. κ΄, 6-9), καὶ οὕτως ἀνωφελῶς κατατρίβουσι χρόνον, τοσούτῳ αὐτοῖς πολύτιμον*[287].

---

[287] *„Εἰ γὰρ ἐβούλοντο κλέψαι, λέγει ὁ ἅγιος Χρυσόστομος, οὐκ ἂν γυμνὸν ἔκλεψαν τὸ σῶμα· οὐ διὰ τὸ μὴ ἐνυβρίσαι μόνον, ἀλλ᾽ ὥστε μὴ ἐν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

β'. Ἀπ' αὐτοῦ δὲ τοῦ ἔργου, τ. ε. τῆς κρυφίας ἁρπαγῆς. Δυνατὸν ἄρα ἦν τοῖς ἀποστόλοις πρὸς τὸν τάφον προσελθεῖν, τὰς ἐπ' αὐτοῦ σφραγίδας θλᾶσαι, κυλίσαι ἀπὸ τῆς θύρας αὐτοῦ μέγαν λίθον, οὐ μικρὸν ἐν τῷ σπηλαίῳ βραδῦναι, καὶ εἶτα φθῆναι ἀπαγαγοῦσιν ἐξ αὐτοῦ τὸν νεκρὸν τοῦ Διδασκάλου, μηδένα ἐξεγείρασι τῶν στρατιωτῶν, ὅσῳ ἂν βαθέως οὗτοι κοιμῷντο;

γ'. Ἀπὸ δὲ τῶν φυλάκων. Μὴ ἐπιλαθώμεθα, ὅτι αὐτοὺς ἔθηκαν παρὰ τῷ τάφῳ αὐτοὶ οἱ Ἰουδαῖοι. Καὶ εἰ μὲν ὁ Πιλάτος ἐφ' ἑαυτοῦ ἀνέλαβε τὸ ἔργον τοῦτο, κατηγορήσειαν ἂν αὐτὸν ἐπ' ἀμελείᾳ, εἴποιεν, ὅτι πιθανῶς ῥαθύμους ἔταξε στρατιώτας, οἵτινες ἀφῆκαν τὸ σῶμα τοῦ Χριστοῦ ἀπαγαγεῖν. Ἀλλ' αὐτοὶ οἱ ἀρχιερεῖς καὶ γραμματεῖς προσῆλθον πρὸς Πιλάτον παρ' αὐτοῦ φρουρὰν αἰτήσοντες, αὐτοὶ τὸν τάφον ἐσφράγισαν, αὐτοὶ ἔθηκαν παρ' αὐτῷ στρατιώτας ἀδιστάκτως μᾶλλον αὐτοῖς ἀφωσιωμένους καὶ γνωστοὺς δια τὴν πίστιν καὶ ἀγρυπνίαν αὐτῶν. Πῶς οὖν οἱ στρατιῶται οὗτοι τοιαύτην ἂν ἑαυτοῖς ἐπιτρέψειαν μεθημοσύνην; Οὗτοι γὰρ λέγουσιν· „Οἱ μαθηταὶ τοῦ Ἰησοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτόν, ἡμῶν κοιμωμένων (Ματθ. κη', 13)". Ἀλλὰ πῶς ἂν ὁ στρατιώτης προφασίζοιτο ἐν ὥρᾳ φρουρᾶς κοιμᾶσθαι; Πόθεν δὲ ἔγνωσαν τὴν ἁρπαγὴν ταύτην, βαθύτατον κοιμώμενοι ὕπνον, μηδὲν ἰδόντες μηδὲ ἀκούσαντες; Τίς δέ ἐστιν ἡ τῶν κοιμωμένων μαρτυρία;

δ'. Ἀπὸ δὲ τῶν παρακολουθησάντων μετὰ τὴν πλαστὴν ἁρπαγὴν γεγονότων. Οἱ στρατιῶται ὁμολογοῦσιν, ὅτι ἐκοιμῶντο, ἀγρυπνεῖν ὀφείλοντες, ὅτι ἀφῆκαν κλέψαι τὸ σῶμα τοῦ Ἰησοῦ, ὑπόχρεοι ὄντες αὐτὸ φυλάσσειν. Ἄρα ἔνοχοι ἦσαν πλεῖστον κατὰ τὴν ἰδίαν ὁμολογίαν. Καὶ ὅμως τοὺς φύλακας τούτους οὐ μόνον οὐδαμῶς κολάζουσιν, ἀλλὰ καὶ μεγάλην αὐτοῖς χρημάτων ποσότητα διδόασι. Πόθεν τὸ τοιοῦτον ἔλεος; Γνωστὸν δέ ἐστι, πόσον αὐστηρῶς ἠρευνῶντο τότε τοιαῦται παρα-

---

τῷ ἀποδύειν μέλλειν καὶ βραδύνειν καὶ παρέχειν τοῖς βουλομένοις διαναστῆναι καὶ κατασχεῖν· μάλιστα καὶ ὅτε σμύρνα ἦν, φάρμακον οὕτω κολλῶδες τῷ σώματι καὶ τοῖς ἱματίοις προσπεπηγός (εἰς Ματθ. Ὁμιλ. 90).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βάσεις· ὁ γὰρ Ἡρώδης βασάνῳ παρέδωκε τοὺς τὸν ἀπόστολον Πέτρον ἐν τῇ εἱρκτῇ φυλάσσοντας στρατιώτας διὰ τὸ μὴ φυλάξαι αὐτὸν, ἐκ τῆς εἱρκτῆς θαυματικῶς ἐλευθερωθέντα (Πράξ. ιβ', 19)· οἱ δὲ τὴν ἁρπαγὴν τοῦ σώματος τοῦ Χριστοῦ ἐκ τοῦ τάφου ἀφέντες στρατιῶται ἄνευ πάσης κολάσεως κατελείφθησαν; Ἀλλ' οὐχ ἧττον ἔνοχοι ἦσαν καὶ οἱ ἀπόστολοι, εἰ τὸ σῶμα τοῦ Σωτῆρος ἥρπασαν ἐναντίον πάντων τῶν προνοητικῶν μέτρων τῆς ἀρχῆς. Οὗτοι ὅμως ἄνευ προσοχῆς ἐῶσι τοὺς ἀποστόλους, οὐδ' ἀνακρίνουσιν, οὐδὲ δικάζουσιν, οὐδὲ κολάζουσι. Τί ἄρα τοῦτο δηλοῖ; Διὰ τί οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πλήρες τὸ δυνατὸν ἔχοντες τὴν ἀλήθειαν πυθέσθαι, οὐ δικαστικῶς ἠρεύνησαν τὸ ἔργον; διὰ τί φανερῶς οὐκ ἐξήλεγξαν τὴν ἀπάτην, ἵνα ἅπαξ διὰ παντὸς περιορίσωσι τὸ στόμα τῶν ἀποστόλων; Ἡ γὰρ ἔρευνα ἠδύνατο τοὺς μαθητὰς τοῦ Χριστοῦ διαιρέσαι, καὶ διαφωνίαν ἐπενεγκεῖν. Ἀλλ' ἡ αἰτία καταληπτή ἐστιν· οἱ Ἰουδαῖοι ἐφοβήθησαν τὴν ἀλήθειαν ἐρευνῆσαι, πεποιθότες μυστικῶς εἰς αὐτὴν, καὶ ἐγίνωσκον, ὅτι ἡ ἔρευνα οὐδαμῶς τοὺς ἀποστόλους ἐξήλεγχεν, ἀλλ' αὐτούς.

Καινὴ δὲ παραλογία τῶν Ἰουδαίων ἐστὶν ἥδε· μετά τινας ἑβδομάδας, ὅτε οἱ ἀπόστολοι τῷ ἑαυτῶν κηρύγματι περὶ τῆς τοῦ Σωτῆρος ἀναστάσεως ἤρξαντο πρὸς αὐτὸν στρέφοντες πολλὰς αὐτῶν χιλιάδας, τὸ συνέδριον μεγάλως ἐταράχθη ταῖς θαυμασίαις τοῦ κηρύγματος ἐπιδόσεσι, καὶ προσεκάλεσε τοὺς κήρυκας πρὸς ἑαυτὸ εἰς δίκην. Διὰ τί δέ; Ἵνα ἐλέγξῃ καὶ ἐνόχους κηρύξῃ τῆς ἁρπαγῆς τοῦ σώματος τοῦ Ἰησοῦ; Οὐχί, ἀλλ' ἵνα αὐτοὺς ἀπαγορεύσῃ τοῦ κηρύσσειν τὸ ὄνομα τοῦ Σωτῆρος. Τίνος δ' ἕνεκα τὸ συνέδριον καὶ νῦν οὐκ ἤλεγξεν αὐτοὺς ἐπὶ τῇ ἁρπαγῇ ταύτῃ, ὅτε πρὸς τοῦτο αὐτὴ ἡ περίστασις αὐτὸ ἀπῄτει; Εἰ γὰρ ἐξήλεγχε τοὺς ἀποστόλους, ἀπηλλάγη ἂν τῆς ἐνοχῆς τοῦ φόνου τοῦ ἀληθοῦς Μεσσίου, καὶ ἀπέσπα ἀπ' αὐτῶν πάντας τοὺς ὀπαδούς. Ἀλλ' ἡ αἰτία καὶ ὧδε πασίδηλος· τὸ συνέδριον οὐ τοῦτο ἔπραξε, φοβούμενον μὴ ἀντὶ τῶν ἀποστόλων ἑαυτὸ ἐλέγξῃ.

Μετὰ χρόνον δέ τινα αὖθις τοὺς ἀποστόλους εἰς δίκην καλοῦσι, καὶ τότε τὰ μέλη τοῦ συνεδρίου, ἐρεθισθέντες ὑπὸ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀσιγήτου αὐτῶν κηρύγματος περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ἠβούλοντο ἤδη αὐτοὺς θανάτῳ παραδοῦναι (Πράξ. ε', 33). Ἀλλ' ὁ διάσημος φαρισαϊκὸς νομοθέτης Γαμαλιὴλ συμβουλεύει τάδε· „Ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἄφετε αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη καὶ τὸ ἔργον τοῦτο, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δύνασθε καταλῦσαι αὐτό, μήποτε καὶ θεομάχοι εὑρεθῆτε (Πράξ. ε', 38, 39)". Τί δέ; Ἡ συμβουλὴ αὕτη ὑφ' ἁπάντων ἀποδεκτὴ γίνεται καὶ ἐκπληροῦται. Ἀλλὰ πῶς ὁ Γαμαλιὴλ ἐτόλμησε τοιαύτην τῷ συνεδρίῳ δοῦναι γνώμην ὑπὲρ τῶν ἀποστόλων, εἰ τὰ μέλη τοῦ συνεδρίου ἀληθῶς ἐπεποίθεσαν, ὅτι οἱ ἀπόστολοι ἥρπασαν τὸ σῶμα τοῦ ἑαυτῶν Διδασκάλου; Πῶς δέ, ὃ μεῖζον, ἐπὶ τοιαύτῃ πεποιθήσει ἠδύνατο τὸ συνέδριον τῇ συμβουλῇ ταύτῃ ὑπείκειν; Εἰ μὴ ἐδίσταζον, περὶ τοῦ ὅτι οἱ ἀπόστολοι πλάνοι ἦσαν, ἦν ἄρα πρέπον καὶ δὴ ἐλάχιστος κίνδυνος, μὴ ἐκ Θεοῦ τὸ κήρυγμα αὐτῶν ᾖ;

Καὶ λοιπὸν ἐάν που, κυρίως ὧδε, ἐν ταύτῃ τῇ κατὰ τῶν ἀποστόλων ψευδομαρτυρίᾳ, „ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ (Ψαλμ. κη', 12)".

III. Ὅλως δ' ἄλλη ἐστὶν ἡ τῶν ἀποστόλων μαρτυρία περὶ τῆς ἀναστάσεως τοῦ Σωτῆρος. Ἐν ταύτῃ γὰρ καθορῶμεν ἅπαντα τὰ χαρακτηριστικὰ τῆς ἁγνοτάτης καὶ ἀναντιῤῥήτου ἀληθείας.

α'. Οἱ ἀπόστολοι οὐκ ἠδύναντο ἀπατηθῆναι κατὰ τὴν περίστασιν ταύτην· ἐγίνωσκον γὰρ τὸν Ἰησοῦν Χριστὸν ἐντελῶς, περὶ τὰ τρία ἔτη καὶ ἥμισυ συζῶντες, καὶ ἀπ' αὐτοῦ σχεδὸν ἀχώριστοι ὄντες. Ἄρα οὐκ ἠδύναντο αὐτὸν ἄλλῳ τινὶ συγχέειν, καὶ ἀντ' αὐτοῦ ἄλλον ἀποδέξασθαι.

Καὶ εἰ μὲν ἔλεγον, ὅτι εἷς μόνος αὐτῶν τὸν Κύριον εἶδε μετὰ τὸν θάνατον, ἠδυνάμεθα νομίζειν, ὅτι ὁ μάρτυς οὗτος φάσμα εἶδεν, ἢ πρόσωπόν τι ἀντ' ἄλλου ἐξέλαβεν. Ἀλλ' οἱ ἀπόστολοι φωνοῦσιν, ὅτι ἅπαντες εἶδον τὸν ἀναστάντα Σωτῆρα, καὶ ἅπαξ ἐφάνη πλείοσιν ἢ τοῖς πεντακοσίοις αὐτοῦ μαθηταῖς. Πῶς δὲ ἀποδεξώμεθα, ὅτι τοσοῦτο πλῆθος οἷον ἦν ἀπατηθῆναι ἅπαν καὶ ὁμοίως; Εἰ δ' ἔλεγον, ὅτι εἶδον τὸν Κύριον ἅπαξ καὶ μακρόθεν, βραχὺν χρόνον καὶ οἱονεὶ ταχέως, ἐξῆν αὖθις πλάνην ὑπονοῆσαι. Ἀλλ' ὁ ἀναστάς, μαρτυροῦσιν οὗτοι, πολλάκις αὐτοῖς ἐφαίνετο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δι' ἡμερῶν τεσσαράκοντα τὸ μὲν πρὸς ἕνα ἕκαστον, τὸ δὲ πρὸς σύμπαντας, καὶ ἐνώπιον αὐτῶν εἰς οὐρανοὺς ἀνελήφθη. Πρὸς δὲ ἐμφανιζόμενος πρὸς τοὺς ἀποστόλους διελέγετο ἐπὶ πολύ, ἑρμηνεύων αὐτοῖς τὰς Γραφάς, ἀποκαλύπτων τὰ μυστήρια τῆς βασιλείας αὐτοῦ, ἃ κηρύξαι ἔδει, προλέγων ὅ τι ἂν αὐτοῖς συμβαίη, καὶ σχέδιον διαγράφων τῶν μελλουσῶν πράξεων αὐτῶν. Καὶ πρὸς βεβαίωσιν τῶν μαθητῶν ἰδίᾳ ἔφαγε καὶ ἔπιεν ἐνώπιον αὐτῶν, ἐδείκνυεν αὐτοῖς τὰς πεπληγωμένας χεῖρας καὶ τοὺς πόδας, καὶ τὰς λόγχῃ ἐκκεκεντημένας πλευράς, καὶ ἐβίαζεν αὐτοὺς αὐτοῦ ἅπτεσθαι. Ἠδύναντο ἄρα οἱ ἀπόστολοι μετὰ πάντα ταῦτα μὴ τὸν ἑαυτῶν γνῶναι Διδάσκαλον καί πως ἀπατηθῆναι;

Σημειωτέον δέ, ὅτι οἱ ἀπόστολοι πρὸς τοῦτο ἰδίως ἄπιστοι ἐφάνησαν. Πᾶσαν γὰρ τὴν ἀξίαν τῆς τοῦ Χριστοῦ ἀναστάσεως ᾐσθάνοντο, καὶ παντοίως ἐσπούδαζον ὀφθαλμοφανῶς εἰς αὐτὴν πεισθῆναι. Διὸ οὔτε παρασύρονται ὑπὸ τῆς πρώτης ἀγγελίας τῆς ἀναστάσεως τοῦ Κυρίου, οὔτε ἀλλήλοις πιστεύουσιν, οὔτε εἰς τοὺς ἰδίους ὀφθαλμοὺς κατὰ πρῶτον πεποίθασιν ἐν ὅσῳ οὐκ ἐντελῶς βέβαιοί εἰσιν. Ὅτε γὰρ αἱ ἅγιαι γυναῖκες ἤγγειλαν αὐτοῖς, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἀνέστη, καὶ εἶδον αὐτόν, τὸ ὑπὸ τούτων διηγούμενον φάντασμα ἡγήσαντο. „Ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα, καὶ ἠπίστουν αὐταῖς (Λουκ. κδ', 11)"· ὅτε δὲ οἱ εἰς Ἐμμαοὺς πορευόμενοι μαθηταὶ ἀνήγγειλαν πρὸς τοὺς ἄλλους ἀποστόλους τὴν πρὸς αὐτοὺς ἐμφάνισιν τοῦ Σωτῆρος, „οὐδὲ ἐκείνοις ἐπίστευσαν (Μαρκ. ις', 13)". Ἀλλ' ὁ ἀναστὰς ἐφάνη καὶ τοῖς ἄλλοις μαθηταῖς, οἵτινες τὸ πρῶτον „ἐδόκουν πνεῦμα θεωρεῖν (Λουκ. κδ', 37)". Θωμᾶς δέ, μὴ ὢν μετ' αὐτῶν, μηδὲ τῇ παγκοίνῳ βεβαιώσει τῶν συμμαθητῶν πιστεύων, εἶπεν· „Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω (Ἰωάν. κ', 25)". Ἡ μέλλησις αὐτὴ τοῦ πιστεῦσαι τῇ ἀναστάσει τοῦ Χριστοῦ, ἡ προφύλαξις αὐτή, μεθ' ἧς ἐσπούδαζον εἰς αὐτὴν πεποιθέναι, αἱ ἀποδείξεις αὗται, ἃς ἀπῄτουν πρὸς ἰδίαν πεποίθησιν, ἀναντιῤῥήτως μαρτυροῦσιν, ὅτι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰ οἱ ἀπόστολοι τελειωτικῶς ἐπίστευσαν, δηλοῖ, ὅτι πληρέστατα τὴν ἀλήθειαν ἐπέγνωσαν καὶ ὀφθαλμοφανῶς.

β΄. Ἀδύνατον δέ ἐστιν ἐπίσης ὑποπτεῦσαι, ὅτι οἱ μαθηταὶ τοῦ Χριστοῦ ἐσκόπουν ἀπατῆσαι τοὺς ἄλλους, περὶ τῆς ἀναστάσεως τοῦ Διδασκάλου λέγοντες.

Τούτῳ γὰρ ἀντιλέγει 1. ὁ ἠθικὸς τῶν ἀποστόλων χαρακτήρ. Δυνάμεθα γὰρ ὑποθεῖναι, ὅτι βούλησιν τοῦ ἀπατᾶν εἶχον οἱ κηρύσσοντες ἠθικὴν ἁγνοτάτην καὶ ἁγιωτάτην, καὶ πρῶτοι αὐτοὶ αὐτὴν τῇ ἑαυτῶν ζωῇ προασπίζοντες; Κηρύσσουσι γὰρ καταφρόνησιν τοῦ πλούτου, καὶ τὸν Σωτῆρα μιμούμενοι, ἀφιεῖσι πάντα· ἡ δὲ πενία αὐτῶν τοσαύτη ἦν, ὥστε ἐν μέσῳ τῶν βαρυτάτων ἀποστολικῶν πόνων ὤφειλον ταῖς ἰδίαις χερσὶν ἐργάζεσθαι καὶ πρὸς ἀπόλαυσιν τροφῆς. Κηρύσσουσι α΄. νέκρωσιν τῆς σαρκός· δυνάμεθα ἄρα ἀπαριθμῆσαι πάντας τοὺς ἀγῶνας, τὰς στερήσεις, τὰ πάθη, ὑφ᾽ ὧν τὴν ἰδίαν ὑπέβαλλον σάρκα κατὰ πᾶσαν τὴν ἀποστολικὴν διακονίαν; β΄. ταπεινότητα· καὶ ἄριστα ἐπιδιδόντες εἰς τὸ ἑαυτῶν κήρυγμα, οὐδὲ ἴχνος κενοδοξίας δεικνύουσι· γ΄. ἄφεσιν τῶν ὕβρεων· καὶ ἀεὶ διωκόμενοι καὶ παραπικραινόμενοι οὐδ᾽ ἐλαχίστην ἑαυτοῖς ἐπιτρέπουσιν αἰτίασιν, οὐδὲ λόγον λύπης ἢ γογγυσμοῦ. Καὶ τοῖς μὲν ἄλλοις εἰλικρίνειαν ἐντέλλονται καὶ ἁγνότητα, αὐτοὶ δὲ μετ᾽ ἀπαραδειγματίστου ἁπλότητος τὰς ἑαυτῶν διηγοῦνται ἐλλείψεις καὶ ἀσθενείας, τὴν τοῦ νοῦ ἀμβλύτητα, ἧς ἕνεκα πρὶν πολλοὺς τῶν λόγων τοῦ Διδασκάλου οὐκ ἐνόουν, τὴν μικροψυχίαν κτλ. Δυνάμεθα ἄρα τούτους ὑποπτεύειν, ὅτι τοὺς πλησίον ἀπατῆσαι διενοοῦντο;

2. Αὐταὶ τοῦ αὐτῶν κηρύγματος αἱ περιστάσεις. Οἱ γὰρ ἀπόστολοι ἐκήρυσσον τὴν ἀνάστασιν τοῦ διδασκάλου· ἐν ᾗ αὐτὸς ἐσταύρωται πόλει ἐνώπιον πάντων τῶν ἰδόντων αὐτὸν καὶ δὴ καὶ ἐνόχων τοῦ σταυρικοῦ αὐτοῦ θανάτου ν΄. ἡμέρας μετὰ τὸ συμβεβηκός, ὅτε πάντες ζωηρῶς ἐμέμνηντο τῆς ζωῆς καὶ τοῦ θανάτου αὐτοῦ, καὶ ὅτε παντὶ ῥᾴδιον ἦν ἐξελέγξαι τοὺς κήρυκας ψεύστας· Ἄρχονται δὲ τοῦ κηρύγματος κατὰ τὴν μεγίστην ἑορτήν, ἧς ἕνεκα ἄπειρον λαοῦ πλῆθος συνέῤῥευσεν εἰς Ἱερουσαλὴμ ἐκ πάσης Ἰουδαίας καὶ δὴ καὶ ἄλλων χωρῶν· καὶ περιμένουσιν οἱονεὶ τοιαύτην ἡμέραν; ὅπως προκαλέσωσιν εἰς ἀγῶνα χιλιάδας

ὅλας ἐχθρῶν. Πῶς οὖν συμφωνήσωμεν, ὅτι ἐν τῷ κηρύγματι τῶν ἀποστόλων προαίρεσίς τις τοῦ ἀπατῆσαι ἐκρύπτετο;

3. Ὅτι οἱ ἀπόστολοι οὐδεμίαν εἶχον αἰτίαν τοιαύτην ἐπιχείρησιν τολμῆσαι, αἰτίας ἔχοντες μᾶλλον αὐτῆς ἀφιστάναι. Καὶ ὄντως, τί ἠδύνατο τοὺς ἀποστόλους ἀναγκάσαι τὴν ἀνάστασιν τοῦ Σωτῆρος κηρύσσειν, εἰ οὐκ ἀνέστη; Ἡ προτέρα πρὸς αὐτὸν ἀγάπη; Ἀλλ' αὕτη ἂν μεταραπείη ἀναγκαίως εἰς μῖσος· τότε γὰρ ἂν θεωροῖεν τὸν ἑαυτῶν διδάσκαλον ἄνθρωπον, ὅς, ἀπατήσας αὐτοὺς ἀνεκτελέστῳ φαντάσματι, καὶ βιάσας ἀφιέναι τὰς οἰκίας, τὰ ὑπάρχοντα καὶ πάντα τὰ γήϊνα, ἐξοπλίσας κατ' αὐτῶν ἅπαντας τοὺς Ἰουδαίους, κατέλιπεν εἰς τὴν προαίρεσιν τῆς τύχης. Ἢ ἡ τῶν ἀγαθῶν τοῦ κόσμου ἐλπίς; Ἀλλὰ κηρύσσειν τὸν Ἰησοῦν Χριστὸν ἀναστάντα ἐδήλου λέγειν, ὅτι οἱ Ἰουδαῖοι φονεῖς εἰσι τοῦ ἀληθινοῦ Μεσσίου· τ. ε. δημοσίᾳ ἐνόχους αὐτοὺς ἀποφαίνεσθαι μεγίστης παραβάσεως, ἣν δυνατὸν μόνον φαντασθῆναι, καὶ ἑαυτοὺς ὑποβάλλειν πάσῃ τῇ κακίᾳ καὶ τῷ μίσει ἀτιθάσων ἐν τῇ ἐκδικήσει ἀνθρώπων, ὥσπερ οἱ ἀπόστολοι ἐγίνωσκον ἐκ τῆς πείρας ἐπὶ τοῦ ἰδίου διδασκάλου. Πρὸς τοῦτο δὲ προκατειλημμένοι ἦσαν καὶ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, ζῶντος ἔτι, ὅτι αὐτούς, εἰς τὸ παγκόσμιον ἐξελευσομένους κήρυγμα, βαρυτάτη ἀναμένει τύχη, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ τῷ παγκοίνῳ μίσει, στερήσεσι, διωγμοῖς, βασάνοις ἀφύκτως ὑποκύψωσιν. Ἢ οὐκ ἠδύνατο τοὺς ἀποστόλους ὑποκινῆσαι εἰς πλάνην ἐλπίς τις ἀντιμισθίας παρὰ Θεοῦ ἐν τῇ μελλούσῃ ζωῇ; Ἀλλὰ φυσική ἐστι τοιαύτη ἐλπὶς εἰς πλάνους; Οὐκ ἠδύναντο ἄρα οἱ ἀπόστολοι νοῆσαι, ὅτι ἀντὶ τῶν τοιούτων προσδοκᾶν δεῖ πέραν τοῦ τάφου οὐκ ἀμοιβὰς παρὰ Θεοῦ, δεινὰς δὲ βασάνους; Ὅμως, εἰ οἱ ἀπόστολοι συγκατετίθεσαν πρὸς τοὺς ἐχθροὺς μεταβῆναι τοῦ αὐτῶν διδασκάλου, καὶ ἀνήγγελλον, ὅτι ἀποθανὼν οὐκ ἀνέστη, καίτοι πολλάκις προεῖπε περὶ τῆς αὐτοῦ ἀναστάσεως, ἄρα ψεύστης ἦν· αὐτοὶ ἂν οὕτως ἀπηλλάγησαν ἁπάντων τῶν ἐπαπειλούντων αὐτοὺς κινδύνων, καὶ ἀδιστάκτως ἔλαβον καὶ οὐ μικρὰς ὠφελείας. Οἱ γὰρ ἀρχιερεῖς καὶ Φαρισαῖοι οὐ χρημάτων ἐφείσαντο καὶ διὰ τοὺς φύλακας, ἵνα διαδῶσι μόνον, ὅτι δῆθεν οἱ μαθηταὶ ἔκλεψαν τὸ σῶμα τοῦ Ἰησοῦ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γ'. Δυνάμεθα δὲ καὶ ὅλην σειρὰν καὶ ῥητῶν ἀποδείξεων παραστῆσαι, ὅτι οἱ ἀπόστολοι, τὴν ἀνάστασιν τοῦ Χριστοῦ μαρτυροῦντες, ὄντως ἔλεγον ἀλήθειαν, καὶ ἐντελῶς εἰς αὐτὴν ἐπεποίθεσαν, καὶ ὅτι ἀληθῶς ὁ Χριστὸς ἀνέστη.

Καὶ ἡ μὲν πρώτη τῶν ἀποδείξεων τούτων ἡ αἰφνίδιός ἐστι καὶ τολμηρὰ μεταβολή, ἡ ἐν αὐτοῖς τοῖς ἀποστόλοις μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ συμβᾶσα. Πρὶν γὰρ δειλοὶ καὶ περιδεεῖς ἦσαν, νῦν δὲ αἴφνης θρασεῖς καθίστανται καὶ τολμηροί, εἰς τὸ πάγκοινον ἀπέρχονται κήρυγμα, φαίνονται ἐνώπιον πλήθους Ἰουδαίων, ἐνώπιον βασιλέων καὶ δικαστηρίων, ἐνώπιον γραμματέων καὶ φιλοσόφων. Καὶ πρὶν μέν, ὅτε τὸν Σωτῆρα εἰς τὰ πάθη καὶ τὸν θάνατον ἀπήγαγον, ἅπαντες οὗτοι, καταλιπόντες αὐτόν, διεσκορπίσθησαν· νῦν δὲ ἡμέρας τινὰς μετὰ τὸ συμβεβηκὸς τοῦτο, νῦν, ὅτε ὁ Διδάσκαλος ἤδη ἀπέθανεν, αἴφνης πάσας τὰς θυσίας ὑπὲρ αὐτοῦ τολμῶσι, πάντα ὀλιγωροῦσι πόνον, πάντα κίνδυνον, πάντα διωγμόν, δεσμά, εἱρκτάς, οὐδ' αὐτὸν τὸν θάνατον φοβοῦνται, ἀλλὰ χαριέντως ἅπαντες αὐτὸν παραλαμβάνουσι, καὶ τῷ ἑαυτῶν αἵματι τὴν περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἐπισφραγίζουσι μαρτυρίαν. Τίς οὖν ἐνέπνευσεν αὐτοῖς τὴν ἀνδρίαν ταύτην, οἵτινες πρὶν τοσούτῳ δειλῶς τὸν ἑαυτῶν κατέλιπον Διδάσκαλον κατὰ τὸν πρῶτον κίνδυνον, καὶ ἐν ταῖς βασάνοις, ἐπὶ τοῦ σταυροῦ καὶ ἐν τῷ τάφῳ αὐτὸν ὁρῶντες, διὰ τὴν ἰδίαν ἔτρεμον τύχην; Μόνη ἡ τοῦ Σωτῆρος ἀνάστασις ἑρμηνεῦσαι ἡμῖν δύναται τὴν σπανίαν ταύτην τῶν ἀποστόλων μεταβολήν· ἄνευ δὲ τοῦ μεγάλου τούτου θαύματος ἡ αὐτῶν πίστις, ὁ ζῆλος, τὸ αὐταπάρνητον, ἡ ἀνδρία ἀνεξήγητ' ἂν εἴησαν καθ' οὓς νόμους ἡ ἀνθρωπίνη διευθύνεται καρδία.

Ἡ δὲ δευτέρα ἀπόδειξίς ἐστιν ἡ τῶν Ἰουδαίων καὶ μετ' αὐτοὺς τῶν ἐθνικῶν πίστις εἰς τὸ ἀποστολικὸν κήρυγμα. Οἱ γὰρ ἀπόστολοι μετὰ τὰ αἱματόεντα πάθη καὶ τὸν θάνατον τοῦ Διδασκάλου, ἅτινα ἅπαντες ἐν Ἱερουσαλὴμ εἶδον, ἤρξαντο ἐν αὐτῇ τῇ πόλει ἐν πομπῇ ἐκφωνεῖν πρὸς τοὺς Ἰουδαίους, ὅτι ὁ ὑπ' αὐτῶν σταυρωθεὶς Χριστὸς ἀνέστη. Τί δέ; Οἱ Ἰουδαῖοι ἀποδέχονται τὸ κήρυγμα αὐτῶν κατὰ χιλιάδας. Ἀπὸ δὲ τῆς Ἱερουσαλὴμ πορεύονται οἱ τῆς τοῦ Χριστοῦ ἀναστάσεως κήρυκες εἰς τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁμόρους πόλεις καὶ κώμας, τῷ Εὐαγγελίῳ αὐτῶν πολλοὶ καὶ ἐκεῖ πιστεύουσιν· ἔρχονται πρὸς τοὺς ἐθνικούς, καὶ οὗτοι κατὰ χιλιάδας τοὺς πατρίους καὶ πατρῴους ἀποβάλλουσι Θεούς, καὶ κατὰ τὸ παράδειγμα τῶν Ἰουδαίων βούλονται εἰς τὸν σταυρωθέντα πιστεῦσαι. Μετὰ δὲ οἱ νεοφώτιστοι ἀντικείμενον μίσους καὶ περιφρονήσεως καθίστανται παρὰ τοῖς αὐτῶν συμφυλέταις, ὑποβάλλουσιν ἑαυτοὺς ὑπὸ παντοίας στερήσεις καὶ δυστυχίας, καὶ οὐδέν, οὔτε θλίψις ἢ στενοχωρία, οὔτε διωγμὸς ἢ πεῖνα, οὔτε γυμνότης ἢ μάχαιρα ἀποσπᾶσαι αὐτοὺς δύνανται „ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ (Ῥωμ. η', 35, 39)· ὡς πρόβατα ἐπὶ σφαγὴν ἄγονται", καθ' ἑκάστην θανατοῦνται (36), καὶ τρεῖς παρέρχονται ἑκατονταετηρίδες θηριωδῶν διωγμῶν κατὰ τῶν Χριστιανῶν, ἀλλ' οὗτοι ἀκλόνητοι ἐν τῇ αὐτῶν ἐμμένουσι πίστει. Τί ἄρα δηλοῖ τοῦτο, εἰ ὁ Χριστὸς οὐκ ἀνέστη; Πῶς δ' ἂν πιστεύοιεν τοῖς ἀποστόλοις μυριάδες συγχρόνων; Τί δ' ἂν τοσούτῳ μεταλλάξειε τὰς μυριάδας ταύτας καὶ εἰς πάσας ἐμψυχώσειε τὰς θυσίας;...

Δυνάμεθα δὲ καὶ μεταγενεστέρας οὐχ ἧττον θαυμασίας τῆς τοῦ Χριστοῦ ἀναστάσεως ἀποδείξεις καὶ τὰ σπάνια γεγονότα ὀνομάσαι, ἅτινα ἡ ἑπομένη ἱστορία τῆς Ἐκκλησίας τῆς καινῆς Διαθήκης, ὥσπερ νέους ἀδιστάκτους χαρακτῆρας τῆς θειότητος τῆς ἀρχῆς τῆς χριστιανικῆς θρησκείας, παρίστησιν.

## 2. Χαρακτῆρες ἐκ τῆς ἱστορίας τῆς τοῦ Χριστοῦ Ἐκκλησίας.

### §. 102. Ἀπαρίθμησις αὐτῶν.

Ἐνταῦθα ἀνάγονται κατ' ἐξοχὴν α'. ἡ ἐπέλευσις τοῦ ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀποστόλους, β'. ὁ αὐτῶν χαρακτὴρ καὶ τὰ θαύματα, γ'. εἰδικῶς ἡ τοῦ ἁγ. ἀποστόλου Παύλου ἐπιστροφὴ καὶ τὰ θαύματα, δ'. ἡ θαυματικὴ τοῦ Χριστιανισμοῦ ἐπὶ τῆς γῆς διάδοσις, ε'. θαυματικαὶ αὐτοῦ ἐνέργειαι ἐν τοῖς ἀνθρώποις.

### §. 103. Περὶ τῆς ἐπελεύσεως τοῦ ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀποστόλους.

Ἡ τοῦ ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀποστόλους ἐπέλευσις τὸ πρῶτον σπάνιον ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἦν γεγονός, ἐξ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



οὗ καὶ αὐτὴ αὐτῆς ἡ ἱστορία ἤρξατο. Πῶς δὲ τοῦτο ἐγένετο, ἀκριβῶς περιγράφει ὁ ἅγιος εὐαγγελιστὴς Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, λέγων· „Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος· καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους. Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ; Ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· Τί ἂν θέλοι τοῦτο εἶναι (Πράξ. β΄, 1-12)“;

Ἡ ἀξία τοῦ γεγονότος τούτου, ὥσπερ ἀποδείξεως τῆς θειότητος τῆς χριστιανικῆς θρησκείας, ἀποκαλύπτεται α΄. ἐξ αὐτοῦ τοῦ χαρακτῆρος αὐτοῦ· ἔστι γὰρ πασιφανῶς γεγονὸς ὑπερφυσικόν· β΄. ἐκ τοῦ ὅτι σαφῶς καὶ πολλάκις ὑπὸ τοῦ Σωτῆρος προείρηται (Ἰωάν. ιδ΄, 16, 17, 26· ις΄, 7, 8, 13, 14· Λουκ. κδ΄, 49)· γ΄. ἐκ τοῦ ὅτι ἀναντίῤῥητός ἐστι μαρτυρία τῆς ἀναστάσεως καὶ ἀναλήψεως τοῦ Σωτῆρος εἰς τὸν οὐρανόν· χωρὶς δὲ τούτων μὴ ἂν συμβαίη (Ἰωαν. ζ΄, 39· ις΄, 7, 8)· δ΄. ἐκ τοῦ ὅτι ἡ τοῦ ἁγίου Πνεύματος ἐπὶ τὴν γῆν κατέλευσις ἀρχὴ ἦν καὶ αἰτία ἁπάντων τῶν ἑπομένων ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ σημείων, ἅτινα τὴν θειότητα αὐτῆς μαρτυροῦσιν.

Τὸ δὲ ἀξιόπιστον τοῦ θαύματος τούτου α΄. ἀπεκαλύφθη ἀμέσως ἐπ᾽ αὐτῶν τῶν ἀποστόλων διὰ νέου θαύματος· οὗτοι γάρ, ἅμα ἐπ᾽ αὐτοὺς κατῆλθε τὸ ἅγιον Πνεῦμα, ἄφνω „ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι (Πράξ. β΄, 4)“· β΄. ὑπ᾽ ἀπείρου πλήθους λαοῦ Ἰουδαίων τε καὶ ἐθνικῶν προσηλύτων ἐμαρτυρήθη, συνελθόντων τότε εἰς Ἱερουσαλὴμ πανταχόθεν διὰ τὴν ἑορτὴν τῆς Πεντηκοστῆς. Ἡ δ᾽ ἔκστασις καὶ ὁ θαυμασμὸς τῶν μαρτύρων τούτων τοσούτῳ μέγας ἦν, ὥστε μόλις μόνος ὁ ἀπόστολος Πέτρος ἡρμήνευσεν αὐτοῖς τὸ σπάνιον φαινόμενον, ἐνώπιον αὐτῶν συμβάν, εἰπών· „Μετανοεῖτε, καὶ βαπτισθήτω ἕκαστος ἡμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος (38)“· καὶ ἀμέσως ἐπέστρεψαν εἰς Χριστὸν ἐν μιᾷ ἡμέρᾳ περὶ τὰς 3,000. Ἀπόδειξις δέ, ὅτι ὄντως οἱ ἀπόστολοι ἔλαβον τότε τὸ δῶρον τῶν γλωσσῶν, ὅπερ διέμεινε παρ᾽ αὐτοῖς ἐσαεί, τὸ κήρυγμα αὐτῶν ἐστι. Πῶς γὰρ ἂν προσαγάγοιειν αὐτὸ ἀνὰ πᾶσαν τὴν γῆν, ἀναγγείλειαν πᾶσι τοῖς ἔθνεσι, καὶ ἐν πάσαις ταῖς χώραις τοῦ κόσμου ἱδρύσειαν κοινότητας πιστῶν (γεγονὸς ἀναμφίβολον!) χωρὶς τοῦ θαυματικοῦ τούτου δώρου;

§. 104. Χαρακτὴρ καὶ θαύματα τῶν ἁγίων ἀποστόλων[288].

Ἀλλ᾽ οὐ τούτοις μόνοις περιωρίσθη ἡ ἐνέργεια τοῦ ἁγίου Πνεύματος, ἐπὶ τοὺς ἀποστόλους κατελθόντος· καὶ αὐτὰς αὐτῶν τάς τε νοερὰς καὶ ἠθικὰς μετέβαλεν ἰδιότητας, καὶ αὐτοὺς περιέβαλε τῇ δυνάμει τοῦ σημεῖα καὶ θαύματα ποιεῖν.

α΄. Ὁ Σωτὴρ ἐπηγγείλατο τοῖς μαθηταῖς· „Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν (Ἰωάν. ιϛ΄, 13)· ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα, ὅσα εἶπον ὑμῖν (ιδ΄, 2, 26)“. Οὕτω καὶ συνέβη. Οἱ γὰρ ἀπόστολοι ἁπλοῖ ἦσαν καὶ ἀπαίδευτοι (Πράξ. δ΄, 13), καὶ ὅσῳ ἂν διδάξειεν αὐτοὺς ὁ Σωτήρ, πολλὰ τῆς αὐτοῦ

---

[288] Βλ. Χριστ. ἀναγν. 1835, II, σελ. 297-312· Γνῶμαι τῶν τῆς Ἐκκλησίας διδασκάλων περὶ τῶν πρώτων θεοσόφων κηρύκων τοῦ Εὐαγγελίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διδασκαλίας οὐκ ἐνόουν (Λουκ. κδ', 25, 26· Ἰωάν. ις', 12), καὶ ἔστιν ὅτε ἀντέλεγον αὐτῷ (Ματθ. ις', 22)· καὶ δὴ καὶ μετὰ τὴν ἀνάστασιν αὐτοῦ οὔπω ἠδύναντο καὶ μετὰ νέας καὶ ἀκριβεστέρας διδασκαλίας ἐντελῶς ἀπαλλαγῆναι τῶν οὐκ ὀρθῶν γνωμῶν τῶν ἑαυτῶν συμπολιτῶν περὶ τοῦ Μεσσίου, καὶ δεόντως νοῆσαι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ (Πράξ. α', 6, 7). Νῦν δὲ βλέπομεν ἐν αὐτοῖς ἄλλο τι. Ἅμα γὰρ κατῆλθεν ἐπ' αὐτοὺς τὸ ἅγιον Πνεῦμα, αἴφνης ἄρχονται ἀναγγέλοντες περὶ Θεοῦ διδασκαλίαν ὑψίστην καὶ τελειοτάτην, ἐννοίας περὶ Μεσσίου ἀναπτύσσοντες, ὧν ἁγνότεραι καὶ ἀξιοπρεπέστεραι οὐ δύνανται εἶναι, κανόνας τῆς ἠθικῆς παραδιδόντες, ἀπείρως ἀνωτέρους ἁπασῶν τῶν ἀνθρωπίνων ἠθικῶν διδασκαλιῶν. Οἱ ἰχθυοπῶλαι οὗτοι ταχέως ἐκπλήσσουσι τῷ ἑαυτῶν κηρύγματι τὴν Ἰουδαίαν, τὴν Ἀσίαν, τὴν Ἑλλάδα καὶ τὰς ἄλλας χώρας· θαῤῥοῦντες δὲ πρὸς λογίους καὶ φιλοσόφους ἀμφισβητοῦσι, τὴν σωτηρίαν τοῦ κόσμου εὐαγγελιζόμενοι, καὶ καταισχύνουσι τὴν σοφίαν τῶν σοφῶν, καὶ τῇ δυνάμει τοῦ λόγου αὐτῶν πανταχοῦ προσάγουσι πρὸς τὸν Χριστὸν ἄπειρον λαοῦ πλῆθος. Ἀλλὰ καὶ μέχρις ἡμῶν διεσώθησαν τὰ ἅγια αὐτῶν συγγράμματα, ἐν τῇ Ἐκκλησίᾳ τηρούμενα, ἅτινα τίς, ἄνευ προλήψεως ἐν καθαρᾷ ψυχῇ καὶ καρδίᾳ ἀναγνούς, οὐκ ἐθαύμασε τὸ σπάνιον ὕψος καὶ τὴν εὐκρίνειαν τῶν ἐν αὐτοῖς περιεχομένων ἀληθειῶν, τὴν σαφήνειαν καὶ ἁγνότητα τῶν κανόνων, τὴν θαυμασίαν αὐτοῦ τοῦ λόγου ἰσχύν; Τί δ' ἄρα ταῦτα δεικνύουσιν, εἰ μὴ ὅτι αὐτὸς ὁ Θεὸς ἐδωρήσατο τοῖς ἀποστόλοις „στόμα καὶ σοφίαν (Λουκ. κα', 15)", ὅτι ἐκήρυσσον καὶ ἔγραφον κατ' ἔμπνευσιν ἐκ Πνεύματος ἁγίου, καὶ ὅτι ὁ λόγος αὐτῶν ἦν καὶ ἔστιν οὐκ ἀνθρώπινος, ἀλλ' ὄντως λόγος τοῦ Θεοῦ (α'. Θεσσαλ. β', 13);

Περὶ τῶν ἠθικῶν ἰδιοτήτων τῶν ἀποστόλων εἴπομεν ἤδη (§. 101)· ὅθεν ᾧδε ἐπαναλαμβάνομεν ἐν συντόμῳ, ὅτι μετὰ τὴν ἐπέλευσιν ἐπ' αὐτοὺς τοῦ ἁγίου Πνεύματος, μετὰ τὴν τοῦ Χριστοῦ ἀνάστασιν συμβᾶσαν, ἀσυγκρίτως ἀνώτεροι ἐγένοντο ἠθικῶς ἢ πρίν. Καὶ μεγάλη μὲν ἦν ἡ αὐταπάρνησις αὐτῶν, πάντα γὰρ καταλιπόντες, ἠκολούθησαν τῷ Σωτῆρι· τὸ παράδειγμα δὲ τῶν υἱῶν τοῦ Ζεβεδαίου (Μάρκ. ι', 35-37) δεικνύει, ὅτι ἐν τῇ καρδίᾳ τῶν μαθητῶν τοῦ Χριστοῦ ἐκρύπτοντο ἔτι λείψανα τῆς φιλαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γυρίας καὶ τῆς πρὸς τὰ βιωτικὰ ἀγαθὰ ἀφοσιώσεως. Μεγάλη καὶ ἡ πρὸς τὸν Κύριον καὶ Διδάσκαλον ἀγάπη, ἀλλ' αὕτη οὔπω ὑπερίσχυεν, οὐδὲ κατέθλιβεν ἐν αὐτοῖς τὴν πρὸς ἑαυτοὺς ἀγάπην· ὅτε γὰρ ἐπέστη ὁ κίνδυνος, ἅπαντες κατέλιπον τὸν θεῖον καθηγητήν, καὶ διεσπάρησαν (Ματθ. κς', 56). Ἀδίστακτος καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη αὐτῶν· περιστάσεις δέ τινες ἀνέδειξαν καὶ τὴν αὐτῆς ἀσθένειαν (Λουκ. θ', 54). Ἀλλ' ὅμως τῇ ἐπελεύσει τοῦ ἁγίου Πνεύματος ἐπ' αὐτοὺς πάντα μετηλλάγησαν· ἡ δὲ αὐταπάρνησις, ἡ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπη αἴφνης τὸν ὕψιστον φθάνουσι βαθμόν· καὶ γὰρ ἕνεκα τοῦ ὀνόματος τοῦ Θεοῦ καὶ τῆς τοῦ πλησίον σωτηρίας τὰς μεγίστας τολμῶσι θυσίας καὶ λύπας, „καὶ πεινῶσι, καὶ διψῶσι, καὶ γυμνητεύουσι, καὶ κολαφίζονται, καὶ ἀστατοῦσι, καὶ κοπιῶσιν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. Λοιδωρούμενοι εὐλογοῦσι, διωκόμενοι ἀνέχονται, βλασφημούμενοι παρακαλοῦσιν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθησαν, πάντων περίψημα (α'. Κορ. δ', 11-13)“· πρὸς διάπραξιν δὲ τῶν πόνων αὐτῶν καὶ τῶν παθημάτων ἐκ τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης τὴν ἰδίαν τιθέασι ψυχήν.

β'. Τὸ δῶρον τῆς θαυματουργίας, ὃ παρέλαβον οἱ ἀπόστολοι ἅμα τῇ ἐπελεύσει ἐπ' αὐτοὺς τοῦ ἁγίου Πνεύματος, ἀνεφάνη ἐν τοῖς ἀπείροις αὐτῶν σημείοις. Διὸ ὁ ἅγιος Λουκᾶς ἱστορεῖ, ὅτι α'. ὁ ἀπόστολος Πέτρος ἐθεράπευσε χωλὸν ἐκ γενετῆς, καὶ ἕνεκα τοῦ θαύματος τούτου ἐπέστρεψαν εἰς Χριστὸν περὶ τὰς 5,000 ἀνθρώπων (Πράξ. γ'.), καὶ αὐτοὶ οἱ ἐχθροὶ ὡμολόγουν τὸ ἀξιόπιστον τοῦ θαύματος (ιδ', 16)· β'. ἐθεράπευσεν Αἰνέαν τινά, ὀκτὼ ἤδη ἐν παραλύσει κατακείμενον ἔτη, καὶ ἅπαντες οἱ κατοικοῦντες Λύδδαν καὶ Σάρωνα ἐπέστρεψαν ἐπὶ τὸν Κύριον (θ', 33-35)· γ'. ἀνέστησεν ἐν Ἰόππῃ μαθήτριάν τινα, ὀνόματι Ταβιθάν, καὶ αὖθις πολλοὶ ἐπίστευσαν εἰς τὸν Κύριον (-37-42)· δ'. καὶ μόνη ἡ τοῦ Πέτρου σκιά, ἐπὶ τοὺς ἀσθενεῖς πίπτουσα, παρ' οἷς παρήρχετο, ἐθεράπευε πᾶσαν νόσον (ε', 15, 16). Ἐν δὲ σημειοῖ ὁ ἅγιος Λουκᾶς ε'. καθόλου μὲν περὶ τῶν ἀποστόλων, ὅτι, „διὰ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά“, ὧν ἕνεκα „μᾶλλον προσετίθεντο πι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*στεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναικῶν (ε', 12, 14)· ς', εἰδικῶς δὲ περὶ τοῦ ἁγίου Φιλίππου. „Προσεῖχον οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ ἐξήρχετο· πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν (η', 6, 7)“· ζ'. καὶ ἄλλων τινῶν σημείων, ὑπὸ τῶν ἀποστόλων ἐκτελεσθέντων, μέμνηται (π. χ. Πράξ. ε', 1-5· ι', 44, 45).*

*Πρὸς ὑποστήριξιν δὲ τῆς ἱστορικῆς ἀξιοπιστίας καὶ βεβαιότητος τῶν ἀποστολικῶν θαυμάτων δεῖξαι δυνάμεθα.*

1. *Τὴν ἀξίαν τοῦ αὐτὰ μαρτυροῦντος συγγραφέως. Ὁ γὰρ ἅγιος Λουκᾶς, ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐμπνεόμενος, καὶ τὰ φυσικὰ εἶχε μέσα τὴν ἀλήθειαν ἐπιγνῶναι· τὰ μὲν γὰρ τῶν θαυμάτων τούτων καὶ αὐτὸς εἶδε, τὰ δ' ἄλλα παρ' αὐτοπτῶν ἀκοῦσαι ἠδύνατο. Ἐγίνωσκε δὲ καὶ τοὺς ἐκτελεστὰς τούτων ἀποστόλους, πρὸς οὓς καὶ ἐκοινώνει, καὶ τοὺς ἐφ' ὧν αὐτὰ διεπράχθησαν καὶ τοὺς ἕνεκα αὐτῶν τὴν πίστιν παραλαβόντας· παρὰ τούτων δὲ πάντων παραλαβεῖν ἠδύνατο τὰς γνησιοτάτας γνώσεις. Ἀλλὰ καὶ ὑποπτεῦσαι ἀδύνατόν ἐστιν, ὅτι δῆθεν ὁ ἅγιος Λουκᾶς σκοπὸν προέθετο ἀπατῆσαι, τὴν περιγραφὴν τῶν ἀποστολικῶν θαυμάτων ποιούμενος· τούτοις γὰρ ἀντιλέγουσι α'. ὁ ὑπ' αὐτοῦ ἐκλεχθεὶς τρόπος τῆς περιγραφῆς· ὁ ἅγιος ἱστορικὸς ἀκριβῶς δεικνύει τοὺς τόπους, ἐφ' ὧν ἐγένοντο τὰ σημεῖα, ὀνομάζει τοὺς ἐφ' ὧν αὐτὰ ἐξετελέσθησαν, συχνάκις ἀναφέρει μάρτυρας, εἰς ταῦτα παρόντας, καὶ πολλὰς ἄλλας περιστάσεις τοῦ θαυματικοῦ γεγονότος· β'. τὸν χρόνον τῆς περιγραφῆς· ἔγραψε γὰρ τὴν ἑαυτοῦ βίβλον ἐπὶ τῶν συγχρόνων, οἵτινες καὶ αὐτοὶ λίαν καλῶς ἐγίνωσκον τὰς πράξεις τῶν ἀποστόλων, καὶ βοηθούμενοι ὑπὸ τῶν γραφεισῶν ὑπ' αὐτοῦ μνημονεύσεων τῶν τόπων, ῥᾶστα ἠδύναντο πιστεῦσαι τῇ διηγήσει αὐτοῦ, καὶ ἐλέγξαι αὐτόν, εἰ ἐν αὐτῇ ψευδές τι ἐφαίνετο· γ'. τὸν σκοπὸν τῆς συγγραφῆς· ὁ ἅγιος Λουκᾶς ἀδιστάκτως τὴν Χριστιανικὴν ἐσκόπει θρησκείαν, τὴν θειότητα αὐτῆς ἀποδεικνύων, καὶ δι' αὐτοῦ διαθεῖναι βουλόμενος τοὺς ἄλλους πρὸς παραλαβὴν αὐτῆς· εἰ δὲ εἰσαγάγοιεν εἰς τὴν συγγραφὴν ταύτην πολλὰ πλασθέντα γεγονότα, ὧν τὸ ψεῦδος*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὔκολον εἴη ἐξελέγξαι κατὰ τὰς δείξεις αὐτοῦ, ἐξελέξατ' ἂν πασιφανῶς μέσον ὅλως ἀντίθετον τῷ ἑαυτοῦ σκοπῷ. Συντόμως δ' εἰπεῖν, εἰ ὁ ἅγιος Λουκᾶς οὐ τὴν ἀλήθειαν ἔλεγε, τὰ θαύματα τῶν ἀποστόλων διηγούμενος, οἱ σύγχρονοι οὐκ ἂν αὐτῷ ἐπίστευον, καὶ ἀπέβαλλον τὴν βίβλον αὐτοῦ. Ἀλλ' ὅμως οἴδαμεν, ὅτι τὴν βίβλον ταύτην ἀπεδέξαντο ἐκ τῶν χειρῶν αὐτοῦ μετὰ μεγίστου σεβασμοῦ ὡς θείαν, καὶ τὸ πρὸς αὐτὴν σέβας αὐτῶν μετέδωκαν καὶ τοῖς ἀπογόνοις· κρείττων δὲ μαρτυρία περὶ τοῦ κύρους ἱστορικῆς τινος συγγραφῆς ἀδύνατος ὑπάρξαι.

2. Τὰς ὑπὸ τῶν ἀποστόλων ἱδρυθείσας ἐν ἅπασι τοῖς ὁρίοις τῆς οἰκουμένης ἐκκλησίας. Τὸ γεγονὸς τοῦτο ἀρνήσασθαι ὅλως ἀδύνατόν ἐστι, καὶ γὰρ οὐχ ὑπὸ μόνων χριστιανῶν συγγραφέων ὑποστηρίζεται, ἀλλὰ καὶ ὑπὸ ἐθνικῶν συγχρόνων, οἷοί εἰσι Τάκιτος[289], Πλίνιος[290] καὶ ἄλλοι. Πῶς οὖν ἂν ἱδρύσαιντο οἱ ἀπόστολοι τὰς ἐκκλησίας ταύτας; Τίνι ἂν διαθεῖεν τοὺς Ἰουδαίους καὶ ἐθνικοὺς τὴν πίστιν ἀφεῖναι καὶ πάντα τὰ ἱερὰ ἔθιμα τῶν πατέρων καὶ παραλαβεῖν διδασκαλίαν μυστηρίων πλήρη, ἠθικὴν αὐστηροτάτην, ἄρνησιν πάντων τῶν τοῦ κόσμου ἀγαθῶν ἀπαιτοῦσαν, εἰς σταυρωθέντα πιστεῦσαι; Ταῦτα δὲ ἀδύνατον ἄλλως ἑρμηνεῦσαι, εἰ μὴ ὡς ἑρμηνεύει ὁ ἅγιος Λουκᾶς, τὰς πράξεις τῶν ἀποστόλων διηγούμενος· μόνα τὰ θαύματα τῶν ἀποστόλων πάντ' ἂν πείθοιεν εἰς τὴν θείαν ἀποστολήν, μόνα ταῦτα, συνεργούσης τῆς θείας χάριτος, ὁλοκλήρους ἂν χιλιάδας ἀναγκάζοιεν αἴφνης πάντα ἀφιέναι ὑπὲρ τῆς τοῦ Χριστοῦ θρησκείας, καὶ εἰς πάντας τολμᾶν τοὺς πειρασμούς, τὰ πάθη καὶ τὸν θάνατον ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ[291].

3. Καὶ τοὺς τοῦ Χριστιανισμοῦ ἐχθρούς, κατὰ τὰς ἀρχὰς τῆς ἡμετέρας χρονολογίας, οἵτινες οὐδέποτε τὰ ἀποστολικὰ ἠρνήσαντο θαύματα, καίπερ ἀκούοντες αὐτῶν παρὰ τῶν πιστευόν-

---

289 Annal. lib. XV. cap. 44.

290 Epistol. lib. X. epist. 97.

291 Οὕτως ἡρμήνευον τὸ γεγονὸς τοῦτο καὶ οἱ ἀρχαῖοι τῆς Ἐκκλησίας ποιμένες· π. χ. ὁ ἅγιος Χρυσόστομος (εἰς Πράξ. Ἀποστ. Ὁμιλ. ια'. ἀρ. 2), ὁ μακ. Ἱερώνυμος (Comment. in Isaiam lib. VIII, cap. 68), ὁ μακ. Αὐγουστῖνος (de civit. Dei libr. XXII, cap. 8, ἀρ. 1) καὶ ἄλλοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



*των μνημονευομένων. Ἀπόδειξις δὲ τούτου ἐστὶ τόδε, ὅτι α΄. οἱ ἀρχαῖοι τῆς χριστιανικῆς θρησκείας προασπισταί, ἐν τοῖς ἑαυτῶν συγγράμμασι διαφόρους ἀνασκευάζοντες ἀντιῤῥήσεις τῶν ἀντιπάλων αὐτῆς, οὐδέποτε προθυμοῦνται ἀποκρίνασθαι εἰς τὴν ἀντίῤῥησιν κατὰ τῆς γνησιότητος τῶν ἀποστολικῶν θαυμάτων· ἀδύνατον δέ, ὅτι οἱ προασπισταὶ οὗτοι ἄνευ προσοχῆς κατέλιπον τοιαύτην σπουδαίαν ἀντίῤῥησιν, εἰ αὕτη ἀληθῶς ὑπῆρχε. β΄. Ἀδιστάκτως γινώσκομεν ἐκ τῶν ἔργων Κέλσου*[292]*, Πορφυρίου*[293] *καὶ Ἰουλιανοῦ*[294]*, οἵτινες, οὐ τὰ ἀποστολικὰ ἠρνοῦντο θαύματα, οὐδὲ τὰ τοῦ Χριστοῦ, ἀλλὰ προεθυμοῦντο τὴν διάπραξιν αὐτῶν τῇ δυνάμει τῆς μαγίας ἀποδιδόναι.*

*Νέα ὅμως ἀπόδειξις τῆς γνησιότητος τῶν ἐπὶ τῶν ἀποστόλων ἐκτελουμένων θαυμάτων καὶ νέον θαῦμα, ἀρχὴ πολλῶν θαυμάτων τότε ὄν, ἡ τοῦ ἁγίου ἀποστόλου Παύλου εἰς τὸν Χριστιανισμὸν ἐπιστροφὴ ἦν.*

### §. 105. *Περὶ τῆς ἐπιστροφῆς καὶ τῶν θαυμάτων τοῦ ἁγίου ἀποστόλου Παύλου*[295].

*Α΄. Τὴν ἐπιστροφὴν ταύτην δὶς διηγεῖται αὐτὸς ὁ ἅγιος Παῦλος, τὸ μὲν ἐνώπιον τοῦ πλήθους τῶν συμπολιτῶν αὐτοῦ Ἰουδαίων (Πράξ. κβ΄,* 1-20)*, τὸ δὲ ἐνώπιον τοῦ βασιλέως Ἀγρίππα (κς΄,* 1-20)*· πρὸς δὲ καὶ ὁ ἅγιος Λουκᾶς περιγράφει (δ΄.) Μνημονεύσωμεν δ᾽ ἐνταῦθα τῶν λόγων αὐτοῦ τοῦ Παύλου ἐκ τῆς ὁμιλίας αὐτοῦ πρὸς τοὺς συμπολίτας· „ἐγώ“, ἔλεγεν αὐτοῖς, „εἰμὶ ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δ᾽ ἐν τῇ πόλει ταύτῃ, παρὰ τοὺς πόδας Γαμαλιὴλ πεπαιδευμένος κατ᾽ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστὲ σήμερον· ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς*

---

[292] *Βλ. παρ᾽ Ὠριγένῃ πρὸς Κέλσ. Βιβλ. Α΄. ἀρ.* 6, 38, 68· *Β΄. ἀρ.* 14.

[293] *Παρ᾽ Ἱερων.* contra Vigil.

[294] *Παρὰ Κυρίλ. Ἀλεξ. κατὰ Ἰουλιαν. Βιβλ. ι΄.*

[295] La religion Chrétienne, demontrée par la conversion et l'apostat de Saint Paul, par Littleton, traduit de l'anglais par l'abbé Guénée, Paris, 1754.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



*εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας· ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι καὶ πᾶν τὸ πρεσβυτέριον, παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφούς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα τιμωρηθῶσιν. Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ, περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ· ἔπεσά τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαούλ, τί με διώκεις; Ἐγὼ δ' ἀπεκρίθην. Τίς εἶ, Κύριε; Εἶπέ τε πρός με· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι· Εἶπον δέ· Τί ποιήσω, Κύριε; Ὁ δὲ Κύριος εἶπε πρός με· Ἀναστὰς πορεύου εἰς Δαμασκόν· κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι. Ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς Δαμασκόν. Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων, ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. Ὁ δὲ εἶπεν· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ· ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας. Καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ (Πράξ. κβ', 8-16).*

Ὑποπτεῦσαι δέ, ὅτι ἐν τούτοις προαίρεσίς τις ἀπάτης ἐκρύπτετο, εἴη ἂν μεγίστη ἀλογία·

α'. Διὰ τὴν προαίρεσιν ταύτην ἀδύνατον ἐπινοῆσαι αἰτίαν τινά· οἱ γὰρ πλάνοι πάντοτε ἐνεργοῦσιν ἐκ πλεονεκτικῶν σκοπῶν, ἤτοι ἐξ ἐπιθυμίας δόξης ἢ καθόλου ἐξ ἄλλων κοσμικῶν συμφερόντων. Ἀλλ' ὁ Παῦλος ἠδύνατο τοιοῦτό τι προσδοκᾶν, πρὸς τοὺς Χριστιανοὺς μεταβάς; Ἡ τότε ἐξωτερικὴ τῶν Χριστιανῶν κατάστασις λίαν ἄζηλωτος ἦν· αὐτοὺς γὰρ πάντες κατεδίωκον καὶ περιεφρόνουν· τοῖς δὲ ἀποστόλοις προεῖπε κατ' ἰδίαν ὁ Σωτὴρ μόνας στερήσεις, πικρίας καὶ παντοῖα παθήματα, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



ἡ τοῦ Παύλου ἱστορία ἀποδείκνυσιν, ὅτι ὄντως τοιαύτη ἦν ἡ τύχη καὶ αὐτοῦ μετὰ τὴν εἰς τὸν Χριστιανισμὸν ἐπιστροφήν, ὡς αὐτὸς περὶ ἑαυτοῦ ἐμαρτύρει (α'. Κορ. δ', 9-13· β'. Κορινθ. δ', 8· ια', 23-28). Ἀλλ' ὅμως, εἰ μὴ πρὸς τοὺς Χριστιανοὺς μετέβαινεν, ἔμενε δὲ ἐν ᾗ ἀνετράφη αἱρέσει, βεβαιότερον ἂν καὶ τιμῶν καὶ ἐγκοσμίων ἐτύγχανεν ἀξιωμάτων· διεκρίνετο γὰρ σπανίαις ἱκανότησι, καὶ γὰρ ἀνετέθραπτο παρὰ τῷ διασημοτάτῳ τῶν τότε ῥαββίνων Γαμαλιήλ, καὶ ἤδη ἔτυχε πρὸς ἑαυτὸν ἐφελκύσας τὴν εὔνοιαν τῶν προϊσταμένων αὐτοῦ τῷ θερμῷ ζήλῳ πρὸς τὸν νόμον καὶ τῷ κατὰ τῶν Χριστιανῶν μίσει. Πρὸς δὲ ὁ Παῦλος οὐκ ἠδύνατο μὴ προϊδεῖν, ὅτι, τὴν πίστιν τῶν πατέρων μεταβάλλων καὶ τὴν αἵρεσιν τῶν Φαρισαίων, ᾗ πρὶν ἀνῆκε, καὶ ἣν ὅπλον πρὸς καταδίωξιν τῶν Χριστιανῶν ἐξελέξατο, τῷ μεγίστῳ ὑπέκειτο μίσει τῶν συμπολιτῶν, ὡς ἀποστάτης, οὐδὲ ἠδύνατο μὴ νοῆσαι, ὁποία τύχη ἀνέμενεν αὐτὸν ἀπὸ τῶν Ἰουδαίων (Πράξ. θ', 23)· ὁ γὰρ τοῦ Στεφάνου θάνατος ἔναυλος ἔτι ἦν. Καὶ ὅμως, καὶ τοιούτων δυσχερειῶν οὐσῶν, ὁ Παῦλος Χριστιανὸς ἐγένετο, καὶ ἀπὸ διώκτου τῆς χριστιανικῆς Ἐκκλησίας σφόδρα ζηλωτὴς καὶ προασπιστὴς αὐτῆς κατέστη.

β'. Τῇ ὑπὸ τοῦ Παύλου ὑποτιθεμένῃ πλάνῃ οὐκ ἂν πιστεύσειαν οἱ Ἰουδαῖοι, οἳ ἂν ἐκ τοῦ πρὸς αὐτὸν μίσους ἕνεκα τῆς μεταβολῆς ἐξαφθέντες, παντοίως σπουδάζοιεν ψευδόμενον αὐτὸν ἐξελέγξαι τοσούτῳ μᾶλλον, καὶ γὰρ ὁ Παῦλος, οἱονεὶ ἐξ ἀπροσεξίας προέδειξεν αὐτοῖς πάντα τὰ πρὸς αὐτὴν τὴν μεταβολὴν αἴτια, δηλώσας, ὅτι μάρτυρες τῆς θαυματικῆς κλήσεως αὐτοῦ εἰς τὴν Χριστιανικὴν θρησκείαν πάντες οἱ αὐτῷ συνοδοιπόροι εἰς Δαμασκὸν ἦσαν, φόνον, ὡς αὐτός, κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ πνέοντες, καὶ ὅτι οὗτοι εἶδον τὴν σπανίαν ἐκείνην λάμψιν, εἶδον τὴν τύφλωσιν αὐτοῦ, καὶ βεβιασμένοι ἦσαν αὐτὸν χειραγωγῆσαι μέχρι τοῦ τέρματος τῆς ὁδοιπορίας, ὅπου καὶ θαυματικῶς τὴν ἴασιν ἔλαβε. Τί δὲ δεικνύει ἡ μετὰ ταῦτα ἱστορία; Ἕνεκα τοῦ φανατικοῦ πρὸς τὸν Παῦλον μίσους συχνότατα οἱ Ἰουδαῖοι ἀνέστησαν κατ' αὐτοῦ, ἔνοχον ταραχῶν, ἀλλαγῆς τῆς πίστεως καὶ βλάβης τῆς κοινῆς ἡσυχίας δεῖξαι πειρώμενοι· ἀλλ' οὐδέποτε, οὐδέποτε ἐτόλμησαν ἐξελέγξαι ὑποκρινό-

μενον καὶ ψευδόμενον. Προσεκτικῶς δὲ καὶ ἀναντιῤῥήτως ἤκουσαν τοῦ λόγου τοῦ Παύλου, ὅτε αὐτοῖς διηγεῖτο τὰς αἰτίας τῆς θαυματικῆς αὐτοῦ ἐπιστροφῆς, καὶ μανιώδεις ἐθορύβησαν, ἀκούσαντες, ὅτι ὑπὸ τοῦ Κυρίου πρὸς τοὺς ἐθνικοὺς ἀπεστάλη κηρύξων (Πράξ. κβ', 1-22).

γ'. Οὐδ' ἂν οἱ Ἰουδαῖοι καὶ αὐτοὶ οἱ Χριστιανοί, καίτοι αὐτοῖς φαινομένως εὐηρέστει, τῇ πλάνῃ ταύτῃ πιστεύσειαν. Οἱ γὰρ Χριστιανοὶ ἐγίνωσκον, ὅτι ὁ Παῦλος τότε θερμότατος ἦν μέχρι διώκτης, καὶ τούτου ἕνεκα εἰς τὴν αὐτοῦ ἐπιστροφὴν εἰς τὴν θρησκείαν αὐτῶν ὤφειλον φύσει θεωρῆσαι μεθ' ὑποψίας, μή τις ἰδία καὶ ἐσκεμμένη δολιότης πρὸς βλάβην αὐτῶν ὑποκρύπτηται. Ἄρα οὐ τῇ ἐπιστροφῇ ταύτῃ πιστεῦσαι ἠδύναντο, πρὶν προερευνήσωσι μετὰ προσοχῆς αὐτήν. Οὕτω καὶ ἐγένετο· ὅτε γὰρ ὁ Παῦλος μετὰ τὴν ἐπιστροφὴν ἦλθεν εἰς Ἱερουσαλήμ, καὶ „ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς“ τοῦ Χριστοῦ, „πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες, ὅτι ἐστὶ μαθητής (Πράξ. θ', 26)· ἐπίστευσαν δέ, ὅτε ἐβεβαιώθησαν, ὅτι ὄντως θαυματικῶς ὑπ' αὐτοῦ τοῦ Κυρίου κέκληται.

δ'. Πᾶσαν γνώμην περὶ τῆς προτεινομένης πλάνης ἀπὸ τοῦ Παύλου ἀνατρέπουσιν ἤδη ἐντελῶς τὰ ἴδια αὐτοῦ θαύματα, ἃ ἐποίει καὶ ποιεῖν ἠδύνατο τῇ αὐτῷ δοθείσῃ παρὰ Θεοῦ δυνάμει.

Β'. Πολλὰ τῶν θαυμάτων τούτων κατεγράφησαν ὑπὸ τοῦ ἁγίου Λουκᾶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων. Οὗτος δὲ διηγεῖται, ὅτι ὁ ἅγιος Παῦλος α'. ἐτύφλωσε τὸν μάγον Ἐλύμαν, εἰπὼν αὐτῷ μόνον· „Ἰδοὺ χεὶρ τοῦ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ“· τοῦτο δὲ τὸ θαῦμα ἰδὼν ὁ ἀνθύπατος Σέργιος ἐπίστευσεν εἰς τὸν Κύριον Ἰησοῦν (Πράξ. ιγ', 8-12)· β'. ἄλλοτε ἐν Λύστροις ὢν μετὰ τοῦ συνοδοιπόρου Βαρνάβα, ἐπίσης λόγῳ ἐθεράπευσε χωλὸν ἐκ γενετῆς· τούτου δ' ἕνεκα προσήγαγε πάντας τοὺς κατοίκους εἰς τοσαύτην ἔκπληξιν, ὥστε τὸν θαυματουργὸν καὶ τὸν αὐτοῦ συνοδοιπόρον Θεοὺς ἐπὶ τῆς γῆς φανέντας ἡγήσαντο, καὶ θυσίας αὐτοῖς προσενεγκεῖν ἠβούλοντο (Πράξ. ιδ', 8-18)· γ'. ἐν Τρωάδι ὤν, νέον τινὰ Εὔτυχον ἀνέστησεν, ὃς ἀπὸ τοῦ τριστέγου καταπεσών, ἤρθη νεκρός (κ', 9, 10)· δ'. Ἐν τῇ νήσῳ Μελίτῃ ἐθερά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*πευσε Πούβλιον τὸν πατέρα τοῦ πρώτου τῆς νήσου προσευχῇ μόνῃ καὶ ἐπιθέσει τῶν χειρῶν ἐπὶ τοῦ ἀσθενοῦς, ὡς καὶ πάντας τοὺς ἐν τῇ νήσῳ ἀσθενεῖς, ἐπὶ τούτῳ πρὸς τὸν θαυματουργὸν προσερχομένους (κη', 8, 9)· ε'. καθόλου τοσαύτης κατεῖχε θαυματουργοῦ δυνάμεως, ὥστε αὐτὰ τὰ „σουδάρια καὶ σιμικίνθια", τὰ ἐπὶ τοῦ σώματος τοῦ Παύλου ὄντα, ἐπὶ τοὺς ἀσθενεῖς ἐπέφερον, οἵτινες ἐθεραπεύοντο, τὰ δὲ πονηρὰ πνεύματα ἐξεπορεύοντο (ιθ', 11, 12).*

*Ἐκτὸς δὲ τῶν ἤδη εἰρημένων περὶ τῆς γνησιότητος τῶν ἀποστολικῶν θαυμάτων καθόλου (§. 103) ἀρκεῖ ἐνταῦθα εἰς ἀπόδειξιν τῆς γνησιότητος τῶν θαυμάτων τοῦ Παύλου εἰς αὐτὰς αὐτοῦ τὰς ἐπιστολὰς παραπέμψαι. Ἐν ταύταις δὲ συνεχῶς ἀναφέρει τὰ ἑαυτοῦ θαύματα ἐνώπιον ὧν αὐτὰ ἐξετέλει. „Τὸ εὐαγγέλιον ἡμῶν", ἔγραφε πρὸς τοὺς Θεσσαλονικεῖς, „οὐκ ἐγενήθη πρὸς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν Πνεύματι ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς" (α'. Θεσσαλ. α', 5)· ταὐτὸ δὲ ἐπαναλαμβάνει καὶ πρὸς τοὺς Κορινθίους, λέγων. „Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως (α'. Κορ. β', 4)"· καὶ μαρτυρεῖ, ὅτι τὰ χαρακτηριστικὰ τῆς αὐτοῦ ἀποστολῆς ἐφανέρωσεν ἐνώπιον αὐτῶν „ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι (β'. Κορ. ιβ', 12)", ὅτι οὐδαμῶς ὑστέρησε τῶν πρώτων ἀποστόλων (11). Ὁμοίως δὲ περὶ ἑαυτοῦ καὶ πρὸς τοὺς Ῥωμαίους εἶπεν. „Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν· οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει Πνεύματος ἁγίου· ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ (Ῥωμ. ιε', 17-19)".*

*Πῶς οὖν ἂν ὁ Παῦλος γράφοι πρὸς τοὺς Θεσσαλονικεῖς, Κορινθίους καὶ Ῥωμαίους, ὅτι ἐνώπιον αὐτῶν ποιήσειε θαύματα, καὶ δὴ καὶ μάρτυρας αὐτῶν αὐτοὺς καλέσειεν, εἰ μηδὲν ἐν αὐτοῖς θαῦμα ἐποίησε; Τίνα ἂν ἐνέργειαν ἐπενέγκοι ἐπὶ τοὺς νεοφύτους Χριστιανοὺς αὐτὴ ἡ δήλωσις; Τίνα δ' ἂν ἡγήσαιντο*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



τότε αὐτὸν τὸν Παῦλον, καὶ πῶς ἀποδέξαιντο τὰς ἐπιστολὰς αὐτοῦ; Καὶ ὅμως ἡ ἱστορία λέγει, ὅτι αἱ τοῦ Παύλου ἐπιστολαὶ ἀποδεκταὶ ἐγένοντο μεγίστῳ σεβασμῷ καὶ ὑπὸ τῶν Ἐκκλησιῶν, πρὸς ἃς ἐγράφησαν, καὶ ὑπὸ πάσης τῆς χριστιανικῆς Ἐκκλησίας, καὶ ὅτι ἐξ αὐτῆς τῆς ἀρχῆς τοῦ Χριστιανισμοῦ ἀνεγινώσκοντο ἐν ταῖς συνελεύσεσι τῶν πιστῶν, ὡς συγγραφαὶ θεόπνευστοι[296]. Οὐκοῦν τοῦτο σαφὲς γνώρισμα, ὅτι οἱ Κορίνθιοι, Ῥωμαῖοι καὶ οἱ ἄλλοι τότε Χριστιανοὶ ὄντως ἰδίοις ὀφθαλμοῖς τὸν Παῦλον εἶδον, καὶ ἐντελῶς ἐπεποίθεσαν ἐπὶ τὴν γνησιότητα αὐτῶν;

### §. 106. Περὶ τῆς θαυματικῆς διαδόσεως τοῦ Χριστιανισμοῦ[297].

Τοῦτο γεγονός ἐστι καὶ θαυματικὸν καθ' ἑαυτὸ καὶ ὑπὲρ τῆς ἀληθείας πάντων τῶν ἄλλων ἀποστολικῶν ἐγγυώμενον θαυμάτων. Ὁ γὰρ Χριστιανισμός, οὗ πρῶτοι κήρυκες οἱ ἀπόστολοι ἦσαν, διεδόθη ἐπὶ τῆς γῆς μετὰ σπανίας ταχύτητος καὶ οὐκ ἀνθρωπίνοις τρόποις, ἀλλ' ἀληθῶς τῇ θείᾳ δυνάμει· δύο δέ εἰσι θέσεις, ὧν τὸ ὀρθὸν ἐπίσης ἀναντίῤῥητόν ἐστιν.

Α'. Ὁ Χριστιανισμὸς διεδόθη καθ' ὑπερβολὴν ταχέως. Τοῦτο δὲ πασίδηλον.

α'. Ἐκ τῆς ἁγίας Γραφῆς. Ἅμα κατῆλθεν ἐπὶ τοὺς ἀποστόλους τὸ Πνεῦμα τὸ ἅγιον, λέγει αὐτή, τὴν αὐτὴν ἡμέραν μόνη ἡ τοῦ Πέτρου ὁμιλία ἐπέστρειψεν εἰς Χριστὸν περὶ τὰς τρεῖς χιλιάδας (Πράξ. β', 41). Μετὰ δὲ ἡμέρας τινὰς καὶ δευτέρα αὐτοῦ ὁμιλία, θαύματι παρακολουθουμένη, προσείλκυσε πρὸς τὴν ἁγίαν θρησκείαν περὶ τὰς πέντε ἔτι χιλιάδας (δ', 4). Μετὰ δὲ ταῦτα οἱ ἀπόστολοι διεσπάρησαν κηρύξοντες τὸ Εὐαγγέλιον ἐν πάσῃ τῇ κτίσει· καί τινα ἔτη μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν ὁ μὲν ἀπόστολος Πέτρος γράφει ἤδη ἐπιστολὴν πρὸς τοὺς κατὰ τὸν Πόντον, Γαλατίαν, Καππαδοκίαν, Ἀσίαν καὶ Βυθηνίαν (α'. Πετρ. α', 1)· ὁ δὲ ἅγιος Παῦλος ἀπευθύνει τὰς αὐτοῦ ἐπιστολὰς πρὸς

---

[296] Ἰουστῖν. Ἀπολογ. α'. ἀρ. 67· Tertullian. de praescr. haer. cap. 28.

[297] α'. Γνῶμαι τῶν διδασκάλων τῆς Ἐκκλησίας περὶ τῆς θαυματικῆς διαδόσεως τοῦ εὐαγγελικοῦ κηρύγματος. Χριστιαν. Ἀναγν. 1835, IV, 174. β'. περὶ τῆς θαυματικῆς διαδόσεως τῆς Χριστιανικῆς θρησκείας. Αὐτόθι, 1836, III, 164.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ῥωμαίους, Κορινθίους, Γαλάτας, Ἐφεσίους, Φιλιππησίους, Θεσσαλονικεῖς, πρὸς τὸν ἐπίσκοπον τῆς ἐν Κρήτῃ Ἐκκλησίας. Ἀλλὰ καὶ ὁ συγγραφεὺς τῶν ἀποστολικῶν Πράξεων πολλῶν ἄλλων χωρῶν μνημονεύει, ἐν αἷς ὁμοίως ὑπῆρχον ἤδη εἰς Κύριον Ἰησοῦν πιστεύοντες· οἷον, Ἀντιόχειαν, Ἀθήνας, Δαμασκόν, Καισάρειαν, Ἰκόνιον, Μελίτην κτλ.· ὁ δὲ ἅγιος Παῦλος καθόλου μαρτυρεῖ α΄. περὶ ἑαυτοῦ μέν, ὅτι ἐπλήρωσε τῷ ἑαυτοῦ εὐαγγελίῳ πάντας τοὺς τόπους ἀπὸ Ἱερουσαλὴμ καὶ τῶν περιχώρων μέχρι καὶ τῆς Ἰλλυρικῆς (Ῥωμ. ιε΄, 19)· β΄, περὶ δὲ τῶν ἄλλων ἀποστόλων, ὅτι „εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν (ι΄, 18)".

β΄. Ἐκ τῶν μαρτυριῶν τῶν συγχρόνων ἐθνικῶν συγγραφέων, οἵτινες ἀναφέρουσι τὰς θαυμασίας προόδους τοῦ εὐαγγελικοῦ κηρύγματος, ἐπί τε τῶν ἀποστόλων καὶ μετ' αὐτοὺς κατὰ τὰς τρεῖς πρώτας ἑκατοντ.. Ὁ Τάκιτος (περὶ τὸ τέλος τῆς α΄. ἑκατοντ· ἀκμάσας), π. χ. διηγεῖται, ὅτι, ὅτε ὁ Νέρων, κατακαύσας τὴν Ῥώμην, ἐνόχους τοὺς ἐν αὐτῇ Χριστιανοὺς ἀνέδειξε, καὶ ἀνακρῖναι αὐτοὺς προσέταξε, μέγα πλῆθος (ingens multitudo) ἀνεδείχθη ἐνόχων, οὐχ ὅμως τῆς παραβάσεως ταύτης, σημειοῖ ὁ ἱστορικὸς οὗτος, εἰς ἣν αὐτοὺς ὑπώπτευον, ἀλλὰ τοῦ μίσους πρὸς τὴν ἀνθρωπότητα (ὥσπερ τότε διέβαλλον τοὺς Χριστιανούς)[298]. Τοῦτο δὲ τὸ πλῆθος τῶν Χριστιανῶν ἐν μόνῃ τῇ Ῥώμῃ παρέχει ἡμῖν νοῆσαι, ὁπόσος ἦν τότε ὁ ἀριθμὸς αὐτῶν ἐν παντὶ τῷ κόσμῳ. Πλίνιος δέ, ὁ τῆς Βιθυνίας ἀνθύπατος, ἀναφέρων (περὶ τὸ 104 ἔτος) πρὸς τὸν αὐτοκράτρα Τραϊανὸν περὶ τοῦ τότε ὑπάρχοντος κατὰ τῶν Χριστιανῶν διωγμοῦ, γράφει. Ἔοικέ μοι, ὅτι τὸ ἔργον τοῦτο ἄξιόν ἐστιν ἐπιμελεστέρας προσοχῆς, ἰδίως δὲ τῷ ποσῷ ὧν κίνδυνος ἐπίκειται· πολλοὶ γὰρ πάσης ἡλικίας, πάσης τάξεως καὶ ἀμφοτέρων τῶν γενῶν αὐτῷ ἤδη ὑποβάλλονται καὶ ὑποβληθήσονται· ὁ γὰρ μολυσμὸς τῆς δυσειδαιμονίας ταύτης διεδόθη καὶ κατὰ πόλεις καὶ κώμας καὶ χω-

---

[298] Igitur primo correpti qui fatebantur, deinde indicio eorum multitudo ingens, haut perinde incrimine incendii, quam odio humani generis convicti sunt ... et caet. Tacit. Annal. libr. XV, cap. 44.

ρία· μέχρι τούτου δὲ ἔφθη, ὥστε οἱ ναοὶ τῶν θεῶν σχεδὸν κατηρημώθησαν, καὶ αἱ πανηγύρεις πρὸ πολλοῦ κατελείφθησαν [299]. Ὁ δὲ ἀνθύπατος Τιβεριανός, διοικητὴς τῆς πρώτης Παλαιστίνης, πρὸς τὸν αὐτὸν αὐτοκράτορα ἀναφέρει, ὅτι αὐτὸς ἤδη κέκμηκε βασανίζων καὶ θανάτῳ παραδιδοὺς τοὺς Γαλιλαίους, Χριστιανοὺς καλουμένους, οἵτινες οὐ παύουσιν εἰς πάσας προσερχόμενοι τὰς βασάνους, καὶ ᾐτήσατο παρὰ τοῦ αὐτοκράτορος ἀπόφασιν, πῶς προστάσσει αὐτὸν πρᾶξαι [300].

Ὁ δὲ φανερὸς τοῦ Χριστιανισμοῦ ἐχθρὸς Κέλσος (τὴν β΄. ἀκμάσας ἑκατοντ.) ὠνόμαζε καθ' ὑπερβολὴν παράδοξον, ὅτι ὁ Χριστὸς ζῶν μὲν ἐν οὐδενὶ ἠδύνατο τὴν πίστιν διεγεῖραι, ἀποθανόντος δέ, οἱ μαθηταὶ προσέλκουσι πρὸς τὴν πίστιν πάντας, οὓς ἂν μόνον βούλωνται [301]. Ἀλλὰ καὶ Λουκιανός, ἕλλην συγγραφεύς, (τὴν β΄. ἑκατ. ἀκμάσας), ὁμοίως ἐχθρικῶς πρὸς τὸν Χριστιανισμὸν διακείμενος, ἔν τινι χωρίῳ ἐκφράζεται, ὅτι ἡ ἐπαρχία τοῦ Πόντου πλήρης ἀθέων καὶ Χριστιανῶν ἐστι [302]. Ἀπὸ δὲ τοῦ θηριωδεστάτου τῶν Χριστιανῶν διώκτου αὐτοκράτορος Μαξιμίνου τοῦ β΄. [303] δύο ὡς πρὸς τοῦτο λίαν λόγου ἄξια ἀποδεικτικὰ ὁ Εὐσέβιος διέσωσεν, ὧν τὸ μὲν διάταγμά ἐστι περὶ διωγμοῦ τῶν Χριστιανῶν, ἐν ᾧ πρὸς τοῖς ἄλλοις λέγεται, ὅτι αἰτία πασῶν τῶν τότε κατεχουσῶν τὴν Ῥώμην δυστυχιῶν ἡ ὀλεθρία ἐστὶ τῶν Χριστιανῶν πλάνη, διαδοῦσα τὸ σκότος ἀνὰ πᾶσαν σχεδὸν τὴν οἰκουμένην [303], τὸ δὲ ἐπιστολὴ τοῦ αὐτοκράτορος πρὸς τοὺς διοικητὰς τῶν ἐπαρχιῶν, ἐν ᾗ λέγεται, ὅτι οἱ προκάτοχοι αὐτοῦ Διοκλητιανὸς καὶ Μαξιμιανὸς κατεδίωκον τοὺς

---

[299] Plinius II ad Trajanum. Epist. lib. X. epist. 97.

[300] Defatigatus sum puniendo et neci tradendo Galilaeos, qui nobis veniunt sub nomine Christianorum.... Illi vero non cessant ad caedem sese patefacere. Et caet. Tiberiani ad Trajanum de Christ. relig. relatio (vid. apud Coteler. Patr. Apost. tom. II, pag. 181).

[301] Ὠριγέν. πρὸς Κέλσ. βιβλ. β΄, ἀρ. 46.

[302] Λουκιαν. Ἀλέξανδρος ἢ ψευδομάτις, ἀρ. 25.

[303] Καὶ ταῦτα σύμπαντα διὰ τὴν ὀλέθριον πλάνην τῆς ὑποκένου ματαιότητος τῶν ἀθεμίτων ἀνθρώπων ἐκείνων ἐγίνετο, ἡνίκα κατὰ τὰς ψυχὰς αὐτῶν ἐπεπόλαζε, καὶ σχεδὸν εἰπεῖν τὰ πανταχοῦ τῆς οἰκουμένης αἰσχύναις ἐπίεζεν. Εὐσεβ. Ἐκκλ. Ἱστορ. βιβ. θ΄, κεφ. ζ΄.

Χριστιανούς, διὰ τὸ πάντας σχεδὸν, ἀποῤῥίψαντας τὴν πρὸς τοὺς Θεοὺς λατρείαν, ἑνωθῆναι καὶ συμμιγῆναι τῷ ἔθνει τῶν Χριστιανῶν [304].

γ'. Ἐκ τῶν μαρτυριῶν τῶν συγχρόνων Χριστιανῶν συγγραφέων. Καὶ τὸ μὲν πρῶτον ἥμισυ τῆς β'. ἑκατοντ. ὁ ἅγιος Ἰουστῖνος ὁ Φιλόσοφος ἐν τῷ ἑαυτοῦ διαλόγῳ πρὸς Τρύφωνα τὸν Ἰουδαῖον λέγει· „Οὐδὲ ἓν γὰρ ὅλως ἐστὶ τὸ γένος ἀνθρώπων, εἴτε βαρβάρων, εἴτε Ἑλλήνων, εἴτε ἁπλῶς ᾡτινιοῦν ὀνόματι προσαγορευομένων, ἢ ἁμαξοβίων, ἢ ἀοίκων καλουμένων, ἢ ἐν σκηναῖς κτηνοτρόφων οἰκούντων, ἐν οἷς μὴ διὰ τοῦ ὀνόματος τοῦ σταυρωθέντος Ἰησοῦ „εὐχαὶ καὶ εὐχαριστίαι" τῷ πατρὶ καὶ ποιητῇ τῶν ὅλων γίνωνται" [305].

Μετὰ δὲ ὁ ἅγιος Εἰρηναῖος ὁ Λουγδούνων ἐπίσκοπος, ἀναφέρων, ὅτι μία καὶ ἡ αὐτὴ θρησκεία ἐν πάσῃ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, μνημονεύει εἰδικῶς τὰς ἐν Γερμανίᾳ, Γαλλίᾳ, Ἱσπανίᾳ, ἀνατολῇ, Αἰγύπτῳ, Ἀφρικῇ καὶ ταῖς ἐν μέσῳ τῆς γῆς κειμέναις χώραις ἐκκλησίας [306]. Περὶ δὲ τὸ τέλος τῆς β'. ἑκατοντ. ὁ Τερτυλλιανὸς ἐν τῇ ἑαυτοῦ ἀπολογίᾳ πρὸς τὴν Ῥωμαίαν κυβέρνησιν καὶ τὸν λαὸν ἔτι ἰσχυρότερον ἐκφράζεται, λέγων" Χθὲς μόνον ἐφάνημεν; καὶ ἤδη πληροῦμεν πάντα τὰ ὑμέτερα, τὰς πόλεις, τὰς νήσους, τὰ φρούρια, τὰς συνελεύσεις, αὐτὰ τὰ στρατόπεδα, τὰς φυλάς, τὰς δεκαρχίας, τὰ ἀνάκτορα, τὴν σύγκλητον, τὴν ἀγοράν, ἀφέντες ὑμῖν μόνους τοὺς ναούς. Ἡμεῖς ἐνικῶμεν ἂν ὑμᾶς καὶ δὴ καὶ ἄνευ ὅπλου καὶ ἐπαναστάσεως, ἀλλὰ διὰ μόνου τοῦ ἀφ' ὑμῶν χωρισμοῦ. Ἐὰν δὲ τοσοῦτοι τὸ πλῆθος ὄντες, ἀπέλθωμεν ἀφ' ὑμῶν εἰς μακρὰν κειμένας χώρας, ἡ αὐτοκρατορία ὑμῶν κλονοῖτ' ἂν ἰσχυρῶς ἕνεκα τῆς ἀπωλείας τοσούτων πολιτῶν, ὧν ἡ ἀπομάκρυνσις ποινὴ ἂν ἡμῖν εἴη. Ἀδιστάκτως δ' ἂν

---

[304] Παρὰ πᾶσιν ἀνθρώποις φανερὸν εἶναι πέποιθα, τοὺς δεσπότας ἡμῶν Διοκλητιανὸν καὶ Μαξιμιανὸν τοὺς ἡμετέρους πατέρας, ἡνίκα συνεῖδον σχεδὸν ἅπαντας ἀνθρώπους καταληφθείσης τῆς τῶν θεῶν θρησκείας τῷ ἔθνει τῶν Χριστιανῶν· ἑαυτοὺς συμμεμιγότας, ὀρθῶς διατεταγέναι πάντες. Αὐτόθι κεφ. θ'.

[305] Διάλ. πρὸς Τρύφων. κεφ. ριζ'.

[306] Εἰρην. κατὰ αἱρέσ. βιβλ. α', κεφ. ι', ἀριθ. 2.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἐκπλαγείητε τὴν ἔρημον ταύτην, ἐν ᾗ ἂν ἴδοιτε σεαυτούς, τὴν κοινὴν ἐκείνην ἠρεμίαν καὶ νάρκωσιν, ἐν ᾗ ἂν παρασταίη ἡ ὑμῶν οἱονεὶ τεθνηκυῖα οἰκουμένη· ζητοῖτε τίνα προστάξητε"* [307]. *Οὕτω δὲ ὡμίλει, ἐπαναλαμβάνομεν, ὁ Τερτυλλιανὸς ἐν τῇ ὑπὲρ τῶν χριστιανῶν ἀπολογίᾳ πρὸς τὴν ῥωμαίαν κυβέρνησιν καὶ τὸν λαόν, καὶ θαῤῥῶν ἔλεγεν ἐνώπιον ἐκείνων, οἵτινες λίαν καλῶς οἷοι ἦσαν τὴν κατάστασιν τοῦ ἔργου γνῶναι, καὶ ῥᾷστα τὸ ψεῦδος ἐξελέγξαι.*

*Περιττὸν δὲ θεωροῦμεν προσαγαγεῖν ἐνταῦθα ἄλλας μαρτυρίας πολλῶν χριστιανῶν τῆς β'. καὶ γ'. ἑκατονταετηρίδων συγγραφέων, οἵτινες ἐπίσης θαῤῥοῦντες ἔλεγον πρὸς τοὺς ἐθνικοὺς τὴν ταχεῖαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας διάδοσιν ἐν πᾶσι τοῖς ὁρίοις τοῦ κόσμου* [308].

*Ἀλλ' ἄξιον λόγου ἐστίν, οὐχ ὅτι ὁ χριστιανισμὸς διεδόθη τάχιστα, ἀλλ' ὅτι ἡ διάδοσις αὕτη ὄντως θεῖόν ἐστιν ἔργον, ὑπερφυσικόν ἐστι γεγονὸς καὶ θαυματικόν. Πεποιθέναι δ' εἰς τοῦτο ἀρκεῖ μόνον τὸν νοῦν προσχεῖν*

*α'. Εἰς τὴν κοινωνίαν τοῦ Χριστιανισμοῦ πρὸς τὴν τότε κατάστασιν τῆς θρησκείας, τῆς παιδείας, τῆς ἠθικῆς καὶ πολιτικῆς ἐν τοῖς ἀνθρώποις.*

*Καὶ θρησκεῖαι μὲν τότε δύο ἦσαν ἡ ἰουδαϊκὴ καὶ ἡ ἐθνική· ὧν ἐκείνη μὲν ἀληθής ἐστι καὶ παρὰ Θεοῦ ἀποκαλυφθεῖσα, ἥτις τότε σφόδρα παραμεμορφωμένη ἦν ψευδέσι γνώμαις περὶ Μεσσίου, τοσοῦτον ἐνριζωθείσαις, ὥστε οἱ Ἰουδαῖοι οὐκ ἔγνωσαν τὸν ἀληθῆ Μεσσίαν, ἀλλ' ἐσταύρωσαν αὐτόν. Αὕτη δὲ ψευδής ἐστι κατὰ τὴν ἑαυτῆς ἀρχὴν καὶ οὐσίαν, ἔτυχε δὲ τότε τῆς μεγίστης αὐτῆς ἀναπτύξεως καὶ διαφθορᾶς· οἱ γὰρ ἐθνικοὶ ἔφθησαν πάντας καὶ πάντα θεοποιήσαντες, καὶ ὁ ἀριθμὸς τῶν Θεῶν μέχρι*

---

[307] *Ἀπολ. κεφ. 3 ἢ 37. Τὰς αὐτὰς γνώμας μετὰ θάῤῥους καὶ τόλμης ἐκφράζει ὁ Τερτυλλιανὸς καὶ ἀλλαχοῦ τῶν αὐτοῦ συγγραμμάτων* (ad nationes lib. I, cap. 1: ad Scapulas cap. 5 versus finem).

[308] *Κλήμης ὁ Ἀλεξανδρείας, π. χ. (Στρωμ. βιβλ. ς', κεφ. ιη'), Ὠριγένης (εἰς Γέν. Ὁμιλ. θ', ἀρ. 2), Κυπριανὸς* (de unitate Eccles.), *Μηνούτιος ὁ Εὐτυχὴς* (Felix) (Apolog. n. 9 et 33), *Ἀρνόβιος* (adversus Gentes I, cap. 55; II, cap. 5, 12).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

του ἀπιθάνου ηὔξησε. Προσθετέον δέ, ὅτι ἀμφότεραι αἱ θρησκεῖαι αὗται, ὅλους ἤδη αἰῶνας ὑπάρχουσαι, ἱεραὶ ἐφαίνοντο ἕνεκα τῆς ἑαυτῶν ἀρχαιότητος· ὥσπερ γὰρ οἱ Ἰουδαῖοι τὴν ἑαυτῶν πίστιν θείαν ἡγοῦντο ἀποκάλυψιν καὶ δικαίως, οὕτω καὶ οἱ ἐθνικοὶ κατῆγον τὴν ἑαυτῶν ἀπ' αὐτῶν τῶν Θεῶν, καίτοι ψευδῶς· καὶ ὅτι ἀμφότεραι βαθέως ἐνεῤῥιζωμέναι ἦσαν ἐν τῇ καρδίᾳ ἑκάστου τῶν ὀπαδῶν διὰ τῶν πρώτων διδασκαλιῶν τῶν γονέων καὶ τῆς ἀνατροφῆς. Καὶ ἰδοὺ νέα φαίνεται θρησκεία, λέγουσα τοῖς Ἰουδαίοις καὶ ἐθνικοῖς, ἵνα ἐκριζώσωσι τὰς θρησκευτικὰς αὐτῶν πεποιθήσεις, συμφυείσας, οὕτως εἰπεῖν, αὐτῇ τῇ οὐσίᾳ αὐτῶν· καὶ ἐκείνοις μὲν λέγει, ἵνα καταλίπωσι τὸν τοῦ Μωϋσέως περὶ τελετῶν νόμον, ᾧ ἀφωσιωμένοι ἦσαν, καὶ ἀποστῶσι τῶν ἀπατηλῶν κενοδοξιῶν περὶ Μεσσίου, ἐπιγείου βασιλέως καὶ νομοθέτου· τούτοις δέ, οἱ μὲν θεοί, οἷς προσεκύνουν, ἄψυχά εἰσιν εἴδωλα, τὰ δὲ διηγήματα αὐτῶν περὶ τῶν θεῶν μῦθοι. Ἀλλ' ἀπαιτοῦσα παρ' ἀμφοτέρων τὰς χαλεπὰς ταύτας ἀρνήσεις ἡ θρησκεία αὕτη, τί προτίθησιν αὐτοῖς ἀντὶ τῶν πρώτων θρησκειῶν; Τὴν εἰς τὸν σταυρωθέντα πίστιν, τοῦτο, ὅπερ, κατὰ τὸν Ἀπόστολον, τοῖς μὲν Ἰουδαίοις ἐφαίνετο σκάνδαλον, τοῖς δὲ ἐθνικοῖς μωρία (α'. Κορ. α', 23). Τίνα οὖν καρπὸν προσδοκᾶν ἔδει ἀπὸ τοιούτου κηρύγματος κατὰ τοὺς ἀνθρωπίνους λογισμούς;

Τῆς δὲ τότε παιδείας ἡ κυριωτέρα καὶ ἐπικρατεστέρα ἡ φιλοσοφικὴ ἦν τάσις. Ἅπαντα γὰρ τὰ συστήματα, τὸ πλατωνικόν, τὸ στωϊκόν, τὸ τῶν Ἐπικουρίων κτλ. θερμοὺς εἶχον ζηλωτὰς καὶ ὀπαδούς, καὶ ἕκαστος τιμὴν ἡγεῖτο εἶναι ἢ φαίνεσθαι φιλόσοφος· καὶ αὐτοὶ οἱ αὐτοκράτορες (π. χ. Ἀντωνῖνος ὁ φιλόσοφος) ἠρέσκοντο περὶ τὴν φιλοσοφίαν ἀσχολεῖσθαι. Ἄρα χρόνος ἦν τότε, καθ' ὃν ἅπαντες ἐσπούδαζον πάντα ὑπὸ τὰς ἀρχὰς τοῦ λόγου ὑπάγειν, ὑπὸ τὴν κρίσιν αὐτοῦ ὑποβάλλειν καὶ μόνης τῆς φωνῆς αὐτοῦ ἀκούειν. Ἀλλ' ὁ Χριστιανισμὸς αἴφνης ἤρξατο κηρύσσων εἰς ἐπήκοον, ὅτι „ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι (α'. Κορ. γ', 19)“· οἱ δὲ σωθῆναι βουλόμενοι πᾶσαν ἀρνήσασθαι ὀφείλουσι φιλοσοφίαν κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ γνῶναι μόνην τὴν κατὰ Χριστὸν φιλοσοφίαν (Κολασ. β', 8)·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνάγκη δὲ τὸν μὲν νοῦν ὑποτάξαι τῇ πίστει, αἰχμαλωτίζειν δὲ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ (β'. Κορ, ι', 5), καὶ μόνῃ τῇ πίστει ἀποδέχεσθαι πολλὰ λίαν ἀκατάληπτα τῷ νῷ μυστήρια τοῦ Εὐαγγελίου. Ἐκ τούτων οὖν δυνάμεθα κρῖναι, πῶς ἔδει πᾶσι τοῖς τότε φιλοσόφοις τῇ χριστιανικῇ ἐντυχεῖν θρησκείᾳ.

Ἡ δὲ ἠθικὴ τοῦ τότε κόσμου κατάστασις οἰκτροτάτη ἦν· ἡ γὰρ διαφθορὰ ἐπ' αὐτὰ τὰ ὅρια ἐφίκετο, ἐφ' ἃ οὐδέποτε. Πάντα γὰρ τὰ ἀνθρώπινα πάθη ἐθεοποιήθησαν ὡς πρόσωπα, οἱ δὲ θεοὶ τῷ ἑαυτῶν παραδείγματι οἱονεὶ παρεχώρουν τοῖς ἀνθρώποις τὴν ἐξουσίαν εἰς πᾶσαν κακίαν. Μάλιστα δὲ ἡ Ῥώμη, πρωτεύουσα καὶ κυρίαρχος τῆς οἰκουμένης, πᾶσι τοῖς ὑπηκόοις λαοῖς τύπος ἐν πᾶσιν οὖσα, ἦν ἅμα καὶ τύπος τῆς ἀσεβείας. Οἱ γὰρ χρόνοι τῶν Τιβερίων, Καλιγούλων, Νερώνων καὶ Καρακαλλῶν πᾶσι γνωστοί εἰσι. Δύο δὲ τότε ἐπικρατοῦσαι μάλιστα αἱρέσεις, ἡ στωϊκὴ καὶ ἡ ἐπικούριος, ἀνέτρεφον ἐν τοῖς ἀνθρώποις ἡ μὲν τὴν ὑπερηφάνειαν, ἡ δὲ τὴν τάσιν πρὸς τὰ αἰσθητικά. Διὸ οἱ μὲν τῶν Ῥωμαίων πλούσιοι τοσαύτῃ παρεδίδοντο πολυτελείᾳ, ἧς ἡ περιγραφὴ ἀπίθανος σχεδὸν φαίνεται· αἱ δὲ κατώτεραι τάξεις τῶν πολιτῶν, ὑπὸ τῆς πρὸς τοὺς ἀνωτέρους μιμήσεως παρασυρόμεναι, οὐδὲ ὅρια ἐγίνωσκον ἐν ταῖς αἰσθητικαῖς διασκεδάσεσι καὶ ἁμαρτήμασιν. Ἐν τῷ μέσῳ οὖν τῆς κοινῆς ταύτης διαφθορᾶς τῶν ἠθῶν αἴφνης διεδόθη ἡ φωνὴ τῆς αὐστηροτάτης χριστιανικῆς ἠθικῆς· πρὸς τούτους ἤρξατο τὸ Εὐαγγέλιον κηρύσσον, ὅτι ὁ βουλόμενος τὴν ἑαυτοῦ ψυχὴν σῶσαι, ἀρνήσασθαι ὀφείλει ἑαυτόν, ἆραι τὸν σταυρὸν αὐτοῦ καὶ τῷ Χριστῷ ἀκολουθῆσαι, ἀρνήσασθαι πάσας τὰς ἡδονὰς τοῦ κόσμου καὶ σταυρῶσαι τὴν σάρκα αὐτοῦ, τὰ πάθη καὶ τὰς ἐπιθυμίας, ὀφείλει ὁλόκληρος μεταγεννηθῆναι καὶ βίον ἄρξασθαι ὅλως ἀντιθέτου ᾧ μέχρι τοῦδε ἦγε. Τίνι δ' ἂν τότε ὁμοιωθείη ἡ διδασκαλία αὕτη;

Πολιτικῶς δὲ πάντα τὰ ἔθνη εἰώθεσαν τότε τοὺς μὲν Θεοὺς αὐτῶν θεωρεῖν ὡς ἀποκλειστικοὺς ἑαυτῶν βοηθούς, τὴν δὲ θρησκείαν, ὥσπερ βάσιν τῆς τῶν πολιτῶν εὐτυχίας καὶ εὐταξίας. Καὶ ἡ γνώμη αὕτη ἐνεῤῥιζωμένη ἦν μάλιστα ἐν τοῖς Ῥωμαίοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκεῖ γὰρ ὁ αὐτοκράτωρ καὶ ὑπέρτατος ἀρχιερεὺς ἦν· πᾶσαι δὲ αἱ κοιναὶ ἐπιχειρήσεις ἤρχοντο ἱεροτελεστίαις καὶ θυσίαις, καὶ αἱ ἐπιτεύξεις ὁμοίως ἑωρτάζοντο, καὶ τῇ εὐδοκίᾳ τῶν θεῶν ἀπεδίδοντο· ἐν παντὶ δὲ τῷ λαῷ διεδέδοτο ἡ πεποίθησις, ὅτι ἡ Ῥώμη ὀφείλει τὸ ἑαυτῆς μεγαλεῖον τῇ προστασίᾳ τῶν ἑαυτῆς θεῶν, οὓς ἀποβαλοῦσαν ἀναγκαίως καὶ πεσεῖν ἔδει· διὸ ὑπὸ τῶν νόμων ἀπηγορεύετο ἡ εἰσαγωγὴ ἢ παραδοχὴ πάσης νέας θρησκείας[309]. Τίνα οὖν ὑποδεξίωσιν ἂν προσδοκῴη ἡ χριστιανικὴ θρησκεία παρὰ τοῦ Ῥωμαϊκοῦ λαοῦ, ὡς καὶ παρὰ τῶν ἄλλων λαῶν, ἀρχομένη τοῦ ἑαυτῆς κηρύγματος, ὅτι δεῖ αὐτοῖς ἀφεῖναι τοὺς προτέρους θεοὺς καὶ εἰς τὸν σταυρωθέντα πιστεύειν;

β΄. Εἰς τὰ κωλύματα, οἷς ὄντως ἐνέτυχεν ἡ χριστιανικὴ θρησκεία, καὶ πρὸς ἃ μάχεσθαι ἔδει. Κατ᾽ αὐτῆς γάρ, ὥσπερ προσδοκᾶν ἔδει, ἐξωπλίσθησαν πάντες καὶ πάντα· ἐξωπλίσθη ὁ φανατισμὸς τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν, ἐξωπλίσθησαν οἱ θύται καὶ ὁ συρφετώδης ὄχλος, ἐξωπλίσθησαν οἱ σοφοὶ καὶ φιλόσοφοι, ἐξωπλίσθησαν οἱ ἐν ταῖς ἐπιθυμίαις τῆς ἑαυτῶν καρδίας ζῆν εἰωθότες. Τίς δ᾽ ἀγνοεῖ, πῶς ταῦτα πάντα ἐξεφράζοντο; Ἐν τοῖς δεινοτάτοις καὶ ποικιλωτάτοις διωγμοῖς.

Καὶ ὁ μὲν ὄχλος καὶ οἱ θύται πανταχοῦ τοὺς Χριστιανοὺς μάλιστα κατεδίωκον διαβάλλοντες. Τούτους γὰρ ἀθέους μὲν ὠνόμαζον, ὡς μὴ πιστεύοντας εἰς τοὺς ἐθνικοὺς θεούς· ταραξίας δέ, ὡς ἐν πολλοῖς ἀφισταμένους τῶν ἄλλων συμπολιτῶν· μάγους δὲ καὶ φαρμακεῖς, ὡς θαύματα ποιοῦντας· συναγωγὴν δὲ ἀγροίκων καὶ ἀμαθῶν καὶ περιπεφρονημένων δούλων, παρανόμων καὶ παντὸς εἴδους κακούργων. Ἀπεδίδοσαν δ᾽ αὐτοῖς διάφορα, αἰσχρὰ καὶ δεινὰ ἁμαρτήματα, διϊσχυριζόμενοι, ὅτι δῆθεν ἐν ταῖς συναγωγαῖς σφάττουσι παιδία καὶ τρώγουσι καὶ τῇ βδελυρᾷ παραδίδονται διαφθορᾷ. Πρὸς δὲ αὐτοὺς ᾤοντο αἰτίαν πασῶν τῶν δυστυχιῶν, ἃς ἡ Ῥωμαϊκὴ ἔφερεν αὐτοκρατορία, καὶ καθόλου ἐπενόουν κατ᾽ αὐτῶν πᾶν ὅ τι ἂν αὐτοὺς ὑποκείμενον τοῦ κοινοῦ βδελυγμοῦ καὶ μίσους ποιήσειεν.

[309] Livius, lib. XXV, cap. 1: XXXIX, cap. 16. Cicer. de natur. Deor. lib. III, cap. 19.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οἱ δὲ σοφισταὶ καὶ φιλόσοφοι (οἷοι Κέλσος καὶ Πορφύριος) κατεδίωκον τοὺς χριστιανοὺς τοῖς ἑαυτῶν συγγράμμασιν. Οὗτοι ἐπίτηδες ἀνεγίνωσκον τὰς ἱερὰς χριστιανικὰς βίβλους, ἐσπούδαζον εὑρίσκειν ἐν αὐταῖς πλαστὰς ἀντιῤῥήσεις, ὀξέως ἐπέσκωπτον πολλὰς ῥήσεις καὶ πράξεις αὐτοῦ τε τοῦ Σωτῆρος καὶ τῶν ἀποστόλων, ἀπεδίδοσαν πάντα τὰ αὐτῶν θαύματα τῇ μαγίᾳ, ἀντετίθεσαν τούτοις τὰ ψευδῆ τοῦ Ἀπολλωνίου Τιανοῦ καὶ ἄλλα τῶν ἐθνικῶν θαύματα, ἐχλεύαζον συνάμα αὐτοὺς τοὺς χριστιανούς, τὰ ἔργα αὐτῶν καὶ τὸν βίον.

Ἀλλ' οἱ ὠμότατοι τῶν διωγμῶν κατὰ τῶν Χριστιανῶν ἀδιστάκτως ἦσαν οἱ ἀπὸ τῶν κυβερνώντων. Οὗτοι γὰρ ἐνήργουν ἤδη μαχαίρᾳ καὶ βίᾳ παντοειδεῖ· οὐδενὸς ἐφείδοντο, οὔτε φύλου, οὔτε ἡλικίας, οὔτε τάξεως, οὔτε ἐκδουλεύσεων· ἀλλὰ πάντας, οὓς ἂν ὑποπτεύσειαν ὀπαδοὺς τοῦ Χριστιανισμοῦ, ἔσυρον εἰς τὰ δικαστήρια, καὶ δημοσίᾳ ἐβίαζον τὸν Χριστὸν ἀρνήσασθαι. Ἐνταῦθα πρῶτον μὲν παρῄνουν αὐτοὺς καὶ ἐσπούδαζον πρὸς ἑαυτοὺς κλῖναι τὸ μὲν λαμπραῖς ὑποσχέσεσι, τὸ δὲ ἀπειλαῖς· εἶτα παρεδίδοσαν βασάνοις, τέλος δὲ καὶ αὐτῷ τῷ θανάτῳ. Αἱ δὲ βάσανοι καὶ ποιναὶ λίαν παντοειδεῖς ἦσαν καὶ ἀπάνθρωποι· καὶ γὰρ ἀπὸ τῶν μὲν ἀπέκοπτον τὰ μέλη, τοὺς δὲ ἐσταύρουν, τοὺς δὲ ἐπὶ πυρᾶς κατέκαιον, ἀπὸ τῶν δὲ ἐξεῤῥήγνυον τοὺς ὀφθαλμούς. Στέρησις τῶν ὑπαρχόντων καὶ ἀξιωμάτων, εἱρκταί, πεῖνα, σιδηροῖ ὄνυχες καὶ στρωτῆρες, κρεάγραι, ἐσχάραι, πυράγραι, σιδηραῖ σανίδες, παντοῖοι τροχοί, ἐπίχυσις μολυβδῆ καὶ καθόλου πᾶν ὅτι δύναται ἡ καταχθόνιος κακία ἐπινοῆσαι, ἐν χρήσει ἦσαν, ὅπως ἐξαγάγωσιν ἀπὸ τῶν χριστιανῶν τὴν ἄρνησιν τῆς θρησκείας αὐτῶν. Ταῦτα δὲ διήρκεσαν περὶ τὰς τρεῖς ἑκατονταετερίδας, καθ' ἃς ἀριθμοῦσιν ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ὁρίοις τῆς Ῥωμαϊκῆς αὐτοκρατορίας δέκα διωγμούς· πραγματικῶς δὲ εἷς συνεχὴς καὶ διαρκὴς διωγμὸς ἦν. Οὐ γὰρ πάντες οἱ αὐτοκράτορες ἐξεδίδοσαν διατάγματα περὶ καταδιωγμοῦ τῶν χριστιανῶν, ἀλλὰ πάντες σχεδὸν ἐπέτρεπον καὶ ἀφίεσαν αὐτόν, ἀμετάβλητα καταλείποντες τὰ τῶν προκατόχων. Ἀπὸ δὲ Νέρωνος μέχρι Κωνσταντίνου τοῦ μεγάλου μόλις δεῖξαι δυνάμεθα δύο ἢ τρεῖς αὐτοκράτορας τὸν διωγμὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπαγορεύσαντας. Τί δέ; Καίτοι αὗται αἱ βάσανοι ἦσαν, καίτοι οἱ πιστεύοντες ἔῤῥεον εἰς τὸν θάνατον πολυανθρώπως, δι' ὃ ἐξεπλήσσοντο ἄκοντες αὐτοὶ οἱ διῶκται[310], καίτοι τὸ χριστιανικὸν αἷμα ποταμηδὸν ἔῤῥεεν, ἡ τοῦ Χριστοῦ Ἐκκλησία οὐ μόνον οὐκ ἐσμικρύνετο κατὰ τὰ ὅρια, ἀλλ' ἔτι μᾶλλον ἐπεξετείνετο ταχύτατα. „Βασανίζετε, κατακρεουργεῖτε, συντρίβετε ἡμᾶς", ἔκραζέ τις τῶν τότε ὀπαδῶν τοῦ Χριστοῦ, „τοσούτῳ ἡμεῖς πλείους καθιστάμεθα, ὅσῳ μᾶλλον ἡμᾶς θερίζουσι· τὸ γὰρ τῶν χριστιανῶν αἷμα σπέρμα νέων χριστιανῶν ἐστιν, ἡμῖν δὲ οὐδαμῶς ἐπωφελεῖ ἡ ἐπινοηθεῖσα ὑμῶν ὠμότης"[311].

γ΄. Εἰς τοὺς τρόπους, δι' ὧν διεδόθη ὁ Χριστιανισμός. Εἰ ἀδύνατον μὴ ἐκπλαγῆναι διὰ τὴν ταχεῖαν τῆς ἁγίας θρησκείας διάδοσιν, τὰ κωλύματα θεωροῦσι, πρὸς ἃ αὕτη ἠγωνίζετο, πολλῷ μᾶλλον θαυμάσαι δεῖ τὸ θαυμάσιον τοῦτο γεγονός, τοὺς τρόπους καθορῶσι, δι' ὧν διεπράχθη.

Καὶ τῷ ὄντι, τίνες οἱ τρόποι οὗτοι ἦσαν; ἡ δόξα καὶ τὸ διάσημον τῶν κηρύκων; Ἀλλ' οἱ ἀπόστολοι τῆς κατωτέρας ἦσαν τάξεως καὶ ἄσημοι, οὐδὲ ἀξίαν τινὰ ἐν τοῖς συμπολίταις αὐτῶν εἶχον, ἧττον δ' ἂν ἔχοιεν ἐν τοῖς ἐθνικοῖς, εἰς τὸ κήρυγμα ἐξελθόντες ἐκ λαοῦ, λίαν περιπεφρονημένου τότε παρὰ πᾶσι τοῖς ἔθνεσιν. Ἢ ἡ σπανία σοφία καὶ αἱ γνώσεις, συχνότατα ὑποτάσσουσαι τοὺς νόας ἄκοντας; Ἀλλ' οἱ ἀπόστολοι ἦσαν ἀγράμματοι, ὅλως ἀΐδρεις τῆς ἀνθρωπίνης σοφίας, καὶ μόνοι ἑαυτοὺς ἐκάλουν „τὰ μωρὰ τοῦ κόσμου (α΄. Κορ. α΄, 27". Ἡ ἰσχυρὰ καὶ ἔνθερμος ῥητορεία, ἡ τὰ πλήθη σύρουσα; Ἀλλ' οὗτοι κατὰ τὴν αὐτῶν ὁμολογίαν, „ἰδιῶται τῷ λόγῳ ἦσαν (β΄. Κορ. ια΄, 6)". Ἢ μὴ ἐχρῶντο ἀναξίους τρόπους; Μὴ ὠφελοῦντο, π. χ. πανουργίας καὶ δόλου; Ἀλλ' ἡ ἱστορία τοὐναντίον ἀναφέρει: Οἱ γὰρ ἀπόστολοι πανταχοῦ ἐνήργουν πανδήμως· καὶ ἐν μὲν Ἱερουσαλὴμ ἐν τῷ συνεδρίῳ ἐκήρυσσον, ἐν Ἀθήναις δὲ ἐν τῷ ἀρείῳ Πάγῳ, ἐν δὲ Ῥώμῃ ἐν τοῖς ἀνακτόροις αὐτοῦ τοῦ Καίσαρος. Μὴ προσείλκυον πρὸς ἑαυτοὺς χρήμασι καὶ δωρο-

---

[310] Βλ. ἀνωτ. Σημ. 298, 299, 300.

[311] Τερτυλλ. ἐν τῇ ἑαυτοῦ ἀπολογ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοκίαις; Ἀλλὰ ποῦ ἂν τοσούτους θησαυροὺς ἔχοιεν οἱ πένητες Γαλιλαῖοι, καταλιπόντες ὑπὲρ τοῦ Χριστοῦ καὶ ὃ πρὶν εἶχον σμικρόν, οἰκίας καὶ περιουσίαν; Μὴ προσέφευγον εἰς βίας; Ἀλλ' αὐτοὶ παντοίως ἐβιάζοντο καὶ κατεδιώκοντο· πανταχοῦ δὲ περιώδευον, ὡς πρόβατα ἐν μέσῳ λύκων (Ματθ. ι', 16), καὶ πᾶσι τοῖς διωγμοῖς ἀντέτασσον μόνην τὴν ὑπομονήν. Συνελόντι δὲ φάναι, οἷς ἐχρῶντο τρόποις πρὸς διάδοσιν τοῦ Εὐαγγελίου ἦσαν τοιοῦτοι, ὥστε κατὰ τοὺς ἀνθρωπίνους λογισμοὺς οὐ μόνον οὐκ ἠδύναντο συνεργεῖν, ἀλλὰ μᾶλλον ἀντενεργεῖν.

Πῶς οὖν ἑρμηνεύσωμεν τὰς θαυμασίας προόδους τοῦ Εὐαγγελικοῦ κηρύγματος; Τίνι αὐτὸ πάντα τὰ κωλύματα ἐκ ποδῶν ἐποιήσατο; Διὰ τίνος τῷ Χριστῷ τὴν οἰκουμένην ὑπέταξε; „Τὰ ὅπλα τῆς στρατείας ἡμῶν", ἀποκρίνεται ὁ μέγας τῶν ἐθνῶν διδάσκαλος, „οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ (β'. Κορ. ι', 4, 5)· ζῶν ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος ἁρμῶν τε καὶ μυελῶν (Ἑβρ. δ', 12)· ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως· ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ (α'. Κορ. β', 4, 5)". Ἰδοὺ ποῦ κρύπτεται τὸ μυστήριον πάσης τῆς προόδου τῶν ἀποστόλων. „Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων (Μάρκ. ιϛ', 20)".

### §. 107. *Περὶ τῶν θαυματικῶν ἐνεργειῶν τοῦ Χριστιανισμοῦ ἐν τοῖς ἀνθρώποις*[312].

Ἀπείροις θαύμασι κατασημήνας ὁ Χριστιανισμὸς τὴν ἑαυ-

---

[312] α'. Περὶ τῶν εὐεργετικῶν ἐνεργειῶν τῆς χριστιανικῆς θρησκείας ἐν τῷ ἀνθρωπίνῳ γένει. Χριστ. Ἀνάγν 1834, III, 164. β'. Περὶ τῆς εὐεργετικῆς ἐπιῤῥοῆς τῆς χριστ. θρησκείας ἐπὶ τοῦ ἀνθρωπίνου γένους θρησκευτικῶς. Χριστ. Ἀνάγν. 1841, IV, 88.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ἐν τῷ κόσμῳ ἐμφάνισιν, ἔκτοτε οὐδέποτε ἐπαύσατο μαρτυρῶν περὶ ἑαυτοῦ ὁμοίοις θαύμασιν. Ὅ τι γὰρ παρίστησιν ἡμῖν ἡ ἱστορία Χριστοῦ τοῦ Σωτῆρος εἰς ἀπόδειξιν τῆς θειότητος τῆς θρησκείας αὐτοῦ, ὅ τι παρέχει ἔπειτα ἡ τῶν ἁγίων ἀποστόλων ἱστορία, ταὐτὸ ἀπαντῶμεν καὶ ἐν πάσῃ τῇ ἱστορίᾳ τῆς Ἐκκλησίας αὐτοῦ·

α΄. Ὁ Κύριος Ἰησοῦς, ὡς Θεάνθρωπος, καὶ οἱ ἅγιοι ἀπόστολοι, ὡς ἄνωθεν ἀπ' αὐτοῦ δυνάμει περιβληθέντες, τῇ ὑψίστῃ διεκρίνοντο σοφίᾳ, ἣν οὐκ ἀνθρωπίνοις τισὶ τρόποις ἐκτήσαντο· ἦσαν δὲ ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ ἄνδρες μετὰ ταῦτα, οἵτινες ἄνευ πάσης κοσμικῆς παιδείας κατήσχυνον καὶ ἐξέπληττον τῇ ἑαυτῶν σοφίᾳ τοὺς μεγίστους σοφοὺς τῶν ἐθνικῶν, εἶχον τὸ δῶρον τῆς καρδιογνωσίας, ἠδύναντο βλέπειν γεγονότα, μεγάλας ἀπ' αὐτῶν ἀπέχοντα ἀποστάσεις κτλ.[313].

β΄. Ὁ Σωτὴρ καὶ οἱ τῷ παραδείγματι αὐτοῦ ἑπόμενοι ἅγιοι ἀπόστολοι τῇ ὑψίστῃ διεκρίνοντο ἁγιότητι, τῇ σπανίᾳ αὐταπαρνήσει ἐκ τῆς ἀγάπης πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον· πολλοὶ δὲ χριστιανοὶ παρθένοι καὶ πασῶν τῶν ἑπομένων ἑκατοντ., ἄπειροι χριστιανοὶ μάρτυρες, ἀθληταί, ἀσκηταί, στηλῖται, μωροί, σιγηταὶ καὶ ἄλλοι ἐπίσης παρέσχον τύπους θαυμαστῆς καὶ σχεδὸν ἀπιθάνου αὐταπαρνήσεως καὶ τελειοτάτης ἀγάπης πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον.

γ΄. Ὁ Ἰησοῦς Χριστὸς καὶ οἱ μαθηταὶ αὐτοῦ ἐξετέλουν πολυάριθμα θαύματα· καὶ ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τὸ δῶρον τῆς θαυματουργίας οὐδέποτε ἔπαυσε· πᾶσα γὰρ ἡ ἱστορία καὶ ἰδίως ὁ βίος ἀπείρων ἀθλητῶν αὐτῆς πλήρεις εἰσὶ θαυμάτων[314]. Τὰ δὲ θαυματουργὰ λείψανα τῶν ἁγίων, αἱ θαυματουργαὶ εἰκόνες καὶ αἱ θαυματικαὶ ἐνέργειαι αὐτοῦ τοῦ ὑπὸ τῆς Ἐκκλησίας ἁγιαζομένου ὕδατος, ἃ καὶ καθ' ἡμᾶς βλέπομεν, εἰσὶ πασιφανεστάτη ἀπόδειξις τῆς αὐτῆς ἀμεταβλήτου ἀληθείας.

δ΄. Ὁ Χριστὸς καὶ οἱ ἀπόστολοι προεφήτευον· τὸ δὲ δῶρον τῆς προγνώσεως εὑρίσκομεν ἐν τῇ Ἐκκλησίᾳ καὶ εἰς τοὺς ἔπειτα

---

[313] Βλ. π. χ. τὸν βίον τοῦ ὁσίου Ἀντωνίου τοῦ μεγάλου.

[314] Βλ. Μαρτυλόγιον, Πρόλογον, Πατερικόν.

χρόνους. Καὶ γὰρ ἐν τοῖς Ἁγίοις εἰσὶν οἱ ὑπὸ τῆς Ἐκκλησίας διορατικοὶ καλοῦνται ἕνεκα πολυειδῶν προῤῥήσεων καὶ διοράσεων εἰς τὸ βάθος τῆς ἀνθρωπίνης ψυχῆς.

Ὡς ἔπος δ' εἰπεῖν, καὶ νῦν ἔτι, προσεκτικώτερον τὴν τύχην τοῦ Χριστιανισμοῦ θεωροῦντες, δυνάμεθα ἐν αὐτῇ τὰς αὐτὰς ἀναντιῤῥήτους ἀπαντᾶν μαρτυρίας, τῆς θείας αὐτοῦ ἀρχῆς, ἃς αὐτὸς ὁ Σωτὴρ παρίστη. Καὶ ἕκαστος χριστιανὸς ἰδίως, ἐὰν μόνον βούληται εἶναι, καὶ ἐὰν ὄντως γένηται ἀληθὴς πιστός, δύναται καθ' ἑαυτὸν κατανοῆσαι, ὡς καὶ οἱ ἄλλοι ἀληθεῖς χριστιανοί, πᾶσαν τὴν δύναμιν τῶν μαρτυριῶν τούτων· τ. ε. δύναται τυχεῖν παρὰ τοῦ Κυρίου καὶ ὑψίστης σοφίας καὶ τοῦ δώρου τῆς θαυματουργίας καὶ προγνώσεως, καὶ τοὺς μεγάλους ἀγῶνας ἐκτελεῖν τῆς αὐταπαρνήσεως ἐκ τῆς ἀγάπης πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον (Ματθ. ιζ', 20· Ἰωάν. ζ', 17· α'. Ἰωάν. β', 27).

*Τέλος τοῦ α'. μέρους.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ